6 Καὶ διὰ τοῦτο πιστεύομεν ὅτι θὰ πραγματοποιηθῆ καὶ ἀνάστασις σωμάτων μετὰ τὴν συντέλειαν τῶν ὅλων, ὄχι ὅπως δογματίζουν οἱ Στωϊκοὶ κατὰ περιόδους κύκλων, οἱ ὁποῖοι γίνονται καὶ ἀπογίνονται πάντοτε πανομοιότυποι χωρὶς χρείαν, ἀλλὰ μὲ ἐφ' ἅπαξ περάτωσιν τῶν αἰώνων τοῦ κόσμου καὶ σύστασιν διὰ μόνων τῶν ἀνθρώπων καθ' ὁλοκληρίαν χάριν τῆς κρίσεως. Δικάζουν δὲ εἰς ἡμᾶς ὄχι ὁ Μίνως οὔτε ὁ Ραδάμανθυς, πρὸ τῆς τελευτῆς τῶν ὁποίων καμμία ψυχὴ δὲν ἐκρίνετο, ὅπως μυθολογοῦν, δικαστὴς δὲ γίνεται αὐτὸς ὁ ἴδιος ὁ ποιητὴς Θεός. Πράγματι καὶ ἂν μᾶς θεωρήσετε πολὺ φλυάρους καὶ σπερμολόγους[10], δὲν μᾶς ἐνδιαφέρει, ἐπειδὴ ἔχομεν πιστεύσει εἰς τὸν λόγον τοῦτον. Διότι ὅπως μὴ ὑπάρχων πρὸ τῆς γενέσεώς μου δὲν ἐγνώριζα ποῖος εἶμαι, ὑπῆρχον δὲ μόνον εἰς τὴν ὑπόστασιν τῆς σαρκικῆς ὕλης, ὅταν δὲ ἔγινα ὁ μὴ ὢν ἄλλοτε διὰ τῆς γενέσεως ἐπίστευσα ὅτι εἶμαι· κατὰ τὸν ἴδιον τρόπον ὁ γενόμενος καὶ διὰ τοῦ θανάτου μὴ ὑπάρχων πλέον καὶ μὴ ὁρώμενος, θὰ γίνω πάλιν ὅπως ἤμην ἄλλοτε, μὴ ὑπάρχων καὶ ἔπειτα γεννηθείς. Καὶ ἂν μοῦ ἐξαφανίση πῦρ τὸ σαρκίον, ὁ κόσμος ἐχώρεσε τὴν ὕλην ἐξατμισθεῖσαν· καὶ ἂν καταδαπανηθῶ εἰς ποταμοὺς καὶ θαλάσσας καὶ ἂν διασπασθῶ ἀπὸ θηρία, ἐναπόκειμαι εἰς ταμεῖα πλουσίου δεσπότου. Καὶ ὁ μὲν πτωχὸς καὶ ἄθεος δὲν γνωρίζει τὰ ἀποκείμενα, ὁ δὲ βασιλεύων Θεός, ὅταν θέλη θὰ ἀποκαταστήση κατὰ τὸ παλαιὸν τὴν ὁρατὴν μόνον εἰς αὐτὸν ὑπόστασιν.

7 *Λόγος γὰρ ὁ ἐπουράνιος πνεῦμα γεγονὼς ἀπὸ τοῦ Πνεύματος καὶ λόγος ἐκ λογικῆς δυνάμεως, κατὰ τὴν τοῦ γεννήσαντος αὐτὸν Πατρὸς μίμησιν εἰκόνα τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐποίησεν, ἵν', ὥσπερ ἡ ἀφθαρσία παρὰ τῷ Θεῷ, τὸν αὐτὸν τρόπον Θεοῦ μοίρας ἄνθρωπος μεταλαβὼν ἔχῃ καὶ τὸ ἀθάνατον. Ὁ μὲν οὖν λόγος πρὸ τῆς τῶν ἀνθρώπων κατασκευῆς ἀγγέλων δημιουργὸς γίνεται, τὸ δὲ ἑκάτερον τῆς ποιήσεως εἶδος αὐτεξούσιον γέγονε τἀγαθοῦ φύσιν μὴ ἔχον· ὃ πλὴν μόνον παρὰ τῷ Θεῷ, τῇ δὲ ἐλευθερίᾳ τῆς προαιρέσεως ὑπὸ τῶν ἀνθρώπων ἐκτελειούμενον, ὅπως ὁ μὲν φαῦλος δικαίως κολάζηται δι' αὐτὸν γεγονὼς μοχθηρός, ὁ δὲ δίκαιος χάριν τῶν ἀνδραγαθημάτων ἀξίως ἐπαινῆται κατὰ τὸ αὐτεξούσιον τοῦ Θεοῦ μὴ παραβὰς τὸ βούλημα. Καὶ τὰ μὲν περὶ τοὺς ἀγγέλους καὶ ἀνθρώπους τοῦτον ἔχει τὸν τρόπον, ἡ δὲ τοῦ λόγου δύναμις ἔχουσα παρ' ἑαυτῇ τὸ προγνωστικὸν...*

7a *...Τὸ μέλλον ἀποβαίνειν οὐ καθ' εἱμαρμένην τῇ δὲ τῶν αἱρουμένων αὐτεξουσίῳ γνώμῃ, τῶν μελλόντων προὔλεγε τὰς ἀποβάσεις καὶ τῆς μὲν πονηρίας κωλυτὴς ἐγίνετο δι' ἀπαγορεύσεων, τῶν δὲ μενόντων ἀγαθῶν ἐγκωμιαστής. Καὶ ἐπειδή τινι φρονιμωτέρῳ παρὰ τοὺς λοιποὺς ὄντι διὰ τὸ πρωτόγονον συνεξηκολούθησαν καὶ Θεὸν ἀνέδειξαν οἱ ἄνθρωποι καὶ ἄγγελοι τὸν ἐπανιστάμενον τῷ νόμῳ τοῦ Θεοῦ, τότε ἡ τοῦ λόγου δύναμις τόν τε ἄρξαντα τῆς ἀπονοίας καὶ τοὺς συνακολουθήσαντας τούτῳ τῆς σὺν αὐτῷ διαίτης παρῃτήσατο. Καὶ ὁ μὲν κατ' εἰκόνα τοῦ Θεοῦ γεγονὼς χωρισθέντος ἀπ' αὐτοῦ τοῦ Πνεύματος τοῦ δυνατωτέρου θνητὸς γίνεται, διὰ δὲ τὴν παράβασιν καὶ τὴν ἄγνοιαν ὁ πρωτόγονος δαίμων ἀποδείκνυται καὶ τοῦτον οἱ μιμησάμενοι, τούτου δὲ τὰ φαντάσματα δαιμόνων στρατόπεδον ἀποβεβήκασι καὶ διὰ τὸ αὐτεξούσιον τῇ σφῶν ἀβελτερίᾳ παρεδόθησαν.*

8 *Ὑπόθεσις δὲ αὐτοῖς τῆς ἀποστασίας οἱ ἄνθρωποι γίνονται. Διάγραμμα γὰρ αὐτοῖς ἀστροθεσίας ἀναδείξαντες ὥσπερ οἱ τοῖς κύβοις παίζοντες, τὴν εἱμαρμένην εἰσηγήσαντο λίαν ἄδικον. Ὅ τε*

7 Πράγματι ὁ ἐπουράνιος λόγος, γενόμενος πνεῦμα ἀπὸ τὸ πνεῦμα καὶ λόγος ἀπὸ λογικὴν δύναμιν, ἔκαμε τὸν ἄνθρωπον εἰκόνα τῆς ἀθανασίας κατὰ μίμησιν τοῦ Πατρὸς ὁ ὁποῖος τὸν ἐγέννησεν, ὥστε, ὅπως ἡ ἀφθαρσία εἶναι εἰς τὸν Θεόν, κατὰ τὸν ἴδιον τρόπον ὁ ἄνθρωπος μεταλαβὼν ἐκ τῆς μοίρας τοῦ Θεοῦ νὰ ἔχῃ καὶ τὴν ἀθανασίαν. Ὁ μὲν Λόγος λοιπὸν πρὸ τῆς κατασκευῆς τῶν ἀνθρώπων γίνεται δημιουργὸς ἀγγέλων, τὸ ἑκάτερον δὲ εἶδος κατασκευῆς ἔγινεν αὐτεξούσιον, μὴ ἔχον φύσιν τοῦ ἀγαθοῦ, τὸ ὁποῖον ὑπάρχει μόνον παρὰ τῷ Θεῷ, ἐνῶ ὑπὸ τῶν ἀνθρώπων τελειοῦται μόνον διὰ τῆς ἐλευθερίας τῆς προαιρέσεως, οὕτως ὥστε ὁ μὲν φαῦλος δικαίως νὰ τιμωρῆται, ἀφοῦ ἐξ αἰτίας ἑαυτοῦ ἔγινε μοχθηρός, ὁ δὲ δίκαιος ἀξίως νὰ ἐπαινῆται χάριν τῶν ἀνδραγαθημάτων κατὰ τὸ αὐτεξούσιον μὴ παραβὰς τὸ θέλημα τοῦ Θεοῦ. Καὶ τὰ μὲν σχετικὰ μὲ τοὺς ἀγγέλους καὶ ἀνθρώπους κατ' αὐτὸν τὸν τρόπον ρυθμίζονται, ἡ δὲ δύναμις τοῦ Λόγου ἔχουσα παρ' ἑαυτῇ τὸ προγνωστικόν...

7α ...Τὸ μέλλον νὰ συμβῇ ὄχι καθ' εἱμαρμένην ἀλλὰ κατὰ τὴν αὐτεξούσιον γνώμην ἐκείνων οἱ ὁποῖοι ἐκλέγουν, προέλεγε τὰς ἐκβάσεις τῶν μελλόντων, καὶ τῆς μὲν πονηρίας ἔγινεν ἀναστολεὺς δι' ἀπαγορεύσεων, τῶν δὲ ἐπιμενόντων εἰς τὴν ἀγαθότητα ἐγκωμιαστής. Καὶ ἐπειδὴ κάποιον ὁ ὁποῖος ἦτο εὐφυέστερος ἀπὸ τοὺς λοιποὺς λόγῳ τοῦ ἀρχεγόνου ἠκολούθησαν οἱ ἄνθρωποι καὶ ἄγγελοι καὶ ἀνέδειξαν Θεὸν τὸν ἐπαναστατήσαντα κατὰ τοῦ νόμου τοῦ Θεοῦ, τότε ἡ δύναμις τοῦ Λόγου ἐστέρησε τῆς παρουσίας της τόσον τὸν ἀρχηγὸν τῆς ἀποστασίας ὅσον καὶ τοὺς ἀκολουθήσαντας τοῦτον. Καὶ ὁ μὲν γενόμενος κατ' εἰκόνα τοῦ Θεοῦ, ἀφοῦ ἐχωρίσθη ἀπὸ αὐτὸν τὸ Πνεῦμα τὸ δυνατώτερον, γίνεται θνητός· λόγῳ τῆς παραβάσεως δὲ καὶ τῆς ἀγνοίας ὁ πρωτόγονος ἄγγελος ἀποδεικνύεται δαίμων, καθὼς καὶ οἱ μιμηθέντες τοῦτον, τούτου δὲ τὰ ὁμοιώματα ἀπέβησαν στρατόπεδον δαιμόνων καὶ λόγῳ τοῦ αὐτεξουσίου παρεδόθησαν εἰς τὴν ἀνοησίαν των.

8 Αἰτία δὲ τῆς ἀποστασίας γίνονται οἱ ἴδιοι ἄνθρωποι ἑαυτῶν. Διότι ὁρίσαντες εἰς ἑαυτοὺς διάγραμμα ἀστροθεσίας, ὅπως οἱ παίζοντες κύβους, εἰσηγήθησαν πολὺ ἄδικον τὴν εἱμαρμέ-

*γὰρ κρίνων καὶ ὁ κρινόμενος καθ' εἱμαρμένην εἰσὶν γεγονότες, καὶ οἱ φονεύοντες καὶ οἱ φονευόμενοι καὶ οἱ πλουτοῦντες καὶ οἱ πενόμενοι τῆς αὐτῆς εἱμαρμένης ὑπάρχουσιν ἀπογεννήματα, πᾶσά τε γένεσις ὥσπερ ἐν θεάτρῳ τερπωλὴν παρέσχε τούτοις, παρ' οἷς, ὥς φησιν Ὅμηρος,*

*ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν.*

*Οἱ γὰρ τοὺς μονομαχοῦντας βλέποντες καὶ θάτερος θατέρῳ σπουδάζων...*

8α *...Καὶ ὁ γαμῶν καὶ παιδοφθορῶν καὶ μοιχεύων γελῶν τε καὶ ὀργιζόμενος φεύγων τε καὶ τιτρωσκόμενος πῶς οὐχὶ θνητὸς εἶναι νομισθήσεται; Δι' ὧν γὰρ ἑαυτοὺς ὁποῖοί τινες πεφύκασι τοῖς ἀνθρώποις πεφανερώκασι, διὰ τούτων τοὺς ἀκούοντας ἐπὶ τὰ ὅμοια προὐτρέψαντο. Καὶ μήτι γε οἱ δαίμονες αὐτοὶ μετὰ τοῦ ἡγουμένου αὐτῶν Διὸς ὑπὸ τὴν εἱμαρμένην πεπτώκασι τοῖς αὐτοῖς πάθεσιν οἷσπερ καὶ οἱ ἄνθρωποι κρατηθέντες.*

8β *Καὶ ἄλλως δὲ πῶς τιμητέον τούτους παρ' οἷς δογμάτων ἐναντιότης ἐστὶ πολλή; Ῥέα μὲν γάρ, ἣν οἱ ἀπὸ τῶν Φρυγίων ὀρῶν Κυβέλην φασίν, ἀποτμήσεις αἰδοίων νενομοθέτηκεν διὰ τὸν ἐρώμενον ταύτης Ἄττιν· Ἀφροδίτη δὲ γάμου πλοκαῖς ἥδεται. Μάγος ἐστὶν ἡ Ἄρτεμις, θεραπεύει ὁ Ἀπόλλων. Καὶ μετὰ τὴν Γοργοῦς καρατομίαν τῆς Ποσειδῶνος ἐρωμένης, ἀφ' ἧς Πήγασος ὁ ἵππος καὶ ὁ Χρυσάωρ ἀνέθορε, τὰς σταγόνας τῶν αἱμάτων ἡ Ἀθηνᾶ καὶ ὁ Ἀσκληπιὸς διενείμαντο· καὶ ὁ μὲν ἀπ' αὐτῶν ἔσωζεν, ἡ δὲ ἀπὸ τῶν ὁμοίων λύθρων ἀνθρωποκτόνος ἡ πολεμοποιὸς ἐγίνετο. Ταύτην μοι δοκοῦσιν Ἀθηναῖοι μὴ βουληθέντες διαβάλλειν καὶ τὸν ἀπὸ τῆς Ἡφαίστου μίξεως γινόμενον τῇ Γῇ προσάπτειν, ἵνα μὴ νομίζηται καθάπερ ἡ Ἀταλάντη διὰ τὸν Μελέαγρον, οὕτω καὶ ἡ Ἀθηνᾶ διὰ τὸν Ἥφαιστον τῆς ἀνδρείας ἐστερῆσθαι. Ὁ γὰρ ἀμφιγυήεις, ὡς εἰκός, ὁ πόρπας καὶ γναμπτὰς ἕλι-*

---

11. Ἰλιὰς Α 599.

12. Ἡ Ἀθηνᾶ ἐξέφυγε τοῦ ἐναγκαλισμοῦ τοῦ Ἡφαίστου, τότε δὲ ἐκ τοῦ

νην. Διότι καὶ ὁ κρίνων καὶ ὁ κρινόμενος ἔχουν γίνει κατὰ εἱμαρμένην, οἱ φονεύοντες καὶ οἱ φονευόμενοι καὶ οἱ πλουτοῦντες καὶ οἱ πενόμενοι εἶναι ἀπογεννήματα τῆς αὐτῆς εἱμαρμένης, ὅλη δὲ ἡ γένεσις ὅπως εἰς τὸ θέατρον παρέσχε τέρψιν εἰς τούτους, εἰς τοὺς ὁποίους, ὅπως λέγει ὁ Ὅμηρος,

«τότε ὑψώθη ἀτελείωτος γέλως μεταξὺ τῶν μακάρων θεῶν»[11].

Διότι οἱ βλέποντες τοὺς μονομαχοῦντας καὶ φροντίζοντες ὁ εἷς διὰ τὸν ἄλλον...

8α ...Καὶ ἐκεῖνος ὁ ὁποῖος συνέρχεται μὲ γυναῖκα, φθείρει παιδιὰ καὶ μοιχεύει, γελᾶ καὶ ὀργίζεται, φεύγει καὶ τραυματίζεται, πῶς δὲν θὰ νομισθῇ ὅτι εἶναι θνητός; Μὲ τὰ μέσα διὰ τῶν ὁποίων φανερώνουν εἰς τοὺς ἀνθρώπους ποῖοι εἶναι, μὲ τὰ ἴδια προέτρεπον τοὺς ἀκροατὰς εἰς τὰ ὅμοια· καθ' ὅσον μάλιστα οἱ ἴδιοι οἱ δαίμονες μαζὶ μὲ τὸν ἡγούμενον αὐτῶν Δία ἔπεσαν ὑπὸ τὴν εἱμαρμένην, νικηθέντες ἀπὸ τὰ ἴδια μὲ τοὺς ἀνθρώπους πάθη.

8β Ἄλλως πῶς πρέπει νὰ κρίνωμεν τούτους διὰ τοὺς ὁποίους ὑπάρχει πολλὴ ἐναντιότης διδαχῶν; Πράγματι ἡ μὲν Ρέα, τὴν ὁποίαν οἱ ὀρεινοὶ Φρύγες ὀνομάζουν Κυβέλην, ἐνομοθέτησεν ἐκτομὴν τῶν αἰδοίων χάριν τοῦ ἐραστοῦ ταύτης Ἄττιος· ἡ δὲ Ἀφροδίτη εὐφραίνεται μὲ τὰς γαμηλίους συμπλοκάς. Μάγος εἶναι ἡ Ἄρτεμις, θεραπεύει ὁ Ἀπόλλων. Καὶ μετὰ τὴν καρατομίαν τῆς Γοργοῦς, ἐρωμένης τοῦ Ποσειδῶνος, ἀπὸ τὴν ὁποίαν ἀνεπήδησεν ὁ Πήγασος καὶ ὁ Χρυσάωρ, διεμοίρασαν τὰς σταγόνας τῶν αἱμάτων ἡ Ἀθηνᾶ καὶ ὁ Ἀσκληπιός· καὶ ὁ μὲν δεύτερος ἀπὸ αὐτοὺς ἐθεράπευσεν, ἡ δὲ πρώτη ἀπὸ τὰ ὅμοια λύθρα ἔγινεν ἀνθρωποκτόνος καὶ πολεμοποιός. Νομίζω δὲ ὅτι οἱ Ἀθηναῖοι μὴ ἐπιθυμοῦντες νὰ διαβάλουν αὐτὴν ἀπέδωσαν τὸν γεννηθέντα ἐκ τῆς μίξεως υἱὸν τοῦ Ἡφαίστου εἰς τὴν Γῆν[12], διὰ νὰ μὴ νομίζεται ὅτι, ὅπως ἡ Ἀταλάντη λόγω τοῦ Μελεάγρου, οὕτω καὶ ἡ Ἀθηνᾶ ἐστερήθη τῆς ἀνδρείας λόγω τοῦ Ἡφαίστου. Διότι, ὡς εἶναι εὔλογον, ὁ χωλός, ὁ κατασκευάζων πόρπας καὶ

---

σπέρματός του ἐγεννήθη ὁ Ἐριχθόνιος.

*κας δημιουργῶν τοῖς κοροκοσμίοις ἠπάτησε τὴν ἀμήτορα παῖδα καὶ ὀρφανήν. Ποσειδῶν ναυτίλλεται, πολέμοις Ἄρης ἥδεται, κιθαριστής ἐστιν ὁ Ἀπόλλων, Θηβαίοις Διόνυσος τυραννεῖ, Κρόνος τυραννοκτονεῖ. Ζεὺς καὶ θυγατρὶ συγγίνεται, καὶ ἡ θυγάτηρ ἀπ' αὐτοῦ κυεῖ. Μαρτυρήσει μοι νῦν Ἐλευσὶς καὶ δράκων ὁ μυστικὸς καὶ Ὀρφεὺς ὁ θύρας δ' ἐπίθεσθε βεβήλοις λέγων. Ἀϊδωνεὺς ἁρπάζει τὴν Κόρην, καὶ αἱ πράξεις αὐτοῦ γεγόνασι μυστήρια· κλαίει Δημήτηρ τὴν θυγατέρα, καί τινες ἀπατῶνται διὰ τοὺς Ἀθηναίους. Ἐν τῷ τεμένει τοῦ Λητοΐδου καλεῖταί τις ὀμφαλός· ὁ δ' ὀμφαλὸς τάφος ἐστὶν Διονύσου. Ἐπαινῶ σὲ νῦν, ὦ Δάφνη· τὴν ἀκρασίαν τοῦ Ἀπόλλωνος νικήσασα ἤλεγξας αὐτοῦ τὴν μαντικήν, ὅτι μὴ προγνοὺς τὰ περὶ σὲ τῆς αὐτοῦ τέχνης οὐκ ὤνατο. Λεγέτω μοι νῦν ὁ ἑκατηβόλος πῶς Ὑάκινθον διεχρήσατο Ζέφυρος. Ζέφυρος αὐτὸν νενίκηκεν, καὶ τοῦ τραγῳδοποιοῦ λέγοντος «αὖρα θεῶν ὄχημα τιμιώτατον», ὑπὸ βραχείας αὔρας νικηθεὶς ἀπώλεσε τὸν ἐρώμενον.*

9 *Τοιοῦτοί τινές εἰσιν οἱ δαίμονες οὗτοι οἳ τὴν εἱμαρμένην ὥρισαν. Στοιχείωσις δὲ αὐτοῖς ἡ ζώωσις ἦν· τὰ γὰρ ἐπὶ τῆς γῆς ἑρπετὰ καὶ τὰ ἐν τοῖς ὕδασι νηκτὰ καὶ τὰ ἐπὶ τοῖς ὄρεσι τετράποδα, μεθ' ὧν ἐποιοῦντο τὴν δίαιταν ἔκβλητοι τῆς ἐν οὐρανῷ διαίτης γεγενημένοι, ταῦτα τῆς ἐπουρανίου τιμῆς ἠξίωσαν, ἵνα τε νομισθῶσιν αὐτοὶ διατρίβειν ἐν οὐρανῷ καὶ τὴν ἄλογον ἐπὶ γῆς πολιτείαν εὔλογον διὰ τῆς ἀστροθεσίας ἀποδείξωσιν. Ὥστε ὁ θυμικὸς καὶ ὁ ἐπίμοχθος καὶ ὁ ἐγκρατευόμενος καὶ ὁ ἀκρατὴς καὶ ὁ πτωχεύων καὶ ὁ πλουτῶν ἐστι τῶν νομοθετησάντων τὴν γένεσιν. Ἡ γὰρ τοῦ ζῳδιακοῦ κύκλου γραφὴ θεῶν ἐστι ποίημα, καὶ τὸ ἐπικρατῆσαν, ὥς φασιν, ἑνὸς αὐτῶν φῶς τοὺς πλείονας παραβραβεύει καὶ ὁ νικώμενος νῦν εἰσαῦθις ἐπικρατεῖν εἴωθεν· εὐαρεστοῦσι δὲ αὐτοῖς οἱ ἑπτὰ πλανῆται...*

9a *...Ὥσπερ οἱ ἐν τοῖς πεσσοῖς ἀθύροντες. Ἡμεῖς δὲ καὶ εἱμαρ-*

---

13. Ἐννοεῖται ἡ Περσεφόνη, θυγάτηρ τῆς Δήμητρος.

εὐλυγίστους ἕλικας διὰ τὰς κόρας ἐβίασε τὴν ἀμήτορα καὶ ὀρφανὴν κόρην. Ὁ Ποσειδὼν ναυτίλλεται, ὁ Ἄρης εὐχαριστεῖται μὲ τοὺς πολέμους, ὁ Ἀπόλλων εἶναι κιθαριστής, ὁ Διόνυσος κυβερνᾶ τὰς Θήβας, ὁ Κρόνος φονεύει τυράννους. Ὁ Ζεὺς συνευρίσκεται καὶ μὲ τὴν θυγατέρα του[13] καὶ ἡ θυγάτηρ του κυοφορεῖ ἀπὸ αὐτόν. Μάρτυς μου θὰ εἶναι ἐδῶ ἡ Ἐλευσὶς καὶ ὁ δράκων ὁ μυστικὸς καὶ ὁ Ὀρφεύς, ὁ λέγων, «κλείσατε τὰς θύρας εἰς τοὺς βεβήλους». Ὁ Ἀϊδωνεὺς ἁρπάζει τὴν κόρην καὶ αἱ πράξεις του ἔγιναν μυστήρια· κλαίει ἡ Δημήτηρ τὴν θυγατέρα, καὶ μερικοὶ ἀπατῶνται ἐξ αἰτίας τῶν Ἀθηναίων. Εἰς τὸ τέμενος τοῦ Λητοΐδου[14] ἓν σημεῖον καλεῖται ὀμφαλός· ὁ δὲ ὀμφαλὸς εἶναι τάφος τοῦ Διονύσου. Σὲ ἐπαινῶ τώρα, ὦ Δάφνη· νικήσασα τὴν ἀκράτειαν τοῦ Ἀπόλλωνος ἤλεγξες τὴν μαντικήν του, διότι αὐτὸς μὴ προβλέψας τὰ σχετικὰ μὲ σὲ δὲν ὠφελήθη τῆς τέχνης του. Ἂς μοῦ εἴπῃ τώρα ὁ δυνατὸς τοξότης, πῶς ὁ Ζέφυρος ἐφόνευσε τὸν Ὑάκινθον. Ὁ Ζέφυρος τὸν ἐνίκησε καί, ὡς λέγει ὁ τραγωδοποιός, «αὔρα εἶναι ὄχημα θεῶν πολυτιμότατον», νικηθεὶς ἀπὸ ἐλαφρὰν αὔραν ἔχασε τὸν ἐρώμενον.

9 Τοιοῦτοι εἶναι οἱ δαίμονες οὗτοι οἱ ὁποῖοι ὥρισαν τὴν εἱμαρμένην. Στοιχειῶδες δὲ ἔργον αὐτῶν εἶναι ἡ ζώωσις· διότι τὰ ἐπὶ τῆς γῆς ἑρπετὰ καὶ τὰ εἰς τὰ ὕδατα νηκτικὰ καὶ τὰ εἰς τὰ ὄρη τετράποδα, μαζὶ μὲ τὰ ὁποῖα ἔζων ὅταν ἐξεβλήθησαν ἀπὸ τὴν εἰς τὸν οὐρανὸν διαμονήν, ταῦτα ἠξίωσαν τῆς ἐπουρανίου τιμῆς, διὰ νὰ νομισθῇ ὅτι αὐτοὶ διατρίβουν εἰς τὸν οὐρανὸν καὶ διὰ ν' ἀποδείξουν τὴν ἄλογον ἐπὶ γῆς πολιτείαν διὰ τῆς ἀστρολογίας λογικήν. Ὥστε ὁ θυμικὸς καὶ ὁ ἐπίμοχθος καὶ ὁ ἐγκρατευόμενος καὶ ὁ ἀκρατὴς καὶ ὁ πτωχεύων καὶ ὁ πλουτῶν εἶναι ἐκ τῶν νομοθετησάντων τὴν γένεσιν. Διότι ἡ γραφὴ τοῦ ζωδιακοῦ κύκλου εἶναι ποίημα θεῶν, καὶ τὸ ἐπικρατῆσαν, ὅπως λέγουν, ἑνὸς αὐτῶν φῶς ἐξαπατᾶ τοὺς περισσοτέρους καὶ ὁ νικώμενος τώρα συνηθίζει νὰ ἐπικρατῇ πάλιν· τοὺς εὐαρεστοῦν δὲ οἱ ἑπτὰ πλανῆται...

9α ...Ὅπως οἱ παίζοντες εἰς τὸ ζατρίκιον. Ἐμεῖς δὲ καὶ εἱ-

14. Τοῦ υἱοῦ τῆς Λητοῦς Ἀπόλλωνος.

*μένης ἐσμὲν ἀνώτεροι καὶ ἀντὶ πλανήτων δαιμόνων ἕνα τὸν ἀπλανῆ δεσπότην μεμεθήκαμεν καὶ οὐ καθ' εἱμαρμένην ἀγόμενοι τοὺς ταύτης νομοθέτας παρῃτήμεθα. Λέγε μοι πρὸς τοῦ Θεοῦ· Τριπτόλεμος ἔσπειρε τοὺς πυρούς, καὶ μετὰ τὸ πένθος εὐεργετεῖ τοὺς Ἀθηναίους ἡ Δημήτηρ· διὰ τί δὲ τῆς θυγατρὸς μὴ ἀπολωλυίας τῶν ἀνθρώπων εὐεργέτις οὐκ ἐγένετο; Κύων ὁ τῆς Ἠριγόνης ἐν οὐρανῷ δείκνυται καὶ σκορπίος ὁ τῆς Ἀρτέμιδος βοηθὸς καὶ Χείρων ὁ Κένταυρος ἥ τε ἡμίτομος Ἀργὼ καὶ ἡ Καλλιστοῦς ἄρκτος· εἶτα πῶς πρὶν τούτους περὶ τὰς προειρημένας τάξεις γενέσθαι ἀκόσμητος ἦν ὁ οὐρανός; Τίνι δὲ οὐ γελοῖον εἶναι δόξει τὸ κατὰ μέν τινας διὰ τὴν Σικελίαν ἀστροθετούμενον Δελτωτόν, κατ' ἐνίους δὲ ὡς τῆς τοῦ Διὸς προσωνυμίας πρωτότυπον στοιχεῖον; Διὰ τί γὰρ οὐχὶ καὶ ἡ Σαρδὼ καὶ ἡ Κύπρος ἐν οὐρανῷ τετίμηνται; Τίνος δὲ ἕνεκεν οὐχὶ καὶ τῶν τοῦ Διὸς ἀδελφῶν, οἳ διενείμαντο τὰς βασιλείας...*

9β *...Γραμμάτων σχηματουργίᾳ κατηστερίσθησαν; Πῶς τε ὁ πεδηθεὶς Κρόνος καὶ τῆς βασιλείας ἔκβλητος γενόμενος τῆς εἱμαρμένης οἰκονόμος καθίσταται; Πῶς τε βασιλείας ὁ μηκέτι βασιλεύων δίδωσιν; Καταβάλετε τοιγαροῦν τὸν λῆρον καὶ μὴ διὰ τὸ μισεῖν ἡμᾶς ἀδίκως παρανομήσητε.*

10 *Μεταμόρφωσις ἀνθρώποις μεμυθολόγηται· μεταμορφοῦνται δὲ παρ' ὑμῖν καὶ οἱ θεοί. Δένδρον ἡ Ῥέα γίνεται, δράκων δὲ ὁ Ζεὺς διὰ τὴν Φερσέφασσαν, αἴγειροί τε αἱ τοῦ Φαέθοντος ἀδελφαὶ καὶ ἡ Λητὼ ζῶον εὐτελές, δι' ἣν Ὀρτυγία Δῆλος ἡ νῦν κέκληται. Θεός, εἰπέ μοι, κύκνος γίνεται καὶ τὴν ἀετοῦ μορφὴν ἀναλαμβάνει καὶ δι' οἰνοχοΐαν τοῦ Γανυμήδους τὴν παιδεραστίαν σεμνύνεται; Τί μοι σέβειν θεοὺς δωρολήπτας καὶ ὀργιζομένους ἂν μὴ λάβωσιν; Ἐχέτωσαν οὗτοι τὴν εἱμαρμένην· τοὺς πλανήτας προσκυνεῖν οὐ βούλομαι. Τίς ἐστιν ὁ Βερενίκης πλόκαμος; Ποῦ δὲ οἱ ἀστέρες αὐτῆς πρὶν τὴν προειρημένην ἀποθανεῖν; Πῶς δὲ ὁ τεθνεὼς Ἀντίνοος μειράκιον ὡραῖον ἐν τῇ σελήνῃ καθίδρυται; Τίς ὁ ἀναβιβάσας αὐτόν, εἰ μήτι καὶ τοῦτον ὡς τοὺς βασιλέας μισθοῦ δι' ἐπιορ-*

μαρμένης ἀνώτεροι εἴμεθα καὶ ἀντὶ τῶν πλανήτων δαιμόνων ἐμάθομεν τὸν ἕνα ἀπλανῆ δεσπότην καὶ ἐπειδὴ δὲν ἀγόμεθα ἀπὸ τὴν εἱμαρμένην ἐγκατελείψαμεν τοὺς νομοθέτας ταύτης. Λέγε μου, πρὸς Θεοῦ· ὁ Τριπτόλεμος ἔσπειρε τὰ σιτηρὰ καὶ μετὰ τὸ πένθος εὐεργετεῖ τοὺς Ἀθηναίους ἡ Δημήτηρ· διατί δὲν ἔγινεν εὐεργέτις τῶν ἀνθρώπων πρὶν χαθῆ ἡ θυγάτηρ της; Ὁ κύων τῆς Ἠριγόνης δεικνύεται εἰς τὸν οὐρανὸν καὶ ὁ σκορπιός, ὁ βοηθὸς τῆς Ἀρτέμιδος, καὶ ὁ Χείρων ὁ Κένταυρος καὶ ἡ ἀποκομμένη Ἀργὼ καὶ ἡ ἄρκτος τῆς Καλλιστοῦς· λοιπὸν πρὶν ἀπὸ τὴν τοποθέτησιν τούτων ὁ οὐρανὸς ἦτο ἀδιακόσμητος; Εἰς ποῖον δὲ δὲν θὰ φανῆ γελοῖον τὸ κατά τινας μὲν διὰ τὴν Σικελίαν ἀστροθετούμενον Δελτωτόν, κατά τινας δὲ ὡς ἀρχικὸν γράμμα τοῦ ὀνόματος τοῦ Διός; Διατί δηλαδὴ δὲν ἔχουν τιμηθῆ εἰς τὸν οὐρανὸν καὶ ἡ Σαρδηνία καὶ ἡ Κύπρος; Διὰ ποῖον δὲ λόγον ὄχι καὶ τὰ ὀνόματα τῶν ἀδελφῶν τοῦ Διός, οἱ ὁποῖοι διεμοίρασαν τὰς βασιλείας...

9β ...Ἐστολίσθησαν μὲ σχήματα γραμμάτων ὡς ἄστρα; Πῶς δὲ ὁ δεμένος Κρόνος καὶ γενόμενος ἔκπτωτος τῆς βασιλείας καθίσταται οἰκονόμος τῆς εἱμαρμένης; Πῶς δίδει βασιλείας ὁ μὴ βασιλεύων πλέον; Ἐγκαταλείψατε λοιπὸν τὴν μωρολογίαν καὶ μὴ παρανομήσετε ἀδίκως, διότι μᾶς μισεῖτε.

10 Ἔχει μυθολογηθῆ ἡ μεταμόρφωσις διὰ τοὺς ἀνθρώπους· ἀλλὰ εἰς σᾶς μεταμορφώνονται καὶ οἱ θεοί. Ἡ Ρέα γίνεται δένδρον, ὁ δὲ Ζεὺς γίνεται δράκων διὰ τὴν Περσεφόνην, αἱ ἀδελφαὶ τοῦ Φαέθοντος γίνονται λεῦκαι καὶ ἡ Λητὼ ζῶον εὐτελές, διᾶ τὴν ὁποίαν ἡ σημερινὴ Δῆλος ὠνομάσθη Ὀρτυγία. Εἰπέ μου, γίνεται εἷς θεὸς κύκνος καὶ λαμβάνει τὴν μορφὴν ἀετοῦ καὶ ὑπερηφανεύεται μὲ τὴν παιδεραστίαν διὰ τὴν οἰνοχοΐαν τοῦ Γανυμήδους; Ποίαν ἀξίαν ἔχει νὰ σέβωμαι θεούς, οἱ ὁποῖοι δωροδοκοῦνται καὶ ὀργίζονται ὅταν δὲν λαμβάνουν; Ἂς ἔχουν αὐτοὶ τὴν εἱμαρμένην· δὲν θέλω νὰ προσκυνῶ τοὺς πλανήτας. Ποῖος εἶναι ὁ πλόκαμος τῆς Βερενίκης; Ποῦ δὲ ἦσαν οἱ ἀστέρες αὐτῆς πρὶν ἀποθάνη ἡ προειρημένη; Πῶς δὲ τὸ ὡραῖον μειράκιον Ἀντίνοος, ὅταν ἀπέθανεν ἐγκατεστάθη εἰς τὴν σελήνην; Ποῖος εἶναι αὐτὸς ὁ ὁποῖος τὸν ἀνεβίβασεν, ἂν ὄχι, ὅπως τοὺς

*κίας τις τοῦ Θεοῦ καταγελῶν εἰς τὸν οὐρανὸν ἀνεληλυθέναι φήσας πεπίστευται κἆτα τὸν ὅμοιον θεολογήσας τιμῆς καὶ δωρεᾶς ἠξίωται; Τί μου τὸν Θεὸν σεσυλήκατε; Τί δὲ αὐτοῦ τὴν ποίησιν ἀτιμάζετε; Θύεις πρόβατον, τὸ δ' αὐτὸ καὶ προσκυνεῖς· ταῦρός ἐστιν ἐν οὐρανῷ, καὶ τὴν εἰκόνα σφάττεις αὐτοῦ. Ζῶον πονηρὸν ὁ ἐν γόνασιν ἐκθλίβει· καὶ ὁ τὸν ἀνθρωποποιὸν Προμηθέα καταφαγὼν ἀετὸς τετίμηται. Καλὸς ὁ κύκνος, ὅτι μοιχὸς ἦν· καλοὶ δὲ καὶ ἑτερoήμεροι Διόσκοροι τῶν Λευκιππίδων οἱ ἁρπασταί. Κρείττων ἡ Ἑλένη τὸν μὲν κάρη ξανθὸν Μενέλαον καταλιποῦσα, τῷ δὲ μιτρηφόρῳ καὶ πολυχρύσῳ Πάριδι κατακολουθοῦσα. Δίκαιος καὶ σώφρων ὁ τὴν ἐκπορνεύσασαν εἰς Ἠλύσια πεδία μετατεθεικώς. Ἀλλ' οὐδὲ ἡ Τυνδαρὶς ἀπηθανάτισται, καὶ σοφῶς ὁ Εὐριπίδης ὑπὸ Ὀρέστου τῆς προειρημένης γυναικὸς τὴν ἀναίρεσιν παρεισήγαγε.*

11 *Πῶς οὖν γένεσιν τὴν καθ' εἱμαρμένην ἀποδέξομαι τοιούτους αὐτῆς τοὺς οἰκονόμους θεωρῶν; Βασιλεύειν οὐ θέλω, πλουτεῖν οὐ βούλομαι, τὴν στρατηγίαν παρῄτημαι, πορνείαν μεμίσηκα, ναυτίλλεσθαι διὰ τὴν ἀπληστίαν οὐκ ἐπιτηδεύω, στεφάνους ἔχειν οὐκ ἀγωνίζομαι, δοξομανίας ἀπήλλαγμαι, θανάτου καταφρονῶ, νόσου παντοδαπῆς ἀνώτερος γίνομαι, λύπη μου τὴν ψυχὴν οὐκ ἀναλίσκει. Δοῦλος ἐὰν ὦ, τὴν δουλείαν ὑπομένω· κἂν ἐλεύθερος ὑπάρχω, τὴν εὐγένειαν οὐ σεμνύνομαι. Τὸν ἥλιον ὁρῶ πάντων τὸν αὐτόν, ἕνα δὲ κατὰ πάντων τὸν θάνατον δι' ἡδονῆς καὶ ἐλαττώματος. Ὁ πλούσιος σπείρει, καὶ ὁ πένης τῆς αὐτῆς σπορᾶς μεταλαμβάνει· τελευτῶσιν οἱ πλουσιώτατοι καὶ οἱ μεταιτοῦντες τὴν αὐτὴν ἔχουσι τοῦ βίου περιγραφήν. Πλειόνων χρῄζουσιν οἱ πλουτοῦντες καὶ δι' ἀξιοπιστίας μετὰ τῆς δόξης γίνονται, πένης δὲ καὶ ὁ μετριώτατος τῶν καθ' ἑαυτὸν ἐφιέμενος εὐμαρέστερον περιγίνεται. Τί μοι καθ' εἱμαρμένην ἀγρυπνεῖς διὰ φιλαργυρίαν; Τί δέ μοι καθ'*

---

15. Ἐννοεῖ τὸν Ὅμηρον.

16. Ἡ Ἑλένη τοῦ Μενελάου ἦτο θυγάτηρ τῆς Λήδας κατ' ἄλλους ἐκ τοῦ

βασιλεῖς μὲ χρήματα δι' ἐπιορκίας, κάποιος χλευαστὴς τοῦ θεοῦ, ἰσχυριζόμενος ὅτι ἀνῆλθεν εἰς τὸν οὐρανόν, ἔγινε πιστευτός, ἔπειτα δὲ θεοποιήσας τὸν ὅμοιόν του ἠξιώθη τιμῆς καὶ δωρεῶν; Διατί μοῦ ἐσυλήσατε τὸν Θεόν; διατί ἀτιμάζετε τὴν δημιουργίαν του; Θυσιάζεις πρόβατον, ἀλλὰ καὶ προσκυνεῖς τὸ ἴδιον· ταῦρος ὑπάρχει εἰς τὸν οὐρανὸν καὶ σφάζεις τὴν εἰκόνα του. Ζῶον πονηρὸν ἐκθλίβει ὁ εἰς γόνατα καὶ ὁ ἀετὸς ὁ ὁποῖος κατέφαγε τὸν ἀνθρωποποιὸν Προμηθέα ἔχει τιμηθῆ. Καλὸς εἶναι ὁ κύκνος, διότι ἦτο μοιχός· καλοὶ δὲ καὶ οἱ ἡμέραν παρ' ἡμέραν ζῶντες Διόσκοροι, οἱ ἁρπασταὶ τῶν Λευκιππίδων. Καλλιτέρα εἶναι ἡ Ἑλένη ἡ ὁποία τὸν μὲν ξανθομάλλην Μενέλαον ἐγκατέλειψε, τὸν δὲ μιτροφόρον καὶ πολύχρυσον Πάριν ἠκολούθησε. Δίκαιος καὶ σώφρων εἶναι αὐτὸς ὁ ὁποῖος τὴν πορνεύσασαν αὐτὴν γυναῖκα μετέφερεν εἰς τὰ Ἠλύσια πεδία[15]. Ἀλλ' οὔτε ἡ Τυνδαρὶς αὐτὴ ἔμεινεν ἀθάνατος, καὶ σοφῶς ὁ Εὐριπίδης ἐμαρτύρησε περὶ τοῦ φόνου τῆς προειρημένης γυναικὸς ὑπὸ τοῦ Ὀρέστου[16].

11 Πῶς λοιπὸν θὰ ἀποδεχθῶ τὴν καθ' εἱμαρμένην γένεσιν, ἀφοῦ θεωρῶ τοιούτους τοὺς οἰκονόμους της; Δὲν θέλω νὰ βασιλεύω, δὲν ἐπιθυμῶ νὰ πλουτῶ, παραιτοῦμαι τῆς στρατηγίας, μισῶ τὴν πορνείαν, δὲν ἐπιδιώκω νὰ ταξιδεύω δι' ἀπληστίαν, δὲν ἀγωνίζομαι νὰ ἔχω στεφάνους, εἶμαι ἀπηλλαγμένος τῆς δοξομανίας, καταφρονῶ τὸν θάνατον, γίνομαι ἀνώτερος παντὸς εἴδους νόσου, δὲν μοῦ κατατρώγει τὴν ψυχὴν ἡ λύπη. Ἂν εἶμαι δοῦλος, ὑπομένω τὴν δουλείαν· καὶ ἂν ζῶ ἐλεύθερος, δὲν ὑπερηφανεύομαι διὰ τὴν εὐγενῆ καταγωγήν. Βλέπω ὅτι ὁ ἥλιος εἶναι δι' ὅλους ὁ ἴδιος, εἷς δὲ εἶναι δι' ὅλους ὁ θάνατος εἴτε ἐν εὐημερίᾳ εἴτε ἐν στερήσει. Ὁ πλούσιος σπείρει καὶ ὁ πένης μεταλαμβάνει τῆς ἰδίας σπορᾶς. Τελευτοῦν οἱ πλουσιώτατοι καὶ οἱ ἐπιζητοῦντες ἔχουν ἴδιον διάγραμμα τοῦ βίου. Οἱ πλούσιοι χρειάζονται περισσότερα καὶ διὰ τῆς ἀξιοπιστίας συντάσσονται πρὸς τὴν ὑπόληψιν, ὁ δὲ πτωχὸς καὶ ὁ μετριώτερος ἀκόμη, ἂν ἀποβλέπη εἰς τὰ ἰδικά του, ἐπικρατεῖ εὐκολώτερα. Διατί μοῦ

Διὸς ὡς κύκνου ἐμφανισθέντος καὶ κατ' ἄλλους ἐκ τοῦ Τυνδάρεω.

*εἱμαρμένην πολλάκις ὀρεγόμενος πολλάκις ἀποθνήσκεις; Ἀπόθνησκε τῷ κόσμῳ παραιτούμενος τὴν ἐν αὐτῷ μανίαν· ζῆθι τῷ Θεῷ διὰ τῆς αὐτοῦ καταλήψεως τὴν παλαιὰν γένεσιν παραιτούμενος. Οὐκ ἐγενόμεθα πρὸς τὸ ἀποθνήσκειν, ἀποθνήσκομεν δὲ δι' ἑαυτούς. Ἀπώλεσεν ἡμᾶς τὸ αὐτεξούσιον· δοῦλοι γεγόναμεν οἱ ἐλεύθεροι, διὰ τὴν ἁμαρτίαν ἐπράθημεν. Οὐδὲν φαῦλον ὑπὸ τοῦ Θεοῦ πεποίηται, τὴν πονηρίαν ἡμεῖς ἀνεδείξαμεν· οἱ δὲ ἀναδείξαντες δυνατοὶ πάλιν παραιτήσασθαι.*

12 *Δύο πνευμάτων διαφορὰς ἴσμεν ἡμεῖς, ὧν τὸ μὲν καλεῖται ψυχή, τὸ δὲ μεῖζον μὲν τῆς ψυχῆς, Θεοῦ δὲ εἰκὼν καὶ ὁμοίωσις· ἑκάτερα δὲ παρὰ τοῖς ἀνθρώποις τοῖς πρώτοις ὑπῆρχεν, ἵνα τὸ μέν τι ὦσιν ὑλικοί, τὸ δὲ ἀνώτεροι τῆς ὕλης. Ἔχει δὲ οὕτω. Πᾶσαν ἔστιν ἰδεῖν τοῦ κόσμου τὴν κατασκευὴν σύμπασάν τε τὴν ποίησιν γεγονυῖαν ἐξ ὕλης καὶ τὴν ὕλην δὲ αὐτὴν ὑπὸ τοῦ Θεοῦ προβεβλημένην, ἵνα τὸ μέν τι αὐτῆς ἄπορον καὶ ἀσχημάτιστον νοῆται πρὸ τοῦ διάκρισιν λαβεῖν, τὸ δὲ κεκοσμημένον καὶ εὔτακτον μετὰ τὴν ἐν αὐτῇ διαίρεσιν. Ἔστιν οὖν ἐν αὐτῇ ὁ οὐρανὸς ἐξ ὕλης καὶ τὰ ἄστρα τὰ ἐν αὐτῷ· καὶ ἡ γῆ δὲ καὶ πᾶν τὸ ἀπ' αὐτῆς ζωογονούμενον τὴν ὁμοίαν ἔχει σύστασιν ὡς εἶναι κοινὴν πάντων γένεσιν. Τούτων δὲ οὕτως ὑπαρχόντων διαφορά τινες τῶν ἐξ ὕλης εἰσὶν ὡς εἶναι τὸ μέν τι κάλλιον, τὸ δὲ καὶ αὐτὸ μὲν καλόν, πλὴν ὑπό τινος κρείττονος ἐλαττούμενον. Ὥσπερ γὰρ ἡ μὲν τοῦ σώματος σύστασις μιᾶς ἐστιν οἰκονομίας, περὶ δὲ αὐτῷ ἐστι τοῦ γεγενῆσθαι τὸ αἴτιον, καὶ τούτων οὕτως ὄντων διαφοραί τινές εἰσι δόξης ἐν αὐτῷ, καὶ τὸ μέν τι ὀφθαλμός ἐστιν, τὸ δὲ οὖς, τὸ δὲ τριχῶν διακόσμησις καὶ ἐντοσθίων οἰκονομία μυελῶν τε καὶ ὀστέων καὶ νεύρων σύμπηξις, θάτερον δὲ θατέρου ὂν διάφορον κατ' οἰκονομίαν συμφωνίας ἐστὶν ἁρμονία· παραπλησίως καὶ ὁ κόσμος κατὰ τὴν τοῦ πεποιηκότος αὐτὸν δύναμιν τὰ μέν τινα φαιδρότερα, τὰ δέ τινα τούτοις ἀνόμοια κεκτημένος θελήματι τοῦ δημιουργήσαντος πνεύματος μετείληφεν ὑλικοῦ. Τὰ δὲ καθ' ἕκαστα δυνατὸν κατα-*

ἀγρυπνεῖς κατὰ εἱμαρμένην διὰ φιλαργυρίαν; Διατί δὲ κατὰ εἱμαρμένην ὀρεγόμενος ἀποθνήσκεις πολλάκις; Ν' ἀποθνήσκης διὰ τὸν κόσμον ἐγκαταλείπων τὴν εἰς αὐτὸν μανίαν· νὰ ζῇς διὰ τὸν Θεὸν μὲ τὴν κατάληψιν αὐτοῦ ἐγκαταλείπων τὴν παλαιὰν γέννησιν. Δὲν ἐγίναμεν διὰ νὰ ἀποθνήσκωμεν, ἀλλὰ ἀποθνήσκομεν ἐξ αἰτίας ἡμῶν τῶν ἰδίων. Μᾶς κατέστρεψε τὸ εὐτεξούσιον· οἱ ἐλεύθεροι ἐγίναμεν δοῦλοι, ἐπωλήθημεν διὰ τὴν ἁμαρτίαν. Κανὲν φαῦλον δὲν ἐδημιουργήθη ὑπὸ τοῦ Θεοῦ, ἡμεῖς εἴμεθα οἱ ἀναδείξαντες τὴν πονηρίαν· οἱ δὲ ἀναδείξαντες εἶναι ἱκανοὶ πάλιν νὰ τὴν ἀποδιώξουν.

12 Δύο εἴδη πνευμάτων γνωρίζομεν ἡμεῖς, τῶν ὁποίων τὸ μὲν ἓν καλεῖται ψυχή, τὸ δὲ ἄλλο εἶναι μεγαλύτερον τῆς ψυχῆς, Θεοῦ δὲ εἰκὼν καὶ ὁμοίωσις· ἀμφότερα δὲ ὑπῆρχαν εἰς τοὺς πρώτους ἀνθρώπους, οὕτως ὥστε νὰ εἶναι ἀφ' ἑνὸς μὲν ὑλικοί, ἀφ' ἑτέρου δὲ ἀνώτεροι τῆς ὕλης. Ἔχει δὲ ὡς ἑξῆς. Εἶναι δυνατὸν νὰ ἴδωμεν ὅτι ὅλη ἡ κατασκευὴ τοῦ κόσμου καὶ ὅλη ἡ δημιουργία ἔγινεν ἀπὸ ὕλην καὶ ἡ ἰδία δὲ ἡ ὕλη προεβλήθη ὑπὸ τοῦ Θεοῦ, οὕτως ὥστε μέρος μὲν αὐτῆς νὰ νοῆται ὡς ἄπορον καὶ ἀσχημάτιστον πρὶν λάβῃ διάκρισιν, μέρος δὲ νὰ εἶναι διακοσμημένον καὶ εὔτακτον μετὰ τὴν διαίρεσιν εἰς αὐτήν. Εἶναι λοιπὸν εἰς αὐτὴν ὁ οὐρανὸς ἀπὸ ὕλην, καθὼς καὶ τὰ εἰς αὐτὸν ἄστρα· καὶ ἡ γῆ δὲ καὶ πᾶν ζωογονούμενον ἀπὸ αὐτὴν ἔχει ὁμοίαν σύστασιν, ὥστε ἡ γένεσις ὅλων νὰ εἶναι κοινή. Ἀφοῦ δὲ οὕτως ἔχουν ταῦτα, ὑπάρχουν μερικαὶ διαφοραὶ τῶν ἀπὸ ὕλην, ὥστε νὰ εἶναι τὸ μὲν ἓν καλλίτερον, τὸ δὲ ἄλλο καλόν, ἂν καὶ κατώτερον ἑνὸς ἀνωτέρου. Ὅπως δηλαδὴ ἡ μὲν σύστασις τοῦ σώματος εἶναι σύστασις μιᾶς οἰκονομίας, τὸ δὲ αἴτιον τῆς γενέσεως στρέφεται γύρω ἀπὸ αὐτό, καὶ ἀφοῦ οὕτως ἔχουν τὰ πράγματα ὑπάρχουν διαφοραὶ ὀνόματος εἰς αὐτό, καὶ ἄλλο μὲν εἶναι ὀφθαλμός, ἄλλο οὖς, ἄλλο στολισμὸς τριχῶν, διάταξις ἐντοσθίων καὶ συναρμογὴ μυελῶν καὶ ὀστέων καὶ νεύρων, ἐπειδὴ δὲ τὸ ἓν εἶναι διάφορον τοῦ ἄλλου εἶναι κατ' οἰκονομίαν ἁρμονικὴ συμφωνία. Παρομοίως καὶ ὁ κόσμος κατέχων κατὰ τὴν δύναμιν τοῦ δημιουργήσαντος αὐτὸν ἄλλα φαιδρότερα καὶ μερικὰ ἄλλα ἀνόμοια μὲ αὐτὰ διὰ τοῦ θελήματος τοῦ δημιουργοῦ μετέ-

νοῆσαι τῷ μὴ κενοδόξως ἀποσκορακίζοντι τὰς θειοτάτας ἑρμηνείας, αἳ κατὰ χρόνον διὰ γραφῆς ἐξεληλεγμέναι πάνυ θεοφιλεῖς τοὺς προσέχοντας αὐταῖς πεποιήκασιν. Ὅμως δ' οὖν καὶ οἱ δαίμονες, οὓς ὑμεῖς οὕτω φατέ, σύμπηξιν ἐξ ὕλης λαβόντες κτησάμενοί τε πνεῦμα τὸ ἀπ' αὐτῆς ἄσωτοι καὶ λίχνοι γεγόνασιν, οἱ μέν τινες αὐτῶν ἐπὶ τὸ καθαρώτερον τραπέντες, οἱ δὲ τῆς ὕλης ἐπιλεξάμενοι τὸ ἔλαττον καὶ κατὰ τὸ ὅμοιον αὐτῇ πολιτευόμενοι.

12a Τούτους δέ, ἄνδρες Ἕλληνες, προσκυνεῖτε γεγονότας μὲν ἐξ ὕλης, μακρὰν δὲ τῆς εὐταξίας εὑρεθέντας. Οἱ γὰρ προειρημένοι τῇ σφῶν ἀβελτερίᾳ πρὸς τὸ κενοδοξεῖν τραπέντες καὶ ἀφηνιάσαντες λῃσταὶ θεότητος γενέσθαι προὐθυμήθησαν· ὁ δὲ τῶν ὅλων δεσπότης ἐντρυφᾶν αὐτοὺς εἴασε μέχρις ἂν ὁ κόσμος πέρας λαβὼν ἀναλυθῇ, καὶ ὁ δικαστὴς παραγένηται, καὶ πάντες οἱ ἄνθρωποι διὰ τῆς τῶν δαιμόνων ἐπαναστάσεως ἀφιέμενοι τῆς τοῦ τελείου Θεοῦ γνώσεως τελειοτέραν διὰ τῶν ἀγώνων ἐν ἡμέρᾳ κρίσεως τὴν μαρτυρίαν λάβωσιν. Ἔστιν οὖν πνεῦμα ἐν φωστῆρσιν, πνεῦμα ἐν ἀγγέλοις, πνεῦμα ἐν φυτοῖς καὶ ὕδασι, πνεῦμα ἐν ἀνθρώποις, πνεῦμα ἐν ζώοις· ἓν δὲ ὑπάρχον καὶ ταὐτὸν διαφορὰς ἐν αὐτῷ κέκτηται. Ταῦτα δὲ ἡμῶν λεγόντων οὐκ ἀπὸ γλώττης οὐδὲ ἀπὸ τῶν εἰκότων οὐδὲ ἀπ' ἐννοιῶν συντάξεώς τε σοφιστικῆς, θειοτέρας δέ τινος ἐκφωνήσεως λόγοις καταχρωμένων οὓς οἱ βουλόμενοι μανθάνειν σπεύσατε· καὶ οἱ τὸν Σκύθην Ἀνάχαρσιν μὴ ἀποσκορακίζοντες καὶ νῦν μὴ ἀναξιοπαθήσητε παρὰ τοῖς βαρβαρικῇ νομοθεσίᾳ παρακολουθοῦσι παιδεύεσθαι. Χρήσασθε τοῖς δόγμασιν ἡμῶν κἂν ὡς τῇ κατὰ Βαβυλωνίους προγνωστικῇ· κατακούσατε λεγόντων ἡμῶν κἂν ὡς δρυὸς μαντευομένης. Καὶ τὰ μὲν προειρημένα παραφόρων δαιμόνων ἐστὶν ἀντισοφιστεύματα, τὰ δὲ τῆς ἡμετέρας παιδείας ἐστὶν ἀνωτέρω τῆς κοσμικῆς καταλήψεως.

13 Οὐκ ἔστιν ἀθάνατος, ἄνδρες Ἕλληνες, ἡ ψυχὴ καθ' ἑαυτήν, θνητὴ δέ· ἀλλὰ δυνατὸν ἡ αὐτὴ καὶ μὴ ἀποθνήσκειν. Θνήσκει μὲν γὰρ καὶ λύεται μετὰ τοῦ σώματος μὴ γινώσκουσα τὴν ἀλήθειαν,

λαβε ὑλικοῦ πνεύματος. Τὰ δὲ ἐπὶ μέρους εἶναι δυνατὸν νὰ κατανοήση ὁ μὴ κενοδόξως ἀπορρίπτων τὰς θείας ἑρμηνείας, αἱ ὁποῖαι ἐπιβεβαιωθεῖσαι διὰ συγγραφῆς κατὰ χρόνον κατέστησαν τοὺς προσέχοντας εἰς αὐτὰς πολὺ θεοφιλεῖς. Ἀλλ' ὅμως καὶ οἱ δαίμονες, τοὺς ὁποίους σεῖς λέγετε οὕτω, λαβόντες ἀπὸ τὴν ὕλην κρᾶμα καὶ ἀποκτήσαντες τὸ ἀπὸ αὐτὴν πνεῦμα ἔγιναν ἄσωτοι καὶ λαίμαργοι, μερικοὶ μὲν ἀπὸ αὐτοὺς στραφέντες πρὸς τὸ καθαρώτερον, ἄλλοι δὲ ἐπιλέξαντες ἀπὸ τὴν ὕλην τὸ ἐλάχιστον καὶ πολιτευόμενοι κατὰ τὸ ὅμοιον μὲ αὐτήν.

12α Τούτους δέ, ἄνδρες Ἕλληνες, προσκυνεῖτε καμωμένους ἀπὸ ὕλην, εὑρισκομένους δὲ μακρὰν τῆς εὐταξίας. Διότι οἱ προειρημένοι μὲ τὴν ἀνοησίαν των στραφέντες πρὸς τὴν κενοδοξίαν καὶ ἀφηνιάσαντες ἐπροθυμοποιήθησαν νὰ γίνουν λησταὶ θεότητος· ὁ δὲ δεσπότης τῶν ὅλων τοὺς ἄφησε νὰ ἐντρυφοῦν μέχρις ὅτου ὁ κόσμος, λαβὼν πέρας, ἀποσυντεθῆ, καὶ φθάση ὁ δικαστὴς καὶ ὅλοι οἱ ἄνθρωποι διὰ τῆς ἐπαναστάσεως τῶν δαιμόνων ἀπολέσαντες τὴν γνῶσιν τοῦ τελείου Θεοῦ λάβουν κατὰ τὴν ἡμέραν τῆς κρίσεως τελειοτέραν τὴν μαρτυρίαν διὰ τῶν ἀγώνων. Ὑπάρχει λοιπὸν πνεῦμα εἰς φωστῆρας, πνεῦμα εἰς ἀγγέλους, πνεῦμα εἰς φυτὰ καὶ ὕδατα, πνεῦμα εἰς ἀνθρώπους, πνεῦμα εἰς ζῶα· ἐνῶ δὲ εἶναι ἕν, ἔχει καὶ διαφορὰς εἰς ἑαυτό. Ἐνῶ δὲ ἡμεῖς λέγομεν ταῦτα ὄχι μὲ τὴν γλῶσσαν οὔτε κατ' εἰκασίαν οὔτε βάσει σοφιστικῶν συλλογισμῶν ἀλλὰ διὰ χρησιμοποιήσεως λόγων θειοτέρας προελεύσεως, τοὺς ὁποίους σπεύσατε νὰ μάθετε ὅσοι θέλετε, σεῖς οἱ μὴ ἀπορρίπτοντες τὸν Σκύθην Ἀνάχαρσιν, μὴ ἀναξιοπαθήσετε τώρα ἀπὸ τοὺς δεχθέντας νὰ παιδεύωνται κατὰ τὴν βαρβαρικὴν νομοθεσίαν. Χρησιμοποιήσατε τὸ δόγματά μας, ἔστω καὶ ὡς τὴν προγνωστικὴν τῶν Βαβυλωνίων· ἀκούσατε ἡμᾶς, ὅταν ὁμιλοῦμεν, τουλάχιστον ὡς μαντευομένην δρῦν. Καὶ τὰ μὲν προειρημένα εἶναι σοφίσματα παραφόρων δαιμόνων, ἐνῶ ἡ ἰδική μας παιδεία εἶναι ὑπεράνω τῆς κοσμικῆς καταλήψεως.

13 Δὲν εἶναι ἀθάνατος, ἄνδρες Ἕλληνες, ἡ ψυχὴ καθ' ἑαυτήν, ἀλλὰ θνητή· ἀλλὰ εἶναι δυνατὸν ἡ ἰδία καὶ νὰ μὴ ἀποθνήσκη. Διότι ἀποθνήσκει μὲν καὶ διαλύεται μαζὶ μὲ τὸ σῶμα,

*ἀνίσταται δὲ εἰς ὕστερον ἐπὶ συντελείᾳ τοῦ κόσμου σὺν τῷ σώματι θάνατον διὰ τιμωρίας ἐν ἀθανασίᾳ λαμβάνουσα· πάλιν τε οὐ θνήσκει, κἂν πρὸς καιρὸν λυθῇ, τὴν ἐπίγνωσιν τοῦ Θεοῦ πεποιημένη. Καθ' ἑαυτὴν γὰρ σκότος ἐστίν, καὶ οὐδὲν ἐν αὐτῇ φωτεινόν, καὶ τοῦτό ἐστιν ἄρα τὸ εἰρημένον, «ἡ σκοτία τὸ φῶς οὐ καταλαμβάνει». Ψυχὴ γὰρ οὐκ αὐτὴ τὸ πνεῦμα ἔσωσεν, ἐσώθη δὲ ὑπ' αὐτοῦ· καὶ τὸ φῶς τὴν σκοτίαν κατέλαβεν ᾗ λόγος μέν ἐστι τὸ τοῦ Θεοῦ φῶς, σκότος δὲ ἡ ἀνεπιστήμων ψυχή.*

13a *Διὰ τοῦτο μόνη μὲν διαιτωμένη πρὸς τὴν ὕλην νεύει κάτω συναποθνήσκουσα τῇ σαρκί, συζυγίαν δὲ κεκτημένη τὴν τοῦ θείου Πνεύματος οὐκ ἔστιν ἀβοήθητος, ἀνέρχεται δὲ πρὸς ἅπερ αὐτὴν ὁδηγεῖ χωρία τὸ Πνεῦμα· τοῦ μὲν γάρ ἐστιν ἄνω τὸ οἰκητήριον, τῆς δὲ κάτωθέν ἐστιν ἡ γένεσις. Γέγονεν μὲν οὖν συνδίαιτον ἀρχῆθεν τῇ ψυχῇ τὸ Πνεῦμα· τὸ δὲ Πνεῦμα ταύτην ἕπεσθαι μὴ βουλομένην αὐτῷ καταλέλοιπεν. Ἡ δὲ ὥσπερ ἔναυσμα τῆς δυνάμεως αὐτοῦ κεκτημένη καὶ διὰ τὸν χωρισμὸν τὰ τέλεια καθορᾶν μὴ δυναμένη, ζητοῦσα τὸν Θεὸν κατὰ πλάνην πολλοὺς θεοὺς ἀνετύπωσε τοῖς ἀντισοφιστεύουσι δαίμοσι κατακολουθοῦσα. Πνεῦμα δὲ τοῦ Θεοῦ παρὰ πᾶσιν μὲν οὐκ ἔστι, παρὰ δέ τισι τοῖς δικαίως πολιτευομένοις καταγινόμενον καὶ συμπεριπλεκόμενον τῇ ψυχῇ διὰ προαγορεύσεων ταῖς λοιπαῖς ψυχαῖς τὸ κεκρυμμένον ἀνήγγειλε· καὶ αἱ μὲν πειθόμεναι τῇ σοφίᾳ σφίσιν αὐταῖς ἐφεῖλκον τὸ Πνεῦμα συγγενές, αἱ δὲ μὴ πειθόμεναι καὶ τὸν διάκονον τοῦ πεπονθότος Θεοῦ παραιτούμεναι θεομάχοι μᾶλλον ἤπερ θεοσεβεῖς ἀνεφαίνοντο.*

14 *Τοιοῦτοί τινές ἐστε καὶ ὑμεῖς, ὦ Ἕλληνες, ῥήμασι μὲν στωμύλοι, γνώμην δὲ ἔχοντες ἀλλόκοτον, καὶ τὴν πολυκοιρανίην μᾶλλον ἤπερ τὴν μοναρχίαν ἐξησκήσατε καθάπερ ἰσχυροῖς νομίζοντες τοῖς δαίμοσι κατακολουθεῖν. Ὥσπερ γὰρ ὁ λῃστεύων ἀπάνθρωπος ὢν διὰ τόλμης τῶν ὁμοίων ἐπικρατεῖν εἴωθεν, οὕτω καὶ οἱ δαίμονες εἰς πολλὴν κακίαν ἐξοκείλαντες τὰς μεμονωμένας παρ' ὑμῖν ψυχὰς δι' ἀγνοιῶν καὶ φαντασιῶν ἐξηπατήκα-*

17. Ἰω. 1,5.

ἀγνοοῦσα τὴν ἀλήθειαν, ἀνίσταται δὲ ἔπειτα κατὰ τὴν συντέλειαν τοῦ κόσμου μαζὶ μὲ τὸ σῶμα λαμβάνουσα ὡς τιμωρίαν θάνατον εἰς ἄπειρον χρόνον· πάλιν ὅμως δὲν ἀποθνήσκει, ἔστω καὶ ἂν πρὸς καιρὸν διαλυθῇ, ὅταν ἐπιγινώσκῃ τὸν Θεόν. Διότι καθ' ἑαυτὴν εἶναι σκότος καὶ δὲν ὑπάρχει τίποτε εἰς αὐτὴν φωτεινόν, καὶ τοῦτο σημαίνει τὸ εἰρημένον, «ἡ σκοτία δὲν καταλαμβάνει τὸ φῶς»[17]. Δὲν εἶναι ἡ ψυχὴ ἡ ὁποία ἔσωσε τὸ πνεῦμα, ἀλλὰ ἡ σωθεῖσα ὑπ' αὐτοῦ· καὶ τὸ φῶς κατέλαβε τὴν σκοτίαν, καθ' ὅ λόγος μὲν εἶναι τὸ φῶς τοῦ Θεοῦ, σκότος δὲ ἡ ἀνεπιστήμων ψυχή.

13α Διὰ τοῦτο, ὅταν μὲν διαβιοῖ μόνη μετὰ τῆς ὕλης κλίνει πρὸς τὰ κάτω συναποθνήσκουσα μὲ τὴν σάρκα, ὅταν δὲ ἔχῃ συζυγίαν μὲ τὸ θεῖον πνεῦμα δὲν εἶναι ἀβοήθητος, ἀλλ' ἀνέρχεται πρὸς τοὺς χώρους ὅπου τὴν ὁδηγεῖ τὸ πνεῦμα· διότι τοῦ μὲν πνεύματος τὸ οἰκητήριον εἶναι ἄνω, τῆς δὲ ψυχῆς ἡ γένεσις εἶναι κάτω. Ἔγινε μὲν λοιπὸν ἀπὸ τὴν ἀρχὴν τὸ πνεῦμα συνδίαιτον μὲ τὴν ψυχήν· τὸ δὲ πνεῦμα, ἐπειδὴ αὕτη δὲν ἤθελε νὰ τὸ ἀκολουθήσῃ, τὴν ἐγκατέλειψεν. Αὐτὴ δὲ ἔχουσα ἓν εἶδος ἐναύσματος τῆς δυνάμεως αὐτοῦ καὶ μὴ δυναμένη λόγω τοῦ χωρισμοῦ νὰ καθορᾷ τὰ τέλεια, ζητοῦσα τὸν Θεὸν κατὰ πεπλανημένον τρόπον διεμόρφωσε πολλοὺς θεοὺς ἀκολουθοῦσα τοὺς πειράζοντας δαίμονας. Πνεῦμα δὲ τοῦ Θεοῦ δὲν ὑπάρχει εἰς ὅλους, ἀλλὰ καταφθάνον εἰς μερικοὺς ἀπὸ τοὺς δικαίως πολιτευομένους καὶ συναπτόμενον μὲ τὴν ψυχήν των ἀνήγγειλεν εἰς τὰς ἄλλας ψυχὰς τὰ ἀπόκρυφα διὰ προφητειῶν. Καὶ αἱ μὲν πειθόμεναι εἰς τὴν σοφίαν εἵλκυαν τὸ πνεῦμα πρὸς ἑαυτὰς ὡς συγγενές, αἱ δὲ μὴ πειθόμεναι καὶ ἀποφεύγουσαι τὸν διάκονον τοῦ ἀποθανόντος Θεοῦ ἐφάνησαν μᾶλλον θεομάχοι παρὰ θεοσεβεῖς.

14 Τοιοῦτοι εἶσθε καὶ σεῖς, Ἕλληνες, εὐφραδεῖς μὲν εἰς τὰ λόγια, ἔχοντες δὲ γνώμην ἀλλόκοτον· ἐξησκήσατε τὴν πολυαρχίαν περισσότερον ἀπὸ τὴν μοναρχίαν, θεωροῦντες πρέπον ν' ἀκολουθῆτε τοὺς δαίμονας ὡς ἰσχυρούς. Ὅπως δηλαδὴ ὁ ληστὴς ὡς ἀπάνθρωπος ἐπικρατεῖ συνήθως τῶν ὁμοίων διὰ τῆς τόλμης, οὕτω καὶ οἱ δαίμονες, ἐξοκείλαντες εἰς πολλὴν κακίαν ἐξηπάτησαν μὲ ἀγνοήματα καὶ φαντασιοκοπήματα τὰς μεμονω-

*σιν. Οἳ θνῄσκουσι μὲν οὐ ῥᾳδίως, σαρκὸς γὰρ ἀμοιροῦσι· ζῶντες δὲ θανάτου πράττουσιν ἐπιτηδεύματα τοσαυτάκις καὶ αὐτοὶ θνῄσκοντες ὁσάκις ἂν τοὺς ἑπομένους αὐτοῖς τὰς ἁμαρτίας ἐκπαιδεύσωσιν, ὥσθ' ὅπερ ἐστὶν αὐτοῖς περιττὸν ἐν τῷ νῦν, μὴ ὁμοίως τοῖς ἀνθρώποις ἀποθνῄσκειν, τοῦθ' ὁπόταν μέλλωσι κολάζεσθαι πικρὸν αὐτοῖς...*

14a ...*Οὐ μεθέξουσιν ἀϊδίου ζωῆς ἀντὶ θανάτου ἐν ἀθανάτῳ μεταλαμβάνοντες. Ὥσπερ δὲ ἡμεῖς, οἷς τὸ θνῄσκειν ῥᾴδιον ἀποβαίνει νῦν, εἰσαῦθις ἢ μετὰ ἀπολαύσεως τὸ ἀθάνατον ἢ τὸ λυπηρὸν μετὰ ἀθανασίας προσλαμβάνομεν, οὕτω καὶ οἱ δαίμονες τῇ νῦν ζωῇ πρὸς τὸ πλημμελεῖν καταχρώμενοι διὰ παντὸς καὶ διὰ τοῦ ζῆν ἀποθνῄσκοντες εἰσαῦθις ἕξουσιν τὴν αὐτὴν ἀθανασίαν ὁμοίαν τῆς παρ' ὃν ἔζων χρόνον...*

14β ...*Κατὰ μὲν τὴν σύστασιν ὁμοίαν ἀνθρώποις τοῖς κατὰ γνώμην διαπραξαμένοις ἅπερ αὐτοῖς παρ' ὃν ἔζων χρόνον νενομοθετήκασι. Καὶ μήτι γε τοῖς μὲν ἑπομένοις αὐτοῖς ἐλάττονα τῆς ἁμαρτίας ἐξανθοῦσι τὰ εἴδη διὰ τὸ μὴ πολυχρονίως βιοῦν, τοῖς δὲ προειρημένοις δαίμοσιν τὸ πλημμελεῖν μεῖζον ἀποβέβηκεν διὰ τὸ ἄπειρον τῆς βιότητος.*

15 *Καὶ χρὴ λοιπὸν ἡμᾶς ὅπερ ἔχοντες ἀπολωλέκαμεν τοῦτο νῦν ἀναζητεῖν ζευγνύναι τε τὴν ψυχὴν τῷ Πνεύματι τῷ ἁγίῳ καὶ τὴν κατὰ Θεὸν συζυγίαν πραγματεύεσθαι. Ψυχὴ μὲν οὖν ἡ τῶν ἀνθρώπων πολυμερής ἐστι καὶ οὐ μονομερής. Συνθετὴ γάρ ἐστιν ὡς εἶναι φανερὰν αὐτὴν διὰ σώματος· οὔτε γὰρ ἂν αὐτὴ φανείη ποτὲ χωρὶς σώματος οὔτε ἀνίσταται ἡ σὰρξ χωρὶς ψυχῆς. Ἔστι γὰρ ἄνθρωπος οὐχ, ὥσπερ οἱ κορακόφωνοι δογματίζουσι, ζῶον λογικὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· δειχθήσεται γὰρ κατ' αὐτοὺς καὶ τὰ ἄλογα νοῦ καὶ ἐπιστήμης δεκτικά· μόνος δὲ ὁ ἄνθρωπος εἰκὼν καὶ ὁμοίωσις τοῦ Θεοῦ· λέγω δὲ ἄνθρωπον οὐχὶ τὸν ὅμοια τοῖς ζώοις πράττοντα, ἀλλὰ τὸν πόρρω μὲν τῆς ἀνθρωπότητος πρὸς αὐτὸν δὲ τὸν Θεὸν κεχωρηκότα.*

15a *Καὶ περὶ μὲν τούτου ἐν τῷ Π ε ρ ὶ ζ ώ ω ν ἀκριβέστερον ἡμῖν συντέτακται, τὸ δὲ νῦν συνέχον ῥητέον, ποταπὴ τίς ἐστιν ἡ*

18. Γεν. 1,26 ἑ.

μένας πλησίον σας ψυχάς. Οἱ ὁποῖοι ἀποθνήσκουν μὲν ὄχι εὐκόλως, στεροῦνται δὲ σαρκός· ζῶντες δὲ πράττουν ἔργα θανάτου, ἀποθνήσκοντες καὶ αὐτοὶ ὁσάκις ἐκπαιδεύουν τοὺς ἀκολουθοῦντας αὐτοὺς εἰς τὰς ἁμαρτίας, ὥστε ὅ,τι εἶναι εἰς αὐτοὺς περιττὸν κατὰ τὸ παρὸν, τὸ νὰ μὴ ἀποθνήσκουν δηλαδὴ ὁμοίως μὲ τοὺς ἀνθρώπους, τοῦτο ὅταν πρόκειται νὰ τιμωρηθοῦν εἶναι δι' αὐτοὺς πικρὸν ...

14α ...Δὲν θὰ μεθέξουν ἀϊδίου ζωῆς ἀντὶ θανάτου μεταλαμβάνοντες εἰς ἀθανασίαν. Ὅπως δὲ ἡμεῖς, εἰς τοὺς ὁποίους ὁ θάνατος ἀποβαίνει τώρα εὐκολώτερος, προσλαμβάνομεν ἐκ νέου ἢ τὴν ἀθανασίαν μὲ ἀπόλαυσιν ἢ τὴν λύπην μὲ ἀθανασίαν, οὕτω καὶ οἱ δαίμονες καταχρώμενοι παντοτινὰ τὴν τωρινὴν ζωὴν πρὸς παρανομίαν καὶ ἀποθνήσκοντες διὰ τοῦ ζῆν πάλιν θὰ ἔχουν τὴν ἰδίαν ἀθανασίαν ὁμοίαν μ' ἐκείνην τοῦ χρόνου κατὰ τὸν ὁποῖον ἔζων...

14β ...Κατὰ μὲν τὴν διάθεσιν ὁμοίαν μὲ ἀνθρώπους οἱ ὁποῖοι ἔπραξαν κατὰ γνώμην ὅσα εἶχον νομοθετήσει δι' αὐτοὺς καθ' ὃν χρόνον ἔζων. Καὶ δὲν ἀναπτύσσονται ὀλιγώτερα εἴδη ἁμαρτίας εἰς τοὺς ἀνθρώπους διὰ τὸν λόγον ὅτι δὲν ζοῦν πολυχρονίως, εἰς δὲ τοὺς δαίμονας εἶναι μεγαλυτέρα ἡ πλημμέλεια διὰ τὸ ἄπειρον τῆς διαβιώσεως.

15 Καὶ πρέπει λοιπὸν ὅ,τι εἴχαμεν καὶ ἐχάσαμεν, τοῦτο νὰ ἀναζητοῦμεν τώρα καὶ νὰ ζευγνύωμεν τὴν ψυχὴν μὲ τὸ ἅγιον Πνεῦμα καὶ νὰ ἐπιδιώκωμεν τὴν κατὰ Θεὸν συζυγίαν. Ἡ ψυχὴ τῶν ἀνθρώπων λοιπὸν εἶναι πολυμερὴς καὶ ὄχι μονομερής. Διότι εἶναι σύνθετος, ὥστε νὰ εἶναι φανερὰ διὰ τοῦ σώματος. Πράγματι οὔτε αὐτὴ δύναται νὰ φανῇ ποτὲ χωρὶς σῶμα οὔτε ἀνίσταται ἡ σὰρξ χωρὶς ψυχήν. Διότι ὁ ἄνθρωπος δὲν εἶναι, ὅπως δογματίζουν οἱ κορακόφωνοι, ζῶον λογικὸν δεκτικὸν νοῦ καὶ ἐπιστήμης· διότι κατ' αὐτοὺς θὰ δειχθοῦν καὶ τὰ ἄλογα ὡς δεκτικὰ νοῦ καὶ ἐπιστήμης· μόνος δὲ ὁ ἄνθρωπος εἶναι εἰκὼν καὶ ὁμοίωσις τοῦ Θεοῦ[18]· λέγω δὲ ἄνθρωπον ὄχι τὸν πράττοντα ὅμοια μὲ τὰ ζῶα, ἀλλὰ τὸν μακρὰν ἀπὸ τοὺς ἀνθρώπους προχωρήσαντα καὶ φθάσαντα πρὸς τὸν ἴδιον τὸν Θεόν.

15α Καὶ περὶ μὲν τούτου ἔχει ἀναπτυχθεῖ ἀπὸ ἡμᾶς ἀκριβέστερον εἰς τὸ ἔργον *Περὶ ζώων*· τὸ βασικὸν ὅμως εἶναι τώρα νὰ

*κατὰ Θεὸν εἰκὼν καὶ ὁμοίωσις. Τὸ μὲν ἀσύγκριτον οὐδέν ἐστιν ἕτερον ἢ αὐτὸ τὸ ὄν, τὸ δὲ συγκρινόμενον οὔτι ἕτερον ἢ τὸ παρόμοιον. Ἄσαρκος μὲν οὖν ὁ τέλειος Θεός, ἄνθρωπος δὲ σάρξ· δεσμὸς δὲ τῆς σαρκὸς ψυχή, σχετικὴ δὲ τῆς ψυχῆς ἡ σάρξ. Τὸ δὲ τοιοῦτον τῆς συστάσεως εἶδος εἰ μὲν ὡς ναὸς εἴη, κατοικεῖν ἐν αὐτῷ Θεὸς βούλεται διὰ τοῦ πρεσβεύοντος πνεύματος· τοιούτου δὲ μὴ ὄντος τοῦ σκηνώματος προὔχει τῶν θηρίων ὁ ἄνθρωπος κατὰ τὴν ἔναρθρον φωνὴν μόνον, τὰ δὲ λοιπὰ τῆς αὐτῆς ἐκείνοις διαίτης ἐστίν, οὐκ ὢν ὁμοίωσις τοῦ Θεοῦ. Δαίμονες δὲ πάντες σαρκίον μὲν οὐ κέκτηνται, πνευματικὴ δέ ἐστιν αὐτοῖς ἡ σύμπηξις ὡς πυρὸς καὶ ἀέρος. Μόνοις γοῦν τοῖς πνεύματι Θεοῦ φρουρουμένοις εὐσύνοπτα καὶ τὰ τῶν δαιμόνων ἐστὶ σώματα, τοῖς λοιποῖς δὲ οὐδαμῶς, λέγω δὲ τοῖς ψυχικοῖς. Τὸ γὰρ ἔλαττον κατάληψιν οὐκ ἰσχύει ποιεῖσθαι τοῦ κρείττονος. Διὰ τοῦτο γοῦν ἡ τῶν δαιμόνων ὑπόστασις οὐκ ἔχει «μετανοίας τόπον». Τῆς γὰρ ὕλης καὶ πονηρίας εἰσὶν ἀπαυγάσματα, ὕλη δὲ τῆς ψυχῆς κατεξουσιάζειν ἠθέλησε· καὶ κατὰ τὸ αὐτεξούσιον οἱ μὲν θανάτου νόμους τοῖς ἀνθρώποις παραδεδώκασιν, οἱ δὲ ἄνθρωποι μετὰ τὴν τῆς ἀθανασίας ἀποβολὴν θανάτῳ τῷ διὰ πίστεως τὸν θάνατον νενικήκασιν, καὶ διὰ μετανοίας κλῆσις αὐτοῖς δεδώρηται κατὰ τὸν εἰπόντα λόγον· «ἐπειδὴ βραχύ τι παρ' ἀγγέλους ἠλαττώθησαν». Δυνατὸν δὲ παντὶ τῷ νενικημένῳ πάλιν νικᾶν, τοῦ θανάτου τὴν σύστασιν παραιτούμενον· τίς δέ ἐστιν αὕτη. Εὐσύνοπτον ἔσται τοῖς βουλομένοις ἀνθρώποις τὸ ἀθάνατον.*

16 *Δαίμονες δὲ οἱ τοῖς ἀνθρώποις ἐπιτάττοντες οὔκ εἰσιν αἱ τῶν ἀνθρώπων ψυχαί. Πῶς γὰρ ἂν γένοιντο δραστικαὶ καὶ μετὰ τὸ ἀποθανεῖν χωρὶς εἰ μὴ ζῶν μὲν ὁ ἄνθρωπος ἀνόητος καὶ ἀδύνατος γένοιτο, νεκρὸς δὲ γενόμενος λοιπὸν δραστικωτέρας πιστεύοιτο μεταλαμβάνειν δυνάμεως; Ἀλλ' οὔτε τοῦθ' οὕτως ἐστίν, ὡς ἐν ἄλλοις ἀπεδείξαμεν, καὶ χαλεπὸν οἴεσθαι τὴν ἀθάνατον ὑπὸ τῶν τοῦ σώματος μερῶν ἐμποδιζομένην φρονιμωτέραν, ἐπειδὰν ἀπ' αὐτοῦ μεταναστῇ, γίνεσθαι. Δαίμονες γὰρ τῇ σφῶν κακοηθείᾳ*

19. Α' Κορ. 3,16. Β' Κορ. 6,16. Ἐφ. 2,21 ἑ. 20. Ἑβρ. 12,17.

λεχθῆ, ποία εἶναι ἡ κατά Θεὸν εἰκὼν καὶ ὁμοίωσις. Τὸ μὲν ἀσύγκριτον δὲν εἶναι τίποτε ἄλλο ἀπὸ αὐτὸ τὸ ὄν, τὸ δὲ συγκρινόμενον δὲν εἶναι ἄλλο ἀπὸ τὸ παρόμοιον. Ὁ τέλειος Θεὸς λοιπὸν εἶναι ἄσαρκος, ὁ δὲ ἄνθρωπος σάρξ· σύνδεσμος δὲ τῆς σαρκὸς εἶναι ἡ ψυχή, σχετικὴ δὲ τῆς ψυχῆς εἶναι ἡ σάρξ. Τὸ δὲ τοιοῦτον εἶδος τῆς δομῆς, ἐὰν μὲν εἶναι ὡς ναός, θέλει νὰ κατοικῇ ὁ Θεός εἰς αὐτὸν[19] διὰ τοῦ ὑπερέχοντος πνεύματος· ἐπειδὴ ὅμως τὸ σκήνωμα δὲν εἶναι τοιοῦτο, ὁ ἄνθρωπος ὑπερέχει τῶν θηρίων μόνον κατὰ τὴν ἔναρθρον φωνήν, τὰ δὲ λοιπὰ εἶναι τῆς ἰδίας μὲ ἐκεῖνα διαίτης, ἀφοῦ δὲν εἶναι ὁμοίωσις τοῦ Θεοῦ. Οἱ δὲ δαίμονες ὅλοι σαρκίον μὲν δὲν ἔχουν, ἀλλ' ἡ δομή των εἶναι πνευματική, ὡς πυρὸς καὶ ἀέρος. Τὰ σώματα δὲ τῶν δαιμόνων εἶναι καταληπτὰ ἀπὸ μόνους τοὺς φρουρουμένους ὑπὸ τοῦ Πνεύματος Θεοῦ, ἀπὸ τοὺς λοιποὺς δὲ καθόλου, δηλαδὴ τοὺς ψυχικούς. Διότι τὸ κατώτερον δὲν δύναται νὰ καταλάβη τὸ ἀνώτερον. Διὰ τοῦτο λοιπὸν ἡ ὑπόστασις τῶν δαιμόνων δὲν ἔχει «τόπον μετανοίας»[20]. Διότι εἶναι ἀπαυγάσματα τῆς ὕλης καὶ πονηρίας, ἡ δὲ ὕλη ἠθέλησε νὰ κατεξουσιάση τῆς ψυχῆς· καὶ κατὰ τὸ αὐτεξούσιον ἐκεῖνοι μὲν παρέδωσαν εἰς τοὺς ἀνθρώπους νόμους θανάτου, οἱ δὲ ἄνθρωποι μετὰ τὴν ἀποβολὴν τῆς ἀθανασίας, ἐνίκησαν τὸν θάνατον διὰ τοῦ ἐν τῇ πίστει θανάτου καὶ διὰ μετανοίας ἐδωρήθη εἰς αὐτοὺς κλῆσις κατὰ τὸν λόγον, ὁ ὁποῖος εἶπεν, «ἐπειδὴ ἐπλάσθησαν ὀλίγον μόνον κατώτεροι ἀπὸ τοὺς ἀγγέλους»[21]. Εἶναι δὲ δυνατὸν εἰς πάντα ἡττημένον νὰ νικήση πάλιν, ὅταν ἀποφύγῃ τὴν δέσμευσιν τοῦ θανάτου· ποία δὲ εἶναι αὐτῆ ... θὰ εἶναι εὔληπτον τὸ ἀθάνατον εἰς τοὺς ἀνθρώπους οἱ ὁποῖοι θέλουν.

16 Οἱ δὲ δαίμονες, οἱ ὁποῖοι προστάσσουν τοὺς ἀνθρώπους, δὲν εἶναι αἱ ψυχαὶ τῶν ἀνθρώπων. Διότι πῶς θὰ ἦτο δυνατὸν νὰ εἶναι δραστήριοι καὶ μετὰ τὸν θάνατον, χωρισμέναι, ἐκτὸς ἐὰν ζῶν μὲν ὁ ἄνθρωπος γίνεται ἀνόητος καὶ ἀδύνατος, ὅταν δὲ νεκρωθῆ, πιστεύεται ὅτι ἀποκτᾶ δραστικωτέραν δύναμιν; Ἀλλ' οὔτε τοῦτο ἔχει οὕτως, ὅπως ἀπεδείξαμεν εἰς ἄλλα χωρία, καὶ εἶναι δεινὸν νὰ νομίζωμεν ὅτι ἡ ἀθάνατος ψυχή, ἐμποδιζομένη ἀπὸ τὰ μέρη τοῦ σώματος, γίνεται φρονιμωτέρα, ὅταν ἀποχω-

21. Ψαλμ. 8,6.

*τοῖς ἀνθρώποις ἐμβακχεύοντες, ποικίλαις καὶ ἐψευσμέναις δραματουργίαις τὰς γνώμας αὐτῶν παρατρέπουσι κάτω νενευκυίας, ὅπως μεταρσιοῦσθαι πρὸς τὴν ἐν οὐρανοῖς πορείαν ἐξαδυνατῶσιν. Ἀλλ' οὔτε ἡμᾶς τὰ ἐν κόσμῳ λέληθε, καὶ ὑμῖν εὐκατάληπτον ἔσται τὸ θεῖον τῆς ἀπαθανατιζούσης τὰς ψυχάς...ὑμῖν προσελθούσης.*

*16a Βλέπονται δὲ καὶ ὑπὸ τῶν ψυχικῶν οἱ δαίμονες, ἔσθ' ὅτε τοῖς ἀνθρώποις ἑαυτοὺς ἐκείνων δεικνύντων, ἵνα τε νομισθῶσιν εἶναί τινες ἢ καί τι βλάψωσι καθάπερ πολεμίους, φίλοι κακοὶ τὴν γνώμην ὑπάρχοντες, ἢ τῆς εἰς αὐτοὺς θρησκείας τοῖς ὁμοίοις αὐτοῖς τὰς ἀφορμὰς παράσχωσιν. Εἰ γὰρ δυνατὸν αὐτοῖς, πάντως ἂν καὶ τὸν οὐρανὸν συνάμα τῇ λοιπῇ ποιήσει καθείλκυσαν· νῦν δὲ τοῦτο μὲν πράττουσιν οὐδαμῶς ἀδυνατοῦσι γάρ· ὕλῃ δὲ τῇ κάτω πρὸς τὴν ὁμοίαν αὐτοῖς ὕλην πολεμοῦσιν. Τούτους δὲ νικᾶν ἄν τις θελήσῃ, τὴν ὕλην παραιτησάσθω· θώρακι γὰρ Πνεύματος ἐπουρανίου καθωπλισμένος πᾶν τὸ ὑπ' αὐτοῦ περιεχόμενον σῶσαι δυνατὸς ἔσται. Εἰσὶν μὲν οὖν καὶ νόσοι καὶ στάσεις τῆς ἐν ἡμῖν ὕλης· δαίμονες δὲ αὐτοὶ τούτων τὰς αἰτίας, ἐπειδὰν συμβαίνωσιν, ἑαυτοῖς προσγράφουσιν, ἐπιόντες ὁπόταν καταλαμβάνῃ κάματος. Ἔστι δὲ ὅτε καὶ αὐτοὶ χειμῶνι τῆς σφῶν ἀβελτερίας κραδαίνουσιν τὴν ἕξιν τοῦ σώματος· οἳ λόγῳ Θεοῦ δυνάμεως πληττόμενοι δεδιότες ἀπίασιν, καὶ ὁ κάμνων θεραπεύεται.*

## *ΑΠΟΔΕΙΞΕΙΣ ΠΕΡΙ ΤΟΥ ΥΨΟΥΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΠΙΣΤΕΩΣ ΚΑΙ ΑΓΩΓΗΣ*

*17 Περὶ γὰρ τῶν κατὰ τὸν Δημόκριτον ξυμπαθειῶν τε καὶ ἀντιπαθειῶν τί καὶ λέγειν ἔχομεν ἢ τοῦθ' ὅτι κατὰ τὸν κοινὸν λόγον Ἀβδηρολόγος ἐστὶν ὁ ἀπὸ τῶν Ἀβδήρων ἄνθρωπος; Ὥσπερ δὲ ὁ τῇ πόλει τῆς προσηγορίας αἴτιος, φίλον ὤν, ὥς φασιν, Ἡρακλέους ὑπὸ τῶν Διομήδους ἵππων κατεβρώθη, τρόπῳ τῷ αὐτῷ καὶ*

ρήση ἀπὸ αὐτό. Διότι οἱ δαίμονες ἐξευτελίζοντες τοὺς ἀνθρώπους μὲ τὴν κακοήθειάν των παρεκτρέπουν τὰς γνώμας των μὲ ποικίλας καὶ ψευδεῖς δραματουργίας, καθὼς ρέπουν πρὸς τὰ κάτω, ὥστε νὰ ἀδυνατοῦν νὰ ἐνυψωθοῦν πρὸς τὴν εἰς τοὺς οὐρανοὺς πορείαν. Ἀλλ' οὔτε ἡμᾶς διαφεύγουν τὰ συμβαίνοντα εἰς τὸν κόσμον καὶ εἰς σᾶς θὰ εἶναι εὔληπτον τὸ θεῖον τῆς ἀπαθανατιζούσης τὰς ψυχὰς ... προσελθούσης εἰς σᾶς.

16a Βλέπονται δὲ καὶ ὑπὸ τῶν ψυχικῶν ἀνθρώπων οἱ δαίμονες, καθὼς ἐνίοτε ἐκεῖνοι δεικνύουν ἑαυτοὺς εἰς τοὺς ἀνθρώπους, οὕτως ὥστε νὰ θεωρηθοῦν ὅτι κάποιοι εἶναι ἢ καὶ νὰ τοὺς βλάψουν κατά τι ὡς ἐχθρούς, διότι εἶναι κακοὶ φίλοι κατὰ τὴν γνώμην, ἢ νὰ παράσχουν τὰς ἀφορμὰς τῆς πρὸς αὐτοὺς λατρείας εἰς τοὺς ὁμοίους μὲ αὐτούς. Ἂν ἦτο εἰς αὐτοὺς δυνατόν, ὁπωσδήποτε θὰ καθείλκυον καὶ τὸν οὐρανὸν μαζὶ μὲ τὴν ἄλλην ποίησιν· τώρα ὅμως δὲν πράττουν τοῦτο καθόλου, διότι ἀδυνατοῦν. Διότι μὲ τὴν κάτω ὕλην πολεμοῦν πρὸς τὴν ὁμοίαν μὲ αὐτοὺς ὕλην. Ἂν δὲ κανεὶς θελήση νὰ νικήση τούτους, ἂς ἐγκαταλείψη τὴν ὕλην· διότι ὡπλισμένος μὲ θώρακα ἐπουρανίου Πνεύματος θὰ εἶναι δυνατὸν νὰ σώση πᾶν τὸ περιεχόμενον ἀπὸ αὐτόν. Βεβαίως ὑπάρχουν καὶ νόσοι καὶ στάσεις τῆς ὕλης ἡ ὁποία ὑπάρχει εἰς ἡμᾶς· οἱ δαίμονες οἱ ἴδιοι προσγράφουν εἰς ἑαυτοὺς τὰς αἰτίας τούτων, ὅταν συμβαίνουν, ἐπερχόμενοι ὅταν ἐπικρατῆ κάματος. Ἐνίοτε δὲ καὶ αὐτοὶ μὲ τὴν συμφορὰν τῆς μωρίας των συγκλονίζουν τὴν ἕξιν τοῦ σώματος· οἱ ὁποῖοι πληττόμενοι ἀπὸ τὸν λόγον τῆς δυνάμεως τοῦ Θεοῦ ἀπὸ φόβον ἀπομακρύνονται, καὶ ὁ ἀσθενὴς θεραπεύεται.

## ΑΠΟΔΕΙΞΙΣ ΠΕΡΙ ΤΟΥ ΥΨΟΥΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΠΙΣΤΕΩΣ ΚΑΙ ΑΓΩΓΗΣ

17 Πράγματι τί δυνάμεθα νὰ εἴπωμεν περὶ τῶν συμπαθειῶν καὶ ἀντιπαθειῶν κατὰ τὸν Δημόκριτον παρὰ τὸ ὅτι κατὰ τὸν κοινὸν λόγον ὁ ἀπὸ τὰ Ἄβδηρα καταγόμενος εἶναι Ἀβδηρολόγος; Ὅπως δὲ ὁ αἴτιος τῆς ἐπωνυμίας εἰς τὴν πόλιν, φίλος ὤν, ὅπως λέγουν, τοῦ Ἡρακλέους κατεβροχθίσθη ἀπὸ τοὺς ἵππους

*ὁ τὸν μάγον Ὀστάνην καυχώμενος ἐν ἡμέρᾳ συντελείας πυρὸς αἰωνίου βορᾷ παραδοθήσεται. Καὶ ὑμεῖς δέ, τοῦ γέλωτος ἢν μὴ ἀποπαύσησθε, τῶν αὐτῶν ὧνπερ καὶ οἱ γόητες τιμωριῶν ἀπολαύσετε. Διόπερ, ὦ Ἕλληνες, κεκραγότος ὥσπερ ἀπὸ τοῦ μετεώρου κατακούσατέ μου μηδ' ἐπιτωθάζοντες τὴν ὑμετέραν ἀλογιστίαν ἐπὶ τὸν κήρυκα τῆς ἀληθείας μετάγετε. Πάθος οὐκ ἔστι δι' ἀντιπαθείας ἀπολλύμενον, οὐδὲ ὁ μεμηνὼς σκυτίδων ἐξαρτήμασι θεραπεύεται. Δαιμόνων εἰσὶν ἐπιφοιτήσεις· καὶ ὁ νοσῶν καὶ ὁ λέγων ἐρᾶν καὶ ὁ μισῶν καὶ ὁ βουλόμενος ἀμύνεσθαι τούτους λαμβάνουσιν βοηθούς.*

17a *Τρόπος δὲ αὐτοῖς τῆς μηχανῆς οὗτος. Ὥσπερ γὰρ οἱ τῶν γραμμάτων χαρακτῆρες στίχοι τε οἱ ἀπ' αὐτῶν οὐ καθ' ἑαυτοὺς εἰσι δυνατοὶ σημαίνειν τὸ συνταττόμενον, σημεῖα δὲ τῶν ἐννοιῶν σφίσιν αὐτοῖς ἄνθρωποι δεδημιουργήκασι, παρὰ τὴν ποιὰν αὐτῶν σύνθεσιν γινώσκοντες ὅπως καὶ ἡ τάξις τῶν γραμμάτων ἔχειν νενομοθέτηται, παραπλησίως καὶ τῶν ῥιζῶν αἱ ποικιλίαι νεύρων τε καὶ ὀστέων παραλήψεις οὐκ αὐταὶ καθ' ἑαυτὰς δραστικαί τινές εἰσι, στοιχείωσις δέ ἐστι τῆς τῶν δαιμόνων μοχθηρίας, οἳ πρὸς ἅπερ ἑκάστας αὐτῶν ἰσχύειν ὡρίκασιν, ἐπειδὰν παρειλημμένην ὑπὸ τῶν ἀνθρώπων θεάσωνται τὴν δι' αὐτῶν ὑπηρεσίαν, ὑπολαμβάνοντες σφίσιν αὐτοῖς δουλεύειν τοὺς ἀνθρώπους ἀπεργάζονται. Πῶς δ' ἂν ἀγαθὸν μοιχείας ὑπηρετεῖν; Πῶς δὲ καὶ σπουδαῖον πρὸς τὸ μισεῖν τινας παριόντας βοηθεῖν; Ἢ πῶς ὕλῃ καλὸν προσάπτειν τὴν εἰς τοὺς μεμηνότας βοήθειαν καὶ μὴ τῷ Θεῷ; Τέχνῃ γὰρ τῆς θεοσεβείας τοὺς ἀνθρώπους παρατρέπουσι, πόαις αὐτοὺς καὶ ῥίζαις πείθεσθαι παρασκευάζοντες· ὁ δὲ Θεός, εἴπερ αὐτὰ πρὸς τὸ ποιεῖν ἅπερ οἱ ἄνθρωποι βούλονται κατεσκευάκει, πονηρῶν ἂν ἦν πραγμάτων δημιουργός, ἐπεὶ αὐτὸς μὲν πᾶν τὸ εὖ πως ἔχον ἐδημιούργησεν, ἡ δὲ τῶν δαιμόνων ἀσωτία τοῖς ἐν τῷ κόσμῳ πρὸς τὸ κακοποιεῖν ἐχρήσατο, καὶ τούτων ἐστὶ τῆς κακίας τὸ εἶδος καὶ οὐχὶ τοῦ Θεοῦ τοῦ τελείου. Πῶς γὰρ ἂν ζῶν μὲν ἥκιστα μοχθηρὸς εἴην, νεκροῦ δὲ ὄντος μου λείψανον τὸν ἐν ἐμοὶ μηδὲν ἐμοῦ πράττοντος τὸ μήτε κινούμενον ἀλλὰ μηδὲ αἰσθανό-*

τοῦ Διομήδους, κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ ἐγκωμιάζων τὸν μάγον Ὀστάνην θὰ παραδοθῆ εἰς τὴν βορὰν τοῦ αἰωνίου πυρὸς κατὰ τὴν ἡμέραν τῆς συντελείας. Καὶ σεῖς δέ, ἂν δὲν σταματήσετε τὸν γέλωτα, θὰ δεχθῆτε τὰς ἰδίας τιμωρίας μὲ τοὺς γόητας. Διὰ τοῦτο, Ἕλληνες, ἀκούσατέ με καθὼς φωνάζω ὡσὰν ἀπὸ μετέωρον καὶ χωρὶς νὰ χλευάζετε τὴν ἀλογιστίαν σας μεταβῆτε εἰς τὸν κήρυκα τῆς ἀληθείας. Δὲν ὑπάρχει πάθος καταστρεφόμενον δι' ἀντιπαθείας, ὁ δὲ παράφρων δὲν θεραπεύεται μὲ δερμάτινα ἐξαρτήματα. Εἶναι ἐπιφοιτήσεις δαιμόνων· καὶ ὁ νοσῶν καὶ ὁ λέγων ὅτι ἀγαπᾶ καὶ ὁ μισῶν καὶ ὁ θέλων νὰ ἀμύνεται τούτους λαμβάνουν βοηθούς.

17α Ἡ δὲ μέθοδος αὐτῶν εἶναι ἡ ἑξῆς. Ὅπως δηλαδὴ οἱ χαρακτῆρες τῶν γραμμάτων καὶ οἱ ἀπὸ αὐτοὺς στίχοι δὲν ἔχουν ἀφ' ἑαυτῶν τὴν δύναμιν νὰ σημάνουν τὸ ἐννοούμενον, ὡς σημεῖα δὲ τῶν ἐννοιῶν τοὺς ἔχουν δημιουργήσει οἱ ἄνθρωποι δι' ἑαυτούς, γνωρίζοντες παρὰ τὴν ὁποιανδήποτε σύνθεσιν αὐτῶν πῶς εἶναι καθωρισμένη καὶ ἡ τάξις τῶν γραμμάτων, παρομοίως καὶ αἱ ποικιλίαι τῶν ριζῶν καὶ αἱ συνθέσεις τῶν νεύρων καὶ τῶν ὀστῶν δὲν εἶναι αὐταὶ καθ' ἑαυτὰς δραστικαί, ἀλλ' εἶναι ἐκδήλωσις τῆς μοχθηρίας τῶν δαιμόνων, οἱ ὁποῖοι, ὅταν ἴδουν ὅτι παρελήφθη ἀπὸ τοὺς ἀνθρώπους ἡ ἐνέργειά των, πρὸς ὅσα ὥρισαν δι' ἑκάστην αὐτῶν νὰ ἰσχύη, ἀνακόπτοντες κάμνουν τοὺς ἀνθρώπους νὰ δουλεύουν εἰς αὐτοὺς τοὺς ἰδίους. Πῶς θὰ ἦτο ἀγαθὸν νὰ ὑπηρετῆ κανεὶς μοιχείας; Πῶς θὰ ἦτο σπουδαῖον νὰ συμβάλη κανεὶς εἰς τὸ νὰ μισῶνται μερικοὶ ἀπὸ τοὺς διερχομένους; Ἢ πῶς θὰ ἦτο καλὸν νὰ ἀποδίδωμεν τὴν πρὸς τοὺς παράφρονας βοήθειαν εἰς τὴν ὕλην καὶ ὄχι εἰς τὸν Θεόν; Διότι παραπλανοῦν τοὺς ἀνθρώπους μὲ τὸ πρόσχημα τῆς θεοσεβείας, πείθοντες αὐτοὺς νὰ πιστεύουν εἰς χόρτα καὶ ρίζας· ὁ δὲ Θεός, ἂν εἶχε κατασκευάσει αὐτὰ τὰ πράγματα, διὰ νὰ κάμουν οἱ ἄνθρωποι ὅσα θέλουν, θὰ ἦτο δημιουργὸς πονηρῶν πραγμάτων· τὸ ἀληθὲς εἶναι ὅτι αὐτὸς μὲν ἐδημιούργησε πᾶν τὸ ἀγαθόν, ἡ δὲ ἀσωτία τῶν δαιμόνων ἐχρησιμοποίησε τὰ ἐν τῷ κόσμῳ πρὸς τὴν κακοποιΐαν· εἰς αὐτοὺς δὲ ἀνήκει τὸ εἶδος τῆς κακίας καὶ ὄχι εἰς τὸν τέλειον Θεόν. Διότι πῶς εἶναι δυνατὸν ζῶν μὲν νὰ εἶμαι ἐλάχιστα μοχθηρός, ὅταν δὲ εἶμαι νεκρός, τὸ εἰς ἐμὲ λείψανον τὸ ὁποῖον, ἀφοῦ ἐγὼ δὲν πράττω τίποτε, οὔτε

*μενον αἰσθητόν τι ἀπεργάσεται; Πῶς δὲ ὁ τεθνεὼς οἰκτίστῳ θανάτῳ δυνήσεται πρὸς τιμωρίαν τινὸς ἐξυπηρετῆσαι; Τοῦτο γὰρ εἰ οὕτως εἴη, πολλῷ μᾶλλον ἀφ' ἑαυτοῦ τὸν οἰκεῖον ἐχθρὸν ἀμυνεῖται· δυνάμενος γὰρ καὶ ἄλλοις βοηθεῖν ἔκδικος πολλῷ μᾶλλον ἑαυτοῦ καταστήσεται.*

18 *Φαρμακεία δὲ καὶ πᾶν τὸ ἐν αὐτῇ εἶδος τῆς αὐτῆς ἐστιν ἐπιτεχνήσεως. Εἰ γάρ τις ὑπὸ τῆς ὕλης θεραπεύεται πιστεύων αὐτῇ, θεραπευθήσεται μᾶλλον αὐτὸς δυνάμει Θεοῦ προσανέχων. Ὥσπερ γὰρ τὰ δηλητήρια συνθέσεις εἰσὶν ὑλικαί, τὸν αὐτὸν τρόπον καὶ τὰ ἰώμενα τῆς αὐτῆς ὑποστάσεώς ἐστιν. Εἰ δὲ τὴν φαυλοτέραν ὕλην παραιτούμεθα, πολλάκις καὶ διὰ τῆς ἐφ' ἕτερον τῶν κακῶν τινος ἐπιπλοκῆς ἰάσασθαί τινες ἐπιτηδεύουσι καὶ τοῖς κακοῖς κἂν πρὸς τὸ ἀγαθὸν καταχρήσονται. Καθάπερ δὲ ὁ τῷ λῃστεύοντι συνδειπνήσας, κἂν μὴ λῃστὴς αὐτὸς ᾖ, ἀλλ' ὅμως διὰ τὸ συνεστιαθῆναι τιμωρίας μεταλαμβάνει, τρόπῳ τῷ αὐτῷ καὶ ὁ μὴ κακὸς τῷ δὲ φαύλῳ ἀνεμιγεὶς πρὸς τὸ νομιζόμενον καλὸν συγχρησάμενος διὰ τὴν εἰς αὐτὸν κοινωνίαν ὑπὸ τοῦ κρίνοντος τοῦτον Θεοῦ κολασθήσεται.*

18a *Διὰ τί γὰρ ὁ πιστεύων ὕλης οἰκονομίᾳ πιστεύειν οὐ βούλεται τῷ Θεῷ; Τίνος δὲ χάριν οὐ τῷ δυνατωτέρῳ προσέρχῃ δεσπότῃ, θεραπεύεις δὲ μᾶλλον αὐτὸν ὥσπερ ὁ μὲν κύων διὰ πόας, ὁ δὲ ἔλαφος δι' ἐχίδνης, ὁ δὲ σῦς διὰ τῶν ἐν ποταμοῖς καρκίνων, ὁ δὲ λέων διὰ τῶν πιθήκων; Τί δέ μοι θεοποιεῖς τὰ ἐν κόσμῳ; Τί δὲ θεραπεύων τὸν πλησίον εὐεργέτης ἀποκαλῇ; Λόγου δυνάμει κατακολούθησον· οὐ θεραπεύουσιν οἱ δαίμονες, τέχνῃ δὲ τοὺς ἀνθρώπους αἰχμαλωτεύουσι. Καὶ ὁ θαυμασιώτατος Ἰουστῖνος ὀρθῶς ἐξεφώνησεν ἐοικέναι τοὺς προειρημένους λῃσταῖς. Ὥσπερ γὰρ ἐκείνοις ἔθος ἐστὶ ζωγρεῖν τινας, εἶτα τοὺς αὐτοὺς μισθοῦ τοῖς οἰκείοις ἀποκαθιστᾶν, οὕτω καὶ οἱ νομιζόμενοι θεοὶ τοῖς τινων ἐπιφοιτῶντες μέλεσιν, ἔπειτα δι' ὀνείρων τὴν εἰς αὐτοὺς πραγματευόμενοι δόξαν δημοσίᾳ τε τοὺς τοιούτους προϊέναι κελεύσαντες πάντων ὁρώντων, ἐπειδὰν τῶν ἐγκωμίων ἀπολαύσωσιν, ἀποπτάμενοι τῶν καμνόντων, ἣν ἐπραγματεύσαντο νόσον*

κινεῖται οὔτε αἰσθάνεται, νὰ ἐνεργῇ κάτι αἰσθητόν; Πῶς δὲ ὁ ἀποθανὼν μὲ χείριστον θάνατον θὰ δυνηθῇ νὰ συμβάλη εἰς τὴν τιμωρίαν τινός; Ἐὰν τοῦτο ἔχει οὕτως, πολὺ περισσότερον θ' ἀντικρούση ἀφ' ἑαυτοῦ τὸν οἰκεῖον ἐχθρόν· διότι δυνάμενος νὰ βοηθήση καὶ ἄλλους πολὺ περισσότερον θὰ γίνη ἐκδικητὴς ἑαυτοῦ.

18 Διότι ἡ φαρμακεία καὶ αἱ ἄλλαι ἐκδηλώσεις τοῦ εἴδους της εἶναι τῆς ἰδίας ἐπινοήσεως. Ἐὰν θεραπεύεται κανεὶς ἀπὸ τὴν ὕλην πιστεύων εἰς αὐτήν, θὰ θεραπευθῇ μᾶλλον αὐτὸς ἀφοσιούμενος εἰς τὴν δύναμιν τοῦ Θεοῦ. Ὅπως δηλαδὴ τὰ δηλητήρια εἶναι ὑλικαὶ συνθέσεις, κατὰ τὸν ἴδιον τρόπον καὶ τὰ φάρμακα εἶναι τῆς αὐτῆς ὑποστάσεως. Ἂν δὲ ἀφήσωμεν τὴν φαυλοτέραν ὕλην, πολλάκις καὶ διὰ κάποιας ἐπιπλοκῆς πρὸς ἄλλο κακὸν ἐπιχειροῦν μερικοὶ νὰ θεραπεύσουν καὶ θὰ κάμουν κατάχρησιν τῶν κακῶν πρὸς τὸ ἀγαθόν. Καθῶς δὲ ὁ συνδειπνήσας μὲ ληστήν, ἀκόμη καὶ ἂν δὲν εἶναι ὁ ἴδιος ληστής, ἀλλ' ὅμως διὰ τὸν λόγον ὅτι συνεστιάσθη, δέχεται τιμωρίαν, κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ μὴ κακός, ἂν ἀναμιχθῇ μὲ τὸν φαῦλον καὶ κάμη χρῆσιν ἀπὸ κοινοῦ πρὸς τὸ νομιζόμενον καλόν, λόγω τῆς εἰς αὐτὸν κοινωνίας θὰ τιμωρηθῇ ὑπὸ τοῦ κρίνοντος τοῦτον Θεοῦ.

18a Διατί τάχα ὁ πιστεύων εἰς τὴν ἐνέργειαν τῆς ὕλης δὲν θέλει νὰ πιστεύη εἰς τὸν Θεόν; Διὰ ποῖον δὲ λόγον δὲν προσέρχεσαι εἰς τὸν δυνατώτερον δεσπότην, ἀλλὰ μᾶλλον θεραπεύεις τὸν ἑαυτόν σου, ὅπως ὁ μὲν κύων διὰ τοῦ χόρτου, ἡ δὲ ἔλαφος διὰ τῆς ἐχίδνης, ὁ δὲ χοῖρος διὰ τῶν καβουριῶν τῶν ποταμῶν, ὁ δὲ λέων διὰ τῶν πιθήκων; Διατί δὲ μοῦ θεοποιεῖς τὰ εἰς τὸν κόσμον; Διατί δὲ θεραπεύων τὸν πλησίον ἀποκαλεῖσαι εὐεργέτης; Ἀκολούθησε τὴν δύναμιν τοῦ λόγου· δὲν θεραπεύουν οἱ δαίμονες, ἀλλὰ αἰχμαλωτίζουν τοὺς ἀνθρώπους μὲ τὴν ἀπάτην. Καὶ ὁ θαυμαστώτατος Ἰουστῖνος ὀρθῶς ἰσχυρίσθη ὅτι οἱ προειρημένοι ὁμοιάζουν μὲ ληστάς. Ὅπως δηλαδὴ ἐκεῖνοι συνηθίζουν νὰ συλλαμβάνουν κάποιους, ἔπειτα δὲ νὰ παραδίδουν τούτους εἰς τοὺς ἰδικούς των μὲ λῦτρα, οὕτω καὶ οἱ θεωρούμενοι θεοί, ἐπιφοιτῶντες εἰς τὰ μέλη κάποιων ἀνθρώπων, ἔπειτα παρασκευάζοντες τὴν εἰς ἑαυτοὺς δόξαν δι' ὀνείρων καὶ κελεύσαντες τοὺς τοιούτους δημοσία νὰ προχωρήσουν, ὅταν ἀπολαύσουν τῶν ἐγ-

*περιγράφοντες, τοὺς ἀνθρώπους εἰς τὸ ἀρχαῖον ἀποκαθιστῶσιν. Ὑμεῖς δὲ τούτων οὐκ ἔχοντες τὴν κατάληψιν παρ᾽ ἡμῶν τῶν εἰδότων ἐκπαιδεύεσθε.*

19 *Λέγοντες θανάτου καταφρονεῖν καὶ τὴν αὐτάρκειαν ἀσκεῖν. Οἱ γὰρ παρ᾽ ὑμῖν φιλόσοφοι τοσοῦτον ἀποδέουσι τῆς ἀσκήσεως ὥστε παρὰ τοῦ Ρωμαίων βασιλέως ἐτησίως χρησοῦς ἑξακοσίους λαμβάνειν τινὰς εἰς οὐδὲν χρήσιμον ἢ ὅπως μηδὲ τὸ γένειον δωρεὰν καθειμένον αὐτῶν ἔχωσιν. Κρήσκης γοῦν ὁ ἐννεοττεύσας τῇ μεγάλῃ πόλει παιδεραστίᾳ μὲν πάντας ὑπερήνεγκεν, φιλαργυρίᾳ δὲ πάνυ προσεχὴς ἦν. Θανάτου δὲ ὁ καταφρονῶν οὕτως αὐτὸς ἐδεδίει τὸν θάνατον ὡς καὶ Ἰουστῖνον καθάπερ καὶ ἐμὲ ὡς κακῷ τῷ θανάτῳ περιβαλεῖν πραγματεύσασθαι, διότι κηρύττων τὴν ἀλήθειαν λίχνους καὶ ἀπατεῶνας τοὺς φιλοσόφους συνήλεγχεν. Τίνας δ᾽ ἂν καὶ ἔδει διῶξαι τὸν φιλόσοφον εἰ μὴ μόνους ὑμᾶς; Ὅθεν εἴ φατε μὴ δεῖν δεδιέναι τὸν θάνατον, κοινωνοῦντες ἡμῶν τοῖς δόγμασι μὴ διὰ τὴν ἀνθρωπίνην δοξομανίαν, ὡς Ἀνάξαρχος, ἀποθνῄσκετε, χάριν δὲ τῆς τοῦ Θεοῦ γνώσεως τοῦ θανάτου καταφρονηταὶ γίνεσθε. Κόσμου μὲν γὰρ ἡ κατασκευὴ καλή, τὸ δὲ ἐν αὐτῷ πολίτευμα φαῦλον, καὶ καθάπερ ἐν πανηγύρει θεατροκοπουμένους ἔνεστιν ἰδεῖν τοὺς οὐκ εἰδότας τὸν Θεόν.*

19a *Τί γάρ ἐστι μαντική; τί δὲ ὑπ᾽ αὐτῆς πεπλάνησθε; Τῶν ἐν κόσμῳ πλεονεξιῶν ἐστί σοι διάκονος. Πολεμεῖν θέλεις καὶ τῶν φόνων λαμβάνεις σύβουλον τὸν Ἀπόλλω· κόρην ἁρπάσαι θέλεις καὶ τὸ δαιμόνιόν σοι συναγωνίσασθαι προαιρῇ· νοσεῖς διὰ σεαυτὸν καί, ὥσπερ Ἀγαμέμνων, δέκα συμφράδμονας εἶναι θέλεις μετὰ σεαυτοῦ θεούς. Πιοῦσά τις ὕδωρ μαίνεται καὶ διὰ λιβάνων ἔκφρων γίνεται, καὶ σὺ τὴν τοιαύτην μαντεύεσθαι λέγεις. Προγνώστης ὑπῆρχεν ὁ Ἀπόλλων καὶ τῶν μαντευομένων διδάσκαλος· ἐπὶ τῆς Δάφνης ἑαυτὸν ἐψεύσατο. Δρῦς, εἰπέ μοι, μαντεύεται καὶ πάλιν ὄρνιθες προαγορεύουσι, σὺ δὲ τῶν ζώων καὶ φυτῶν ἐλάττων ὑπάρχεις; Καλὸν ἄρα σοι γενέσθαι ξύλῳ μαντικῷ καὶ τῶν ἀεροφοίτων τὴν πτῆσιν λαμβάνειν. Ὁ ποιῶν σε φιλάργυρον, οὗτος καὶ περὶ τοῦ πλουτεῖν σοι μαντεύεται· στάσεις καὶ μάχας ὁ*

κωμίων, ἀποχωροῦντες τῶν ἀσθενῶν, ἀπαλείφουν τὴν νόσον τὴν ὁποίαν ἐπέφεραν καὶ ἀποκαθιστοῦν τοὺς ἀνθρώπους εἰς τὴν παλαιὰν κατάστασιν. Σεῖς ὅμως, μὴ ἀντιλαμβανόμενοι ταῦτα ἐκπαιδεύεσθε ἀπὸ ἡμᾶς τοὺς γνωρίζοντας ...

19 ...Λέγοντες ὅτι καταφρονῶμεν θανάτου καὶ ἀσκοῦμεν τὴν αὐτάρκειαν. Διότι οἱ φιλόσοφοί σας τόσον ἀπέχουν ἀπὸ τὴν ἄσκησιν, ὥστε μερικοὶ νὰ λαμβάνουν ἀπὸ τὸν βασιλέα τῶν Ρωμαίων ἐτησίως ἑξακόσια χρυσᾶ νομίσματα, ὄχι διὰ τίποτε ἄλλο χρήσιμον, παρὰ διὰ νὰ μὴ τρέφουν δωρεὰν τὴν γενειάδα των. Ὁ Κρήσκης λοιπὸν ὁ ἐμφωλεύσας εἰς αὐτὴν τὴν μεγαλόπολιν εἰς τὴν παιδεραστίαν μὲν ὑπερέβαλεν ὅλους, εἰς τὴν φιλαργυρίαν δὲ ἦτο πολὺ προσκολλημένος. Ἐνῶ δὲ κατεφρόνει μὲ τὰ λόγια τὸν θάνατον, τόσον τὸν ἐφοβεῖτο, ὥστε νὰ ἐπιχειρήσῃ νὰ προκαλέσῃ τὸν θάνατον ὡς κάτι κακὸν εἰς τὸν Ἰουστῖνον, καθὼς καὶ εἰς ἐμέ, διότι κηρύττων τὴν ἀλήθειαν ἐξήλεγχε τοὺς φιλοσόφους ὡς λαιμάργους καὶ ἀπατεῶνας. Ποῖοι δὲ ἔπρεπε νὰ διώξουν τὸν φιλόσοφον παρὰ μόνον σεῖς; Ὅθεν, ἂν λέγετε ὅτι δὲν πρέπει νὰ φοβῆσθε τὸν θάνατον, μετέχοντες τῶν δογμάτων ἡμῶν, νὰ μὴ ἀποθνήσκετε χάριν τῆς ἀνθρωπίνης δοξομανίας, ὅπως ὁ Ἀνάξαρχος, ἀλλὰ νὰ γίνετε καταφρονηταὶ τοῦ θανάτου χάριν τῆς γνώσεως τοῦ Θεοῦ. Τοῦ κόσμου ἡ κατασκευὴ εἶναι καλή, ἀλλὰ ἡ εἰς αὐτὸν διαγωγὴ εἶναι φαύλη, καὶ εἶναι δυνατὸν νὰ ἴδῃς τοὺς ἀγνοοῦντας τὸν Θεὸν νὰ θεατρίζωνται ὅπως εἰς τὰ πανηγύρια.

19α Πράγματι τί εἶναι μαντική; Διατί παραπλανᾶσθε ἀπὸ αὐτήν; Εἶναι ὑπηρέτριά σου εἰς τὰς πλεονεξίας τοῦ κόσμου. Θέλεις νὰ πολεμῇς, καὶ ὡς σύμβολον τῶν φόνων λαμβάνεις τὸν Ἀπόλλωνα· θέλεις νὰ ἁρπάσῃς κόρην, καὶ προτιμᾶς νὰ συναγωνίζεται μαζί σου τὸ δαιμόνιον· νοσεῖς ἐξ αἰτίας σου, καί, ὅπως ὁ Ἀγαμέμνων, θέλεις νὰ εἶναι μαζί σου δέκα θεοὶ σύμβουλοι. Κάποια γυνή, ἀφοῦ ἔπιεν ὕδωρ μαίνεται καὶ διὰ λιβάνων γίνεται παράφρων, καὶ σὺ λέγεις ὅτι ἡ τοιαύτη γυνὴ εἶναι μάντισσα. Προγνώστης ἦτο ὁ Ἀπόλλων καὶ διδάσκαλος τῶν μάντεων· ἐπὶ τῆς Δάφνης διεψεύσθη. Δρῦς, εἰπέ μου, μαντεύεται καὶ ὄρνιθες προλέγουν, ἐσὺ δὲ εἶσαι κατώτερος τῶν ζώων καὶ τῶν φυτῶν; Ἄρα καλὸν θὰ ἦτο διὰ σὲ νὰ γίνῃς μαντικὸς διὰ δένδρου καὶ νὰ λαμβάνῃς τὴν πτῆσιν τῶν πετεινῶν. Ὁ καθιστῶν σε φιλάρ-

ἐγείρων καὶ περὶ τῆς ἐν πολέμῳ νίκης προαγορεύει. Τῶν παθῶν ἂν ὑπάρχῃς ἀνώτερος, τῶν ἐν τῷ κόσμῳ πάντων καταφρονήσεις. Τοιούτους ἡμᾶς ὄντας μὴ ἀποστυγήσητε, ἀλλὰ παραιτησάμενοι τοὺς δαίμονας Θεῷ τῷ μόνῳ κατακολουθήσατε. «Πάντα ὑπ' αὐτοῦ καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἕν». Εἰ δὲ ἔστιν ἐν τοῖς φυομένοις δηλητήριον, τοῦτο διὰ τὸ ἐνάμαρτον ἡμῶν ἐπισυμβέβηκεν. Ἔχω δεικνύειν τὴν τούτων οἰκονομίαν· ὑμεῖς κατακούσατε, καὶ ὁ πιστεύων ἐπιγνώσεται.

20 Κἂν θεραπεύησθε φαρμάκοις (κατὰ συγγνώμην ἐπιτρέπω σοι), τὴν μαρτυρίαν προσάπτειν σε δεῖ τῷ Θεῷ. Κόσμος γὰρ ἡμᾶς ἔτι καθέλκει, καὶ δι' ἀτονίαν τὴν ὕλην ἐπιζητῶ. Πτέρωσις γὰρ ἡ τῆς ψυχῆς πνεῦμα τὸ τέλειον, ὅπερ ἀπορρίψασα διὰ τὴν ἁμαρτίαν ἔπτηξεν ὥσπερ νεοσσὸς καὶ χαμαιπετὴς ἐγένετο, μεταβᾶσα δὲ τῆς οὐρανίου συνουσίας τῶν ἐλαττόνων μετουσίαν ἐπεπόθησεν. Μετῳκίσθησαν γὰρ οἱ δαίμονες, ἐξωρίσθησαν δὲ οἱ πρωτόπλαστοι· καὶ οἱ μὲν ἀπ' οὐρανοῦ κατεβλήθησαν, οἱ δὲ ἀπὸ γῆς μὲν ἀλλ' οὐκ ἐκ ταύτης, κρείττονος δὲ τῆς ἐνταυθοῖ διακοσμήσεως. Καὶ χρὴ λοιπὸν ἡμᾶς ἐπιποθήσαντας τὸ ἀρχαῖον παραιτήσασθαι πᾶν τὸ ἐμποδὼν γινόμενον. Οὐκ ἔστι γὰρ ἄπειρος ὁ οὐρανός, ὦ ἄνθρωπε, πεπερασμένος δὲ καὶ ἐν τέρματι· τὰ δὲ ὑπὲρ τοῦτον αἰῶνες οἱ κρείττονες οὐ μεταβολὴ ὡρῶν ἔχοντες, δι' ὧν ποικίλαι νόσοι καθίστανται, πάσης δὲ εὐκρασίας μετειληφότες ἡμέραν ἔχουσι διαμένουσαν καὶ φέγγος τοῖς ἐντεῦθεν ἀνθρώποις ἀπρόσιτον. Οἱ μὲν οὖν τὰς γεωγραφίας ἐκπονέσαντες, μέχρις ἧν δυνατὸν ἀνθρώπῳ, τῶν χωρίων τὴν ἀναγραφὴν ἐποιήσαντο, τὰ δ' ἐπέκεινα λέγειν οὐκ ἔχοντες διὰ τὸ ἀδύνατον τῆς θεωρίας ἀμπώτεις ᾐτιάσαντο θαλασσῶν τὴν μὲν πρασώδη, τὴν δὲ πηλώδη, τόπων δὲ τῶν μὲν τὸ ἔκπυρον, τῶν δὲ τὸ ψυχρὸν καὶ διαπεπηγός. Ἡμεῖς δὲ τὰ ὑφ' ἡμῶν ἀγνοούμενα διὰ προφητῶν μεμαθήκαμεν, οἵτινες ἅμα τῇ ψυχῇ πεπεισμένοι ὅτι πνεῦμα τὸ οὐράνιον ἐπένδυμα τῆς θνητότητος τὴν ἀθανασίαν κεκτήσεται τὰ ὅσα μὴ ἐγίνωσκον αἱ λοιπαὶ ψυχαὶ προὔλεγον. Δυνατὸν δὲ παντὶ

---

22. Ἰω. 1,3.

γυρον, αὐτὸς μαντεύεται καὶ περὶ τοῦ ὅτι θὰ πλουτήσῃς· ὁ προκαλῶν στάσεις καὶ μάχας, προαγγέλλει καὶ τὴν νίκην κατὰ τὸν πόλεμον. Ἂν εἶσαι ἀνώτερος τῶν παθῶν, θὰ καταφρονήσῃς ὅλα τὰ ἐν τῷ κόσμῳ. Ἀφοῦ ἡμεῖς εἴμεθα τοιοῦτοι, μὴ μᾶς ἀπεχθάνεσθε, ἀλλ', ἐγκαταλείψαντες τοὺς δαίμονας, ἀκολουθήσατε τὸν μόνον Θεόν. «Ὅλα ὑπ' αὐτοῦ ἔγιναν καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε»[22]. Ἐὰν δὲ ὑπάρχει εἰς τὰ φυτὰ δηλητήριον, τοῦτο ἐπισυνέβη ἐξ αἰτίας τῆς ἁμαρτωλότητος ἡμῶν. Δύναμαι ν' ἀποδείξω τὸν τρόπον λειτουργίας τούτων· σεῖς ἀκούσατε καὶ ὁ πιστεύων θὰ ἐπιγνώσῃ.

Καὶ ἂν θεραπεύεσθε μὲ φάρμακα (σοῦ τὸ ἐπιτρέπω κατὰ συγκατάβασιν), τὴν μαρτυρίαν πρέπει νὰ προσγράφῃς εἰς τὸν Θεόν. Διότι ἀκόμη μᾶς κρατεῖ κάτω ὁ κόσμος καὶ λόγῳ ἀτονίας ἐπιζητῶ τὴν γῆν. Πτέρωμα τῆς ψυχῆς εἶναι τὸ τέλειον πνεῦμα, τὸ ὁποῖον ἀπορρίψασα αὐτὴ λόγῳ τῆς ἁμαρτίας, ἐζάρωσε ὡς νεοσσὸς καὶ ἔγινε χαμαιπετής, ἀπομακρυνθεῖσα δὲ ἀπὸ τὴν οὐράνιον συναναστροφὴν ἐπόθησε τὴν μέθεξιν τῶν κατωτέρων. Διότι οἱ δαίμονες μετετοπίσθησαν, ἐξωρίσθησαν δὲ οἱ πρωτόπλαστοι· καὶ ἐκεῖνοι μὲν κατερρίφθησαν ἀπὸ τὸν οὐρανόν, αὐτοὶ δὲ ἐξωρίσθησαν ἀπὸ τὴν γῆν, ἂν καὶ ὄχι αὐτὴν ἐδῶ, ἀλλὰ ἀνωτέραν τῆς ἐδῶ διακοσμήσεως. Καὶ πρέπει λοιπὸν ἡμεῖς ποθοῦντες τὴν παλαιὰν κατάστασιν νὰ παραμερίσωμεν πᾶν ὅ,τι παρενεβλήθη ἐνδιαμέσως. Διότι δὲν εἶναι ἄπειρος ὁ οὐρανός, ἄνθρωπε, ἀλλὰ πεπερασμένος καὶ μὲ τέλος· τὰ δὲ ὑπεράνω αὐτοῦ εἶναι οἱ ἀνώτεροι αἰῶνες, οἱ ὁποῖοι δὲν διαθέτουν μεταβολὴν ὡρῶν, διὰ τῶν ὁποίων ἐπέρχονται ποικίλαι νόσοι, ἀλλὰ μετέχοντες παντοειδοῦς εὐκρασίας ἔχουν μόνιμον ἡμέραν καὶ φῶς ἀπρόσιτον διὰ τοὺς ἀπὸ ἐδῶ ἀνθρώπους. Ἐκεῖνοι λοιπὸν οἱ ὁποῖοι ἐξεπόνησαν τὰς γεωγραφίας, ὅσον ἦτο δυνατὸν εἰς ἄνθρωπον, ἀνέγραψαν τοὺς τόπους, ἀλλὰ μὴ δυνάμενοι νὰ περιγράψουν τὰ πέραν αὐτῶν, λόγῳ τῆς ἀδυναμίας νὰ παρατηρηθοῦν, ἐπεκαλέσθησαν ἀμπώτιδας καὶ θαλάσσας, ἄλλην πρασώδη καὶ ἄλλην πηλώδη, καὶ τῶν τόπων ἄλλων μὲν τὸ πυρωμένον, ἄλλων δὲ τὸ ψυχρὸν καὶ παγωμένον. Ἡμεῖς δὲ τὰ ἀγνοούμενα ἀπὸ ἡμᾶς ἐμάθομεν διὰ τῶν προφητῶν, οἱ ὁποῖοι προεῖπαν ὅσα δὲν ἐγνώριζον αἱ λοιπαὶ ψυχαί, πεπεισμένοι ὅτι τὸ μαζὶ μὲ τὴν ψυχὴν οὐράνιον ἐπένδυμα τῆς θνητότητος πνεῦμα θὰ ἀποκτήσῃ

*γυμνητεύοντι κτήσασθαι τὸ ἐπικόσμημα καὶ πρὸς τὴν συγγένειαν τὴν ἀρχαίαν ἀναδραμεῖν.*

21 *Οὐ γὰρ μωραίνομεν, ἄνδρες Ἕλληνες, οὐδὲ λήρους ἀπαγγέλλομεν, Θεὸν ἐν ἀνθρώπου μορφῇ γεγονέναι καταγγέλλοντες. Οἱ λοιδοροῦντες ἡμᾶς συγκρίνατε τοὺς μύθους ὑμῶν τοῖς ἡμετέροις διηγήμασιν. Δηΐφοβος, ὥς φασιν, ἦν ἡ Ἀθηνᾶ διὰ τὸν Ἕκτορα, καὶ χάριν Ἀδμήτου Φοῖβος ὁ ἀκερσεκόμης τὰς εἰλίποδας βοῦς ἐποίμαινε, καὶ πρεσβῦτις ἀφικνεῖται πρὸς τὴν Σεμέλην ἡ τοῦ Διὸς γαμετή. Τοιαῦτα δὲ μελετῶντες πῶς ἡμᾶς διαγελᾶτε; Τέθνηκεν ὑμῶν ὁ Ἀσκληπιὸς καὶ ὁ τὰς πεντήκοντα παρθένους μιᾷ νυκτὶ Θεσπιᾶσι διακορεύσας πυρὸς ἑαυτὸν παραδοὺς βορᾷ οἴχεται. Προμηθεὺς τῷ Καυκάσῳ προσαρτηθεὶς τιμωρίαν χάριν τῆς εἰς ἀνθρώπους εὐεργεσίας ὑπήνεγκε. Φθονερὸς ὁ Ζεὺς καθ' ὑμᾶς καὶ κρύπτει...*

21a *...Τὸν ὄνειρον τοὺς ἀνθρώπους βουλόμενος ἀπόλλυσθαι. Διόπερ ἀποβλέψαντες πρὸς τὰ οἰκεῖα ἀπομνημονεύματα κἂν ὡς ὁμοίως μυθολογοῦντας ἡμᾶς ἀποδέξασθε. Καὶ ἡμεῖς μὲν οὐκ ἀφραίνομεν, φλήναφα δὲ τὰ ὑμέτερα. Γένεσιν ἂν λέγητε θεῶν, καὶ θνητοὺς αὐτοὺς ἀποφανεῖσθε. Διὰ τί γὰρ οὐ κυεῖ νῦν ἡ Ἥρα; Πότερον γεγήρακεν ἢ τοῦ μηνύσοντος ὑμῖν ἀπορεῖ; Πείσθητέ μοι νῦν, ὦ ἄνδρες Ἕλληνες, μηδὲ τοὺς μύθους μηδὲ τοὺς θεοὺς ὑμῶν ἀλληγορήσητε· κἂν γὰρ τοῦτο πράττειν ἐπιχειρήσητε, θεότης ἡ καθ' ὑμᾶς ἀνῄρηται καὶ ὑφ' ἡμῶν καὶ ὑφ' ὑμῶν. Ἢ γὰρ τοιοῦτοι παρ' ὑμῖν ὄντες οἱ δαίμονες ὁποῖοι καὶ λέγονται, φαῦλοι τὸν τρόπον εἰσίν, ἢ μεταγόμενοι πρὸς τὸ φυσικώτερον οὐκ εἰσιν οἷοι καὶ λέγονται. Σέβειν δὲ τῶν στοιχείων τὴν ὑπόστασιν οὔτ' ἂν πεισθείην οὔτ' ἂν πείσαιμι τὸν πλησίον. Καὶ Μητρόδωρος δὲ ὁ Λαμψακηνὸς ἐν τῷ Περὶ Ὁμήρου λίαν εὐήθως διείλεκται, πάντα εἰς ἀλληγορίαν μετάγων. Οὔτε γὰρ Ἥραν οὔτε Ἀθηνᾶν οὔτε Δία τοῦτ' εἶναί φησιν ὅπερ οἱ τοὺς περιβόλους αὐτοῖς καὶ τεμένη καθιδρύσαντες νομίζουσιν, φύσεως δὲ ὑποστάσεις καὶ στοιχείων διακοσμήσεις. Καὶ τὸν Ἕκτορα δὲ καὶ τὸν Ἀχιλλέα δηλαδὴ καὶ τὸν Ἀγαμέμνονα καὶ πάντας ἀπαξαπλῶς Ἕλληνάς τε καὶ βαρβάρους σὺν τῇ Ἑλένῃ καὶ τῷ Πάριδι τῆς αὐτῆς φύσεως ὑπάρ-*

τὴν ἀθανασίαν. Εἶναι δὲ δυνατὸν πᾶς γυμνητεύων νὰ ἀποκτήσῃ τὰ στολίδια καὶ νὰ ἐπιστρέψῃ πρὸς τὴν ἀρχαίαν συγγένειαν.

21 Διότι δὲν εἴμεθα μωροί, ἄνδρες Ἕλληνες, οὔτε ἀπαγγέλλομεν φλυαρίας, κηρύσσοντες ὅτι ὁ Θεὸς ἦλθε μὲ μορφὴν ἀνθρώπου. Ὅσοι μᾶς λοιδορεῖτε, συγκρίνατε τοὺς μύθους σας μὲ τὰ ἰδικά μας διηγήματα. Φοβερὰ ἦτο ἡ Ἀθηνᾶ διὰ τὸν Ἕκτορα, ὅπως λέγουν, καὶ χάριν τοῦ Ἀδμήτου ὁ ἀκούρευτος Φοῖβος ἐβόσκησε τὰ βραδύποδα βόδια καὶ ἡ σύζυγος τοῦ Διός καταφθάνει πρεσβῦτις πρὸς τὴν Σεμέλην. Ἀφοῦ δὲ τοιαῦτα δέχεσθε, πῶς περιγελᾶτε ἡμᾶς; Ἀπέθανεν ὁ Ἀσκληπιός σας καὶ ὁ διακορεύσας τὰς πεντήκοντα παρθένους εἰς τὰς Θεσπιὰς ἐντός μιᾶς νυκτὸς ἠφανίσθη παραδώσας ἑαυτὸν εἰς τὴν βορὰν τοῦ πυρός. Ὁ Προμηθεύς, προσδεθεὶς εἰς τὸν Καύκασον, ὑπεβλήθη εἰς τιμωρίαν λόγῳ τῆς πρὸς τοὺς ἀνθρώπους εὐεργεσίας. Φθονερὸς εἶναι κατὰ τὴν ἄποψίν σας ὁ Ζεὺς καὶ κρύπτει...

21α ...Τὸ ὄνειρον εἰς τοὺς ἀνθρώπους θέλων νὰ καταστραφῇ. Διὰ τοῦτο, βλέποντες τὰ ἱστορικά σας βιβλία ἀποδεχθῆτε μας τουλάχιστον ὡς ὁμοίως μὲ σᾶς μυθολογοῦντας. Καὶ ἡμεῖς μὲν δὲν εἴμεθα ἄφρονες, τὰ ἰδικά σας ὅμως εἶναι μωρολογίαι. Ἂν ὁμιλῆτε περὶ γενέσεως θεῶν, τοὺς κηρύσσετε θνητούς. Διατί τάχα δὲν γεννᾷ τώρα ἡ Ἥρα; Τί συνέβη; Ἐγήρασεν ἢ δὲν ἔχει κήρυκα διὰ νὰ σᾶς τὸ εἴπῃ; Πεισθῆτε εἰς ἐμὲ τώρα, ἄνδρες Ἕλληνες, καὶ μὴ ἀλληγορῆτε οὔτε τοὺς μύθους οὔτε τοὺς θεούς σας· καὶ ἂν ἄλλωστε ἐπιχειρήσετε νὰ πράξετε τοῦτο, ἀναιρεῖται ἡ κατὰ τὴν πεποίθησίν σας θεότης καὶ ἀπὸ ἡμᾶς καὶ ἀπὸ σᾶς. Διότι ἤ, ἂν εἶναι τοιοῦτοι εἰς σᾶς οἱ δαίμονες, ὅπως λέγονται, εἶναι φαῦλοι κατὰ τὸν τρόπον, ἢ μετατιθέμενοι πρὸς τὸ φυσικώτερον δὲν εἶναι ὅπως λέγονται. Νὰ λατρεύω δὲ τὴν ὑπόστασιν τῶν στοιχείων οὔτε θὰ πεισθῶ οὔτε θὰ πείσω τὸν πλησίον. Καὶ ὁ Μητρόδωρος δὲ ὁ Λαμψακηνὸς εἰς τὸ ἔργον του *Περὶ Ὁμήρου* πραγματεύεται τὸ θέμα μὲ πολλὴν ἀφέλειαν, μεταθέτων τὰ πάντα εἰς ἀλληγορίαν. Πράγματι λέγει ὅτι δὲν εἶναι οὔτε Ἥρα οὔτε Ἀθηνᾶ οὔτε Ζεὺς τοῦτο τὸ ὁποῖον νομίζουν οἱ ἐγείροντες εἰς αὐτοὺς περιβόλους καὶ τεμένη, ἀλλὰ ὑποστάσεις φύσεως καὶ διακοσμήσεις στοιχείων. Θὰ εἴπητε δὲ ὅτι καὶ ὁ Ἕκτωρ καὶ ὁ Ἀχιλλεὺς καὶ ὁ Ἀγεμέμνων καὶ ὅλοι γενικῶς οἱ τότε Ἕλληνες καὶ βάρβαροι μαζὶ μὲ τὴν Ἑλένην καὶ τὸν Πάρι-

χοντας χάριν οἰκονομίας ἐρεῖτε παρεισῆχθαι οὐδενὸς ὄντος τῶν προειρημένων ἀνθρώπων. Ταῦτα δὲ ἡμεῖς προετείναμεν ὥσπερ ἐπὶ ὑποθέσεως· τὴν γὰρ ἡμετέραν περὶ τοῦ Θεοῦ κατάληψιν οὐδὲ συγκρίνειν ὅσιον τοῖς εἰς ὕλην καὶ βόρβορον κυλινδουμένοις.

22 Οἷα γάρ ἐστιν ὑμῶν καὶ τὰ διδάγματα; τίς οὐκ ἂν χλευάσειε τὰς δημοτελεῖς ὑμῶν πανηγύρεις, αἳ προφάσει πονηρῶν ἐπιτελούμεναι δαιμόνων εἰς ἀδοξίαν τοὺς ἀνθρώπους περιτρέπουσιν; Εἶδόν τινα πολλάκις, καὶ ἰδὼν ἐθαύμασα καὶ μετὰ τὸ θαυμάσαι κατεφρόνησα πῶς ἔσωθεν μέν ἐστιν ἄλλος, ἔξωθεν δὲ ὅπερ οὐκ ἔστι ψεύδεται, τὸν ἁβρυνόμενον σφόδρα καὶ παντοίως διακλώμενον καὶ τοῦτο μὲν τοῖς ὀφθαλμοῖς μαρμαρύσσοντα, τοῦτο δὲ καὶ τὼ χεῖρε λυγιζόμενον καὶ διὰ πηλίνης ὄψεως δαιμονῶντα καὶ ποτὲ μὲν ὡς Ἀφροδίτην, ποτὲ δὲ ὡς Ἀπόλλωνα γινόμενον, ἕνα κατήγορον πάντων τῶν θεῶν, δεισιδαιμονίας ἐπιτομήν, διάβολον ἡρωϊκῶν πράξεων, φόνων ὑποκριτήν, μοιχείας ὑπομνηματιστήν, θησαυρὸν μανίας, κιναίδων παιδευτήν, καταδικαζομένων ἀφορμὴν καὶ τὸν τοιοῦτον ὑπὸ πάντων ἐπαινούμενον. Ἐγὼ δὲ αὐτὸν παρῃτησάμην πάντα ψευδόμενον καὶ τὴν ἀθεότητα καὶ τὰ ἐπιτηδεύματα καὶ τὸν ἄνθρωπον.

22a Ὑμεῖς δὲ ὑπὸ τούτων συλαγωγεῖσθε καὶ τοὺς μὴ κοινωνοῦντας ὑμῶν ταῖς πραγματείαις λοιδορεῖτε. Κεχηνέναι πολλῶν ᾀδόντων οὐ θέλω καὶ τῷ νεύοντι καὶ κινουμένῳ παρὰ φύσιν οὐ βούλομαι συνδιατίθεσθαι. Τί θαυμαστὸν οὐ παρ' ὑμῖν ἐξηυρημένον διαπράττεται; Ῥιναυλοῦσι μὲν γὰρ καὶ λαλοῦσι τὰ αἰσχρά, κινοῦνται δὲ κινήσεις ἃς οὐκ ἐχρῆν, καὶ τοὺς ὅπως δεῖ μοιχεύειν ἐπὶ τῆς σκηνῆς σοφιστεύοντας αἱ θυγατέρες ὑμῶν καὶ οἱ παῖδες θεωροῦσι. Καλὰ παρ' ὑμῖν τὰ ἀκροατήρια κηρύττοντα πάνθ' ἅπερ ἐν νυκτὶ μοχθηρῶς πραγματεύεται καὶ τέρποντα τοὺς ἀκροατὰς αἰσχρῶν λόγων ἐκφωνήμασιν. Καλοὶ δέ εἰσιν ὑμῶν καὶ οἱ ποιηταί, ψευδολόγοι καὶ διὰ σχημάτων ἐξαπατῶντες τοὺς ἀκροωμένους.

23 Εἶδον ἀνθρώπους ὑπὸ τῆς σωμασκίας βεβαρημένους καὶ φορτίον τῶν ἐν αὐτοῖς κρεῶν περιφέροντας, οἷς ἔπαθλα καὶ στέφανοι πρόκεινται προκαλουμένων αὐτοὺς τῶν ἀγωνοθετῶν οὐκ ἐπ' ἀνδραγαθίᾳ, ὕβρεως δὲ καὶ στάσεως φιλονεικίᾳ, καὶ τὸν μᾶλ-

δα, ὄντες τῆς ἰδίας φύσεως, εἰσήχθησαν χάριν οἰκονομίας, χωρὶς νὰ ὑπάρχῃ κανεὶς ἀπὸ αὐτούς. Προετείναμεν δὲ ἡμεῖς ταῦτα ὡς ὑπόθεσιν· διότι τὴν ἰδικήν μας περὶ Θεοῦ ἰδέαν δὲν εἶναι δίκαιον οὔτε νὰ τὴν συγκρίνωμεν μὲ τοὺς κυλισμένους εἰς τὴν ὕλην καὶ τὸν βόρβορον.

22 Διότι ποῖα εἶναι τὰ διδάγματά σας; Ποῖος δὲν θὰ ἐχλεύαζε καὶ τὰς δημοσίας τελετάς σας, αἱ ὁποῖαι, τελούμενοι μὲ πρόφασιν πονηρῶν δαιμόνων, μεταστρέφουν τοὺς ἀνθρώπους εἰς τὴν ἀδοξίαν; Εἶδα πολλὰς φορὰς κάποιον, καὶ ἰδὼν ἐθαύμασα καὶ μετὰ τὸν θαυμασμὸν τὸν κατεφρόνησα, πῶς ἐσωτερικῶς μὲν εἶναι ἄλλος, ἀπὸ ἔξω δὲ παρουσιάζεται ψευδῶς ὡς κάτι τὸ ὁποῖον δὲν εἶναι· πολὺ κομψευόμενον, παντοιοτρόπως λικνιζόμενον, ἀκτινοβολοῦντα μὲ τοὺς ὀφθαλμοὺς καὶ λυγιζόμενον μὲ τὰς χεῖρας, δαιμονῶντα μὲ ὄψιν πηλίνην καὶ γινόμενον ἄλλοτε ὡς Ἀφροδίτην ἄλλοτε δὲ ὡς Ἀπόλλωνα, ἕνα κατήγορον ὅλων τῶν θεῶν, σύνοψιν δεισιδαιμονίας, διαβολέα ἡρωϊκῶν πράξεων, ὑποκριτὴν φόνων, ὑπομνηματιστὴν μοιχείας, θησαυρὸν μανίας, παιδευτὴν κιναίδων, ἀφορμὴν καταδικαζομένων· καὶ εἶδα τὸν τοιοῦτον νὰ ἐπαινῆται ἀπὸ ὅλους. Ἐγὼ ὅμως τὸν ἐγκατέλειψα, διότι παρουσίαζε τὰ πάντα ψευδῶς, καὶ τὴν ἀθεότητα καὶ τὰς ἀσχολίας καὶ τὸν ἄνθρωπον.

22a Σεῖς δὲ συλαγωγεῖσθε ἀπὸ αὐτοὺς καὶ λοιδορεῖτε τοὺς μὴ μετέχοντας εἰς τὰς τελετάς σας. Δὲν θέλω νὰ χάσκω, ὅταν πολλοὶ ᾄδουν, καὶ δὲν θέλω νὰ μεταβάλλω διάθεσιν μὲ τὸ νεῦμα καὶ τὸ κινούμενον παρὰ φύσιν. Τί ἀξιοπερίεργον δὲν ἔχει εὑρεθῇ καὶ διαπράττεται ἀπὸ σᾶς; Παίζουν αὐλὸν μὲ τὴν ῥῖνα καὶ λαλοῦν αἰσχρά, κάμνουν ἀπρεπεῖς κινήσεις καὶ αἱ θυγατέρες καὶ οἱ υἱοί σας παρακολουθοῦν τοὺς παριστάνοντας εἰς τὴν σκηνὴν πῶς νὰ μοιχεύουν. Εἰς σᾶς εἶναι καλὰ τὰ ἀκούσματα, τὰ ὁποῖα κηρύσσουν ὅλα ὅσα διαπράττονται μοχθηρῶς κατὰ τὴν νύκτα καὶ τέρπουν τοὺς ἀκροατὰς μὲ ἐκφωνήσεις αἰσχρῶν λόγων. Καλοὶ δὲ εἶναι καὶ οἱ ποιηταί σας, οἱ ὁποῖοι ἐξαπατοῦν τοὺς ἀκούοντας μὲ ψεύδη καὶ μὲ προσποιήσεις.

23 Εἶδα ἀνθρώπους βεβαρημένους ἀπὸ τὴν σωμασκίαν καὶ περιφέροντας τὸ φορτίον τῶν κρεάτων ποὺ ἔχουν, εἰς τοὺς ὁποίους διατίθενται ἔπαθλα καὶ στέφανοι, ὅταν τοὺς προσκαλοῦν οἱ ἀγωνοθέται, ὄχι δι' ἀνδραγαθίαν, ἀλλὰ διὰ φιλονεικίαν

*λον πλήκτην στεφανούμενον. Καὶ ταῦτα μέν ἐστι τῶν κακῶν τὰ ἐλάττονα· τὰ δὲ μείζονα τίς οὐκ ἂν ἐξειπεῖν ὀκνήσειεν; Ἀργίαν τινὲς ἐπανῃρημένοι διὰ τὴν ἀσωτίαν ἑαυτοὺς εἰς τὸ φονευθῆναι πιπράσκουσιν· καὶ πωλεῖ μὲν ἑαυτὸν ὁ πεινῶν, ὁ δὲ πλουτῶν ὠνεῖται τοὺς φονεύσοντας. Καὶ τούτοις οἱ μαρτυροῦντες καθίζονται, μονομαχοῦσί τε οι πυκτεύοντες περὶ οὐδενός, καὶ ὁ βοηθήσων οὐ κάτεισιν. Ἆρά γε τὰ τοιαῦτα ὑφ' ὑμῶν καλῶς ἐπιτελεῖται; Τὸ μὲν γὰρ στρατόπεδον τῶν μιαιφονούντων ὁ προὔχων ἐν ὑμῖν συναγείρει λῃστοτροφεῖν ἐπαγγελλόμενος, οἱ δὲ λῃστεύοντες ἀπ' αὐτοῦ προΐασιν, καὶ πάντες ἐπὶ τὴν θέαν σύνιτε κριταὶ γινόμενοι τοῦτο μὲν πονηρίας ἀγωνοθέτου, τοῦτο δὲ καὶ αὐτῶν τῶν μονομαχούντων. Ὁ δὲ τῷ φόνῳ μὴ περιτυχὼν λυπεῖται, διότι μὴ κατεκρίθη πονηρῶν καὶ μιαρῶν ἔργων θεατὴς γενέσθαι. Θύετε ζῶα διὰ τὴν κρεωφαγίαν καὶ ἀνθρώπους ὠνεῖσθε τῇ ψυχῇ διὰ τὴν ἀνθρωποσφαγίαν παρεχόμενοι, τρέφοντες αὐτὴν αἱματεκχυσίαις ἀθεωτάταις. Ὁ μὲν οὖν λῃστεύων φονεύει χάριν τοῦ λαβεῖν, ὁ δὲ πλουτῶν μονομάχους ὠνεῖται χάριν τοῦ φονεῦσαι.*

24 *Τί μοι συμβάλλεται πρὸς ὠφέλειαν ὁ κατὰ τὸν Εὐριπίδην μαινόμενος καὶ τὴν Ἀλκμαίωνος μητροκτονίαν ἀπαγγέλλων, ᾧ μηδὲ τὸ οἰκεῖον πρόσεστι σχῆμα, κέχηνε δὲ μέγα καὶ ξίφος περιφέρει καὶ κεκραγὼς πίμπραται καὶ φορεῖ στολὴν ἀπάνθρωπον; Ἐρρέτω καὶ τὰ Ἡγησίου μυθολογήματα καὶ Μένανδρος τῆς ἐκείνου γλώττης ὁ στιχοποιός. Τί μοι καὶ τεθηπέναι τὸν Πυθικὸν αὐλητήν; τί δέ μοι καὶ κατὰ Ἀριστόξενον τὸν Θηβαῖον Ἀντιγενίδην πολυπραγμονεῖν; Παραχωροῦμεν ὑμῖν τὰ μὴ ὠφέλιμα· καὶ ὑμεῖς ἢ πείσθητε τοῖς δόγμασιν ὑμῶν ἢ κατὰ τὸ ὅμοιον τῶν ὑμετέρων ἡμῖν ἐκχωρήσατε.*

25 *Τί μέγα καὶ θαυμαστὸν οἱ παρ' ὑμῖν ἐργάζονται φιλόσοφοι; Θατέρου γὰρ τῶν ὤμων ἐξαμελοῦσι κόμην τε ἐπιειμένοι πολλὴν πωγωνοτροφοῦσιν ὄνυχας θηρίων περιφέροντες καὶ λέγοντες μὲν δεῖσθαι μηδενός, κατὰ δὲ τὸν Πρωτέα σκυτοδέψου μὲν χρῄζοντες*

---

23. Περιγράφει οὕτω ὁ Τατιανὸς τὰς συνήθεις κατὰ τὴν ρωμαϊκὴν ἐποχὴν μονομαχίας.

ὑβριστικὴν καὶ στασιαστικήν, καὶ νὰ στεφανώνεται αὐτὸς ποὺ κτυπᾶ περισσότερα. Καὶ αὐτὰ μὲν εἶναι τὰ ὀλιγώτερα τῶν κακῶν· τὰ δὲ μεγαλύτερα ποῖος δὲν θὰ διστάση νὰ τὰ ἀναφέρη; Μερικοί, ἀναλαβόντες τὴν ἀργίαν λόγω ἀσωτίας πωλοῦν ἑαυτοὺς διὰ νὰ φονευθοῦν· ὁ πεινασμένος πωλεῖ ἑαυτόν, ὁ δὲ πλούσιος ἀγοράζει τοὺς φονευτὰς καὶ εἰς τούτους ὁρίζονται μάρτυρες, μονομαχοῦν οἱ πυγμάχοι διὰ τὸ τίποτε καὶ αὐτὸς ὁ ὁποῖος θὰ βοηθήση δὲν κατέρχεται. Ἄραγε καλῶς πράττονται τὰ τοιαῦτα ἀπὸ σᾶς; Διότι τὸ μὲν στρατόπεδον τῶν ἀνθρωποκτόνων συγκεντρώνει ὁ ἡγέτης σας, ἐπαγγελλόμενος νὰ τρέφη ληστάς, οἱ δὲ λησταὶ προβαίνουν ἀπὸ αὐτόν, καὶ ὅλοι προστρέχετε εἰς τὸ θέαμα, γινόμενοι κριταί, ἀφ' ἑνὸς μὲν τῆς πονηρίας τοῦ ἀγωνοθέτου, ἀφ' ἑτέρου δὲ καὶ αὐτῶν τῶν μονομάχων. Ὅποιος δὲ δὲν παρευρέθη εἰς τὸν φόνον, λυπεῖται, διότι δὲν κατεκρίθη νὰ γίνη θεατὴς πονηρῶν καὶ μιαρῶν ἔργων[23]. Θυσιάζετε ζῶα διὰ τὴν κρεωφαγίαν καὶ ἀγοράζετε ἀνθρώπους τοὺς ὁποίους προσφέρετε εἰς τὴν ψυχὴν δι' ἀνθρωποσφαγίαν, τρέφοντες αὐτὴν μὲ ἀθεωτάτας αἱματοχυσίας. Ὁ μὲν ληστὴς λοιπὸν φονεύει διὰ νὰ λάβη, ὁ δὲ πλούσιος ἀγοράζει μονομάχους διὰ νὰ φονεύη.

24 Τί μὲ ὠφελεῖ ὁ κατὰ τὸν Εὐριπίδην μαινόμενος[24] καὶ ἀπαγγέλλων τὴν μητροκτονίαν τοῦ Ἀλκμαίωνος, εἰς τὸν ὁποῖον δὲν ὑπάρχει κἂν ἡ οἰκεία ἐμφάνισις, ἀλλὰ χάσκει μεγάλως καὶ περιφέρει ξίφος καὶ φορεῖ στολὴν ἀπάνθρωπον καὶ κατακαίεται κραυγάζων; Ἂς χαθοῦν τὰ μυθολογήματα τοῦ Ἡγησίου καὶ ὁ Μένανδρος, ὁ στιχοποιὸς τῆς γλώσσης ἐκείνου. Διατί νὰ θαμβώνωμαι ἀπὸ τὸν Πυθικὸν ποιητήν; Διατί δὲ νὰ πολυπραγμονῶ καὶ διὰ τὸν Ἀριστόξενον τὸν Θηβαῖον, τὸν Ἀντιγενίδην; Παραχωροῦμεν εἰς σᾶς τὰ ἀνωφελῆ· καὶ σεῖς ἢ πεισθῆτε εἰς τὰ δόγματά σας ἢ καθ' ὅμοιον τρόπον προσχωρήσατε εἰς ἡμᾶς ἀπὸ τὰ ἰδικά σας.

25 Τί μέγα καὶ θαυμαστὸν ἐνεργοῦν οἱ φιλόσοφοί σας; Διότι ἀφήνουν γυμνὸν τὸν ἕνα ὦμον, τρέφουν μακρὰν κόμην καὶ πώγωνα, περιφέρουν ὄνυχας θηρίων καὶ λέγουν μὲν ὅτι δὲν ἔχουν τίποτε ἀνάγκην, ἀλλὰ κατὰ τὸν Πρωτέα διὰ τὸ σακκούλι

24. Ὁ Ἡρακλῆς μαινόμενος.

*διὰ τὴν πήραν, ὑφάντου δὲ διὰ τὸ ἱμάτιον καὶ διὰ τὸ ξύλον δρυοτόμου, διὰ δὲ τὴν γαστριμαργίαν τῶν πλουτούντων καὶ ὀψοποιοῦ. Ὁ ζηλῶν, ἄνθρωπε, τὸν κύνα, τὸν Θεὸν οὐκ οἶδας καὶ ἐπὶ τὴν ἀλόγων μίμησιν μεταβέβηκας· ὁ δὲ κεκραγὼς δημοσίᾳ μετ' ἀξιοπιστίας ἔκδικος γίνῃ σαυτοῦ, κἂν μὴ λάβῃς, λοιδορεῖς, καὶ γίνεταί σοι τέχνη τοῦ πορίζειν τὸ φιλοσοφεῖν. Τοῖς Πλάτωνος ἕπῃ δόγμασι, καὶ ὁ κατ' Ἐπίκουρον σοφιστεύων διαπρύσιος ἀνθίσταταί σοι· πάλιν τε εἶναι θέλεις κατὰ τὸν Ἀριστοτέλην, καί τις κατὰ τὸν Δημόκριτον λοιδορεῖταί σοι. Πυθαγόρας Εὔφορβος γεγονέναι φησὶ καὶ τοῦ Φερεκύδους δόγματος κληρονόμος ἐστίν· ὁ δὲ Ἀριστοτέλης τῆς ψυχῆς διαβάλλει τὴν ἀθανασίαν. Στασιώδεις δὲ ἔχοντες τῶν δογμάτων τὰς διαδοχὰς ἀσύμφωνοι πρὸς τοὺς συμφώνους ἑαυτοῖς διαμάχεσθε. Σῶμά τις εἶναι λέγει τὸν τέλειον Θεόν, ἐγὼ δὲ ἀσώματον· ἄλυτον εἶναι τὸν κόσμον, ἐγὼ δὲ λυόμενον· ἐκπύρωσιν ἀποβαίνειν κατὰ καιρούς, ἐγὼ δὲ εἰσάπαξ· κριτὰς εἶναι Μίνω καὶ Ραδάμανθυν, ἐγὼ δὲ αὐτὸν τὸν Θεόν· ἀπαθανατίζεσθαι μόνην τὴν ψυχήν, ἐγὼ δὲ καὶ τὸ σὺν αὐτῇ σαρκίον.*

25a *Τί βλάπτομεν ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες; τί δὲ τοὺς λόγῳ Θεοῦ κατακολουθοῦντας καθάπερ μιαρωτάτους μεμισήκατε; Παρ' ἡμῖν οὐκ ἔστιν ἀνθρωποφαγία· ψευδομάρτυρες οἱ πεπαιδευμένοι γεγόνατε· παρ' ὑμῖν δὲ Πέλοψ δεῖπνον τῶν θεῶν γίνεται κἂν Ποσειδῶνος ἐρώμενος, καὶ Κρόνος τοὺς υἱοὺς ἀναλίσκει, καὶ ὁ Ζεὺς τὴν Μῆτιν.*

26 *Παύσασθε λόγους ἀλλοτρίους θριαμβεύοντες καὶ ὥσπερ ὁ κολοιὸς οὐκ ἰδίοις ἐπικοσμούμενοι πτεροῖς. Ἑκάστη πόλις ἐὰν ἀφέληται τὴν ἰδίαν αὐτῆς ἀφ' ὑμῶν λέξιν, ἐξαδυνατήσουσιν ὑμῖν τὰ σοφίσματα. Ζητοῦντες τίς ὁ Θεός, τίνα τὰ ἐν ὑμῖν, ἀγνοεῖτε· κεχηνότες δὲ εἰς τὸν οὐρανὸν κατὰ βαράθρων πίπτετε. Λαβυρίνθοις ἐοίκασιν ὑμῶν τῶν βιβλίων αἱ ἀναθέσεις, οἱ δὲ ἀναγινώσκοντες τῷ πίθῳ τῶν Δαναΐδων. Τί μοι μερίζετε τὸν χρόνον, λέγοντες τὸ μέν τι εἶναι παρῳχηκὸς αὐτοῦ, τὸ δὲ ἐνεστός, τὸ δὲ μέλλον; Πῶς γὰρ δύναται παρελθεῖν ὁ μέλλων, εἰ ἔστιν ὁ ἐνεστώς;*

---

25. Πιστεύων εἰς τὴν μετενσάρκωσιν ὁ Πυθαγόρας ἰσχυρίζεται ὅτι ἦτο ὁ παλαιὸς ἥρως τῆς Τροίας Εὔφορβος.

χρειάζονται βυρσοδέψην, διὰ τὸ ἱμάτιον ὑφαντήν, διὰ τὴν ράβδον ξυλοκόπον, διὰ δὲ τὴν γαστριμαργίαν πλουσίους καὶ μάγειρον. Ἐνῶ, ἄνθρωπε, ζηλεύεις τὸν κύνα, δὲν γνωρίζεις τὸν Θεὸν καὶ μεταβαίνεις εἰς τὴν μίμησιν τῶν ἀλόγων· ἐνῶ κράζεις δημοσίᾳ μὲ ἀξιοπιστίαν, γίνεσαι ἐκδικητὴς σεαυτοῦ, καὶ ἂν δὲν λάβῃς, λοιδορεῖς καὶ σοῦ γίνεται τέχνη πορισμοῦ ἡ φιλοσοφία. Ἀκολουθεῖς τὰ διδάγματα τοῦ Πλάτωνος, καὶ ὁ σοφιστεύων κατὰ τὴν μέθοδον τοῦ Ἐπικούρου σὲ ἀντικρούει φανερά· θέλεις πάλιν νὰ εἶσαι εἰς τοὺς ὀπαδοὺς τοῦ Ἀριστοτέλους, καὶ κάποιος ἀπὸ τοὺς ἀκολουθοῦντας τὸν Δημόκριτον σὲ λοιδορεῖ. Ὁ Πυθαγόρας λέγει ὅτι ἦτο ὁ Εὔφορβος[25] καὶ εἶναι κληρονόμος τοῦ δόγματος τοῦ Φερεκύδους. Ὁ δὲ Ἀριστοτέλης διαβάλλει τὴν ἀθανασίαν τῆς ψυχῆς. Ἐνῶ δὲ ἔχετε ἀντιφατικὰς τὰς παραδόσεις τῶν διδασκαλιῶν σας, διαμάχεσθε σεῖς οἱ ἀσύμφωνοι πρὸς ἡμᾶς τοὺς συμφώνους μεταξύ μας. Κάποιος ἀπὸ σᾶς λέγει ὅτι ὁ τέλειος Θεὸς εἶναι σῶμα, ἐγὼ δὲ τὸν λέγω ἀσώματον· ὅτι ὁ κόσμος εἶναι ἀκατάλυτος, ἐγὼ δὲ ὅτι εἶναι διαλυόμενος· ὅτι συμβαίνει ἐκπύρωσις κατὰ καιρούς, ἐγὼ δὲ ἐφ' ἅπαξ· ὅτι ὁ Μίνως καὶ ὁ Ραδάμανθυς εἶναι κριταί, ἐγὼ δὲ ὅτι κριτὴς εἶναι ὁ ἴδιος ὁ Θεός· ὅτι ἀθάνατος γίνεται μόνον ἡ ψυχή, ἐγὼ δὲ ὅτι καὶ τὸ μετ' αὐτῆς σαρκίον.

25α Τί σᾶς βλάπτομεν, ἄνδρες Ἕλληνες; Διατί μισεῖτε τοὺς ἀκολουθοῦντας τὸν λόγον τοῦ Θεοῦ ὡς μιαρωτάτους; Εἰς ἡμᾶς δὲν παρατηρεῖται ἀνθρωποφαγία· οἱ τάχα μορφωμένοι ἐγίνατε ψευδομάρτυρες. Ἀντιθέτως εἰς σᾶς ὁ Πέλοψ ἔγινε δεῖπνον τῶν θεῶν, ἂν καὶ ἦτο ἐρώμενος τοῦ Ποσειδῶνος, καὶ ὁ Κρόνος κατατρώγει τοὺς υἱοὺς καὶ ὁ Ζεὺς τὴν Μῆτιν.

26 Παύσατε νὰ θριαμβολογῆτε διὰ ξένους λόγους καὶ νὰ στολίζεσθε ὡσὰν ὁ κολοιὸς μὲ πτερὰ τὰ ὁποῖα δὲν εἶναι ἰδικά σας. Ἐὰν ἑκάστη πόλις ἀφαιρέσῃ ἀπὸ σᾶς τὴν λέξιν της, θὰ ἐξασθενήσουν τελείως τὰ σοφίσματά σας. Ἐνῶ ζητεῖτε ποῖος εἶναι ὁ Θεός, ἀγνοεῖτε τὰ ἰδικά σας· χάσκοντες δὲ πρὸς τὸν οὐρανὸν πίπτετε κάτω εἰς τὰ βάραθρα. Μὲ λαβυρίνθους ὁμοιάζουν αἱ διατυπώσεις τῶν βιβλίων, οἱ δὲ ἀναγινώσκοντες ὁμοιάζουν μὲ τὸν πίθον τῶν Δαναΐδων. Τί μοῦ μοιράζετε τὸν χρόνον, λέγοντες ὅτι τὸ μὲν ἓν εἶναι παρελθὸν αὐτοῦ, τὸ ἄλλο παρὸν καὶ τὸ ἄλλο μέλλον; Διότι πῶς δύναται νὰ παρέλθῃ ὁ μέλλων, ἐὰν εἶ-

Ὥσπερ δὲ οἱ ἐμπλέοντες τῆς νεὼς φερομένης οἴονται διὰ τὴν ἀμαθίαν ὅτι τὰ ὄρη τρέχουσιν, οὕτω καὶ ὑμεῖς οὐ γινώσκετε παρατρέχοντας μὲν ὑμᾶς, ἑστῶτα δὲ τὸν αἰῶνα, μέχρις ἂν αὐτὸν ὁ ποιήσας εἶναι θελήσῃ. Διὰ τί γὰρ ἐγκαλοῦμαι λέγων τὰ ἐμά, τὰ δέ μου πάντα καταλύειν σπεύδετε; Μὴ γὰρ οὐχ ὑμεῖς κατὰ τὸν ὅμοιον τρόπον ἡμῖν γεγένησθε, τῆς αὐτῆς τοῦ κόσμου διοικήσεως μετειληφότες; Τί φάσκετε σοφίαν εἶναι παρ' ὑμῖν μόνοις, οὐκ ἔχοντες ἄλλον ἥλιον οὐδὲ ἀστέρων ἐπιφοιτήσεις καὶ γένεσιν διαφορωτέραν θάνατόν τε παρὰ τοὺς ἄλλους ἀνθρώπους ἐξαίρετον; Ἀρχὴ τῆς φλυαρίας ὑμῖν γεγόνασιν οἱ γραμματικοί, καὶ οἱ μερίζοντες τὴν σοφίαν τῆς κατὰ ἀλήθειαν σοφίας ἀπετμήθητε, τὰ δὲ ὀνόματα τῶν μερῶν ἀνθρώποις προσενείματε· καὶ τὸν μὲν Θεὸν ἀγνοεῖτε, πολεμοῦντες δὲ ἑαυτοῖς ἀλλήλους καθαιρεῖτε. Καὶ διὰ τοῦτο πάντες οὐδέν ἐστε, σφετερίζοντες μὲν τοὺς λόγους, διαλεγόμενοι δὲ καθάπερ τυφλὸς κωφῷ. Τί κατέχετε σκεύη τεκτονικὰ τεκταίνειν μὴ γινώσκοντες; Τί λόγους ἐπαναιρεῖσθε τῶν ἔργων μακρὰν ἀφεστῶτες; Φυσώμενοι μὲν διὰ δόξης, ἐν δὲ ταῖς συμφοραῖς ταπεινούμενοι παρὰ λόγον καταχρᾶσθε τοῖς σχήμασι· δημοσίᾳ μὲν γὰρ πομπεύετε, τοὺς δὲ λόγους ἐπὶ τὰς γωνίας ἀποκρύπτετε. Τοιούτους ὑμᾶς ἐπιγνόντες καταλελοίπαμεν καὶ τῶν ὑμετέρων οὐκέτι ψαύομεν, Θεοῦ δὲ λόγῳ κατακολουθοῦμεν. Τί γάρ, ἄνθρωπε, τῶν γραμμάτων ἐξαρτύεις τὸν πόλεμον; Τί δὲ ὡς ἐν πυγμῇ συγκρούεις τὰς ἐκφωνήσεις αὐτῶν διὰ τὸν Ἀθηναίων ψελλισμόν, δέον σε λαλεῖν φυσικώτερον; Εἰ γὰρ ἀττικίζεις οὐκ ὢν Ἀθηναῖος, λέγε μοι τοῦ μὴ δωρίζειν τὴν αἰτίαν· πῶς τὸ μὲν εἶναι σοι δοκεῖ βαρβαρικώτερον, τὸ δὲ πρὸς τὴν ὁμιλίαν ἱλαρώτερον;

27 Εἰ δὲ σὺ τῆς ἐκείνων ἀντέχῃ παιδείας, τί μοι δόξας αἱρουμένῳ δογμάτων ὧν θέλω διαμάχῃ; Πῶς γὰρ οὐκ ἄτοπον τὸν μὲν λῃστὴν διὰ τὸ ἐπικατηγορούμενον ὄνομα μὴ κολάζειν πρὶν ἢ τἀληθὲς ἐπ' ἀκριβείᾳ καταμανθάνειν, ἡμᾶς δὲ προλήμματι λοιδορίας ἀνεξετάστως μεμισηκέναι; Διαγόρας Ἀθηναῖος ἦν, ἀλλὰ τοῦτον ἐξορχησάμενον τὰ παρ' Ἀθηναίοις μυστήρια τετιμωρήκατε

ναι ὁ παρών; Ὅπως δὲ οἱ πλέοντες ἐπάνω εἰς πλοῖον κινούμενον ἀπὸ ἀμάθειαν νομίζουν ὅτι τρέχουν τὰ ὄρη, οὕτω καὶ σεῖς δὲν γνωρίζετε ὅτι σεῖς οἱ ἴδιοι παρατρέχετε, ὁ δὲ αἰὼν διαμένει, ὅσον ὁ ποιητὴς αὐτοῦ θέλει νὰ διαμείνη. Πράγματι διατί κατηγοροῦμαι λέγων τὰ ἰδικά μου, τὰ ὁποῖα σπεύδετε νὰ τὰ καταλύσετε ὅλα; Μήπως δὲν ἐγίνατε καὶ σεῖς κατὰ τὸν ἴδιον τρόπον μὲ ἡμᾶς, μετασχόντες τῆς ἰδίας τάξεως τοῦ κόσμου; Διατί ἰσχυρίζεσθε ὅτι σοφία εἶναι μόνον εἰς σᾶς, ἐνῶ δὲν ἔχετε ἄλλον ἥλιον οὔτε ἄλλους ἀστερισμοὺς καὶ δὲν διαθέτετε διαφορετικὴν γένεσιν καὶ θάνατον ὑπεροχώτεον ἀπὸ τοὺς ἄλλους ἀνθρώπους; Ἀρχὴ τῆς φλυαρίας σας ἔγιναν οἱ γραμματικοὶ καὶ διαμοιράζοντες τὴν σοφίαν ἀπεκόπητε ἀπὸ τὴν κατὰ ἀλήθειαν σοφίαν, τὰ δὲ ὀνόματα τῶν μερῶν τὰ ἀπεδώσατε εἰς ἀνθρώπους. Καὶ τὸν μὲν Θεὸν ἀγνοεῖτε, πολεμοῦντες δὲ πρὸς ἀλλήλους καθαιρεῖτε ἀλλήλους. Διά τοῦτο δὲν εἶσθε τίποτε ὅλοι, ἰδιοποιούμενοι μὲν τοὺς λόγους, συζητοῦντες δὲ ὅπως ὁ τυφλὸς μὲ τὸν κωφόν. Διατί κατέχετε τεκτονικὰ ὄργανα, ἐνῶ δὲν γνωρίζετε τὴν τεκτονικὴν τέχνην; Διατί ἀναλαμβάνετε λόγους, ἐνῶ εὑρίσκεσθε μακρὰν τῶν ἔργων; Ὑπερηφανευόμενοι εἰς ὥραν δόξης καὶ ταπεινούμενοι εἰς ὥραν συμφορῶν, καταχρᾶσθε τὰ σχήματα εἰς τοὺς λόγους· διότι δημοσίᾳ μὲν θριαμβολογεῖτε, εἰς τὰς γωνίας δὲ ἀποκρύπτετε τοὺς λόγους. Ἀντιληφθέντες λοιπὸν ὅτι εἶσθε τοιοῦτοι, σᾶς ἐγκατελείψαμεν καὶ δὲν ἐγγίζομεν πλέον τὰ ἰδικά σας, ἀλλὰ ἀκολουθοῦμεν τὸν λόγον τοῦ Θεοῦ. Διατί, ἄνθρωπε, παρασκευάζεις τὸν πόλεμον τῶν γραμμάτων; Διατί συγκρούεις τὰς ἐκφωνήσεις τῶν γραμμάτων ὡς εἰς πυγμαχίαν ἐξ αἰτίας τοῦ ψελλισμοῦ τῶν Ἀθηναίων, ἐνῶ πρέπει νὰ ὁμιλῆς φυσικώτερον; Διότι, ἂν ἀττικίζῃς χωρὶς νὰ εἶσαι Ἀθηναῖος, λέγε μου διὰ ποίαν αἰτίαν δὲν δωρίζεις; πῶς τὸ μὲν ἓν σοῦ φαίνεται βαρβαρικώτερον, τὸ δὲ ἄλλο φαιδρότερον πρὸς τὴν ὁμιλίαν;

7 Ἐάν δὲ ἐσὺ δέχεσαι τὴν παιδείαν ἐκείνων, διατί διαμάχεσαι μαζί μου, διότι προτιμῶ ἀπόψεις δογμάτων τὰ ὁποῖα θέλω; Διότι πῶς δὲν θὰ ἦτο ἄτοπον τὸν μὲν ληστὴν νὰ μὴ τιμωρῆτε διὰ τὸ κατηγορούμενον ὄνομα πρὶν καταμάθετε ἀκριβῶς τὴν ἀλήθειαν, ἡμᾶς δὲ νὰ μισῆτε ἀνεξετάστως μὲ τὸ πλεονέκτημα τῆς λοιδορίας; Ὁ Διαγόρας ἦτο Ἀθηναῖος, ἀλλὰ τοῦτον ἐτιμωρήσατε διότι διεκωμώδησε τὰ μυστήρια τῶν Ἀθηναίων· ἐνῶ δὲ

*καὶ τοῖς Φρυγίοις αὐτοῦ λόγοις ἐντυγχάνοντες ἡμᾶς μεμισήκατε. Λέοντος κεκτημένοι τὰ ὑπομνήματα πρὸς τοὺς ἀφ' ἡμῶν ἐλέγχους δυσχεραίνετε· καὶ τὰς περὶ τῶν κατ' Αἴγυπτον θεῶν δόξας Ἀπίωνος ἔχοντες παρ' ἑαυτοῖς ὡς ἀθεωτάτους ἡμᾶς ἐκκηρύσσετε. Τάφος τοῦ Ὀλυμπίου Διὸς καθ' ὑμᾶς δείκνυται κἂν ψεύδεσθαί τις τοὺς Κρῆτας λέγῃ. Τῶν πολλῶν θεῶν ἡ ὁμήγυρις οὐδέν ἐστιν, κἂν ὁ καταφρονῶν αὐτῶν Ἐπίκουρος δᾳδουχῇ· τοὺς ἄρχοντας οὐδὲν πλέον σέβω τοῦ Θεοῦ· κατάληψιν ἣν ἔχω περὶ τῶν ὅλων, ταύτην οὐκ ἀποκρύπτομαι. Τί μοι συμβουλεύεις ψεύσασθαι τὴν πολιτείαν; Τί δὲ λέγων θανάτου καταφρονεῖν, διὰ τέχνης φεύγειν αὐτὸν καταγγέλλεις; Ἐγὼ μὲν οὐκ ἔχω καρδίαν ἐλέφου· τὰ δὲ τῶν ὑμετέρων λόγων ἐπιτηδεύματα κατὰ τὸν ἀμετροεπῆ Θερσίτην γίνεται. Πῶς πεισθήσομαι τῷ λέγοντι μύδρον τὸν ἥλιον καὶ τὴν σελήνην γῆν; Τὰ γὰρ τοιαῦτα λόγων ἐστὶν ἅμιλλα καὶ οὐκ ἀληθείας διακόσμησις. Ἢ πῶς οὐκ ἠλίθιον πιθέσθαι τοῖς Ἡροδώρου βιβλίοις περὶ τοῦ καθ' Ἡρακλέα λόγου, γῆν ἄνω κηρύττουσιν κατεληλυθέναι τε ἀπ' αὐτῆς λέοντα τὸν ὑφ' Ἡρακλέους φονευθέντα; Τί δ' ἂν ὠφελήσειε λέξις ἀττικὴ καὶ φιλοσόφων σωρεία καὶ συλλογισμῶν πιθανότητες καὶ μέτρα γῆς καὶ ἄστρων θέσεις καὶ ἡλίου δρόμοι; Τὸ γὰρ περὶ τοιαύτην ἀσχολεῖσθαι ζήτησιν νομοθετοῦντός ἐστιν ἔργον ἑαυτῷ τὰ δόγματα.*

28 *Διὰ τοῦτο καὶ τῆς παρ' ὑμῖν κατέγνων νομοθεσίας. Μίαν μὲν γὰρ ἐχρῆν εἶναι καὶ κοινὴν ἁπάντων τὴν πολιτείαν· νυνὶ δὲ ὅσα γένη πόλεων, τοσαῦται καὶ τῶν νόμων θέσεις ὡς εἶναι τὰ παρ' ἐνίοις αἰσχρὰ παρά τισι σπουδαῖα. Νομίζουσιν γοῦν Ἕλληνες φευκτὸν εἶναι τὸ συγγενέσθαι μητρί, κάλλιστον δὲ τὸ τοιοῦτόν ἐστιν ἐπιτήδευμα παρὰ τοῖς Περσῶν μάγοις· καὶ παιδεραστία μὲν ὑπὸ βαρβάρων διώκεται, προνομίας δὲ ὑπὸ Ῥωμαίων ἠξίωται, παίδων ἀγέλας ὥσπερ ἵππων φορβάδων συναγείρειν αὐτῶν πειρωμένων.*

29 *Ταῦτ' οὖν ἰδών, ἔτι δὲ καὶ μυστηρίων μεταλαβὼν καὶ τὰς παρὰ πᾶσι θρησκείας δοκιμάσας διὰ θηλυδριῶν καὶ ἀνδρογύνων συνισταμένας, εὑρὼν δὲ παρὰ μὲν Ῥωμαίους τὸν κατ' αὐτοὺς Λα-*

26. Ὁ Ἐπιμενίδης ὁ Κρής.

ἀναγινώσκετε τοὺς Φρυγίους λόγους του, μισεῖτε ἡμᾶς. Ἐνῶ κατέχετε τὰ ὑπομνήματα τοῦ Λέοντος, δυσανασχετεῖτε διὰ τοὺς ἐκ μέρους ἡμῶν ἐλέγχους. Ἐνῶ ἔχετε τὰς περὶ τῶν θεῶν τῆς Αἰγύπτου δοξασίας τοῦ Ἀπίωνος ἀνάμεσά σας, μᾶς διαλαλεῖτε ὡς ἀθεωτάτους. Ὁ τάφος τοῦ Ὀλυμπίου Διὸς δεικνύεται εἰς τοὺς κύκλους σας, ἔστω καὶ ἂν κάποιος λέγῃ ὅτι ψεύδονται οἱ Κρῆτες ὡς πρὸς τὸ θέμα[26]. Τῶν πολλῶν θεῶν ἡ ὁμήγυρις δὲν εἶναι τίποτε, ἀκόμη καὶ ἂν ὁδηγῇ ὁ καταφρονῶν αὐτοὺς Ἐπίκουρος. Δὲν σέβομαι καθόλου περισσότερον τοῦ Θεοῦ τοὺς ἄρχοντας· δὲν ἀποκρύπτω τὴν ἀντίληψιν τὴν ὁποίαν ἔχω περὶ τῶν ὅλων. Διατί μὲ συμβουλεύεις νὰ παραβιάζω τὴν πολιτείαν; Διατί δέ, λέγων ὅτι καταφρονεῖς θανάτου, διδάσκεις νὰ τὸν ἀποφεύγωμεν μὲ τρόπον; Ἐγὼ μὲν δὲν ἔχω καρδίαν ἐλάφου· τὰ δὲ θέματα τῶν λόγων σας γίνονται κατὰ τὸ παράδειγμα τοῦ ἀμετροεποῦς Θερσίτου. Πῶς θὰ πεισθῶ εἰς τὸν λέγοντα μύδρον τὸν ἥλιον καὶ γῆν τὴν σελήνην; Τοιαῦτα πράγματα εἶναι λόγων ἐπίδειξις καὶ ὄχι ἐπιβεβαίωσις ἀληθείας. Ἢ πῶς δὲν εἶναι ἠλίθιον νὰ πειθώμεθα εἰς τὰ βιβλία τοῦ Ἡροδώρου περὶ τοῦ Ἡρακλέους, τὰ ὁποῖα κηρύττουν ὅτι ἡ γῆ εἶναι ἄνω καὶ ὅτι ἀπὸ αὐτὴν κατῆλθεν ὁ ὑπὸ τοῦ Ἡρακλέους φονευθεὶς λέων; Τί δύνανται νὰ ὠφελήσουν λεκτικὸν ἀττικὸν καὶ σωρευτὰ ἐπιχειρήματα φιλοσόφων καὶ πιθανότητες συλλογισμῶν καὶ μέτρα γῆς καὶ θέσεις ἄστρων καὶ δρόμοι ἡλίου; Ἡ ἐνασχόλησις μὲ τοιοῦτον ζήτημα εἶναι ἔργον νομοθετοῦντος δι' ἑαυτὸν τὰς διδασκαλίας.

28 Διὰ τοῦτο κατέκρινα καὶ τὴν νομοθεσίαν σας. Μία βεβαίως ἔπρεπε νὰ εἶναι καὶ κοινὴ δι' ὅλους ἡ πολιτεία· τώρα ὅμως ὅσα γένη πόλεων ὑπάρχουν, τόσαι εἶναι καὶ τῶν νόμων θέσεις, ὥστε τὰ εἰς μερικοὺς αἰσχρὰ εἰς ἄλλους νὰ εἶναι σοβαρά. Νομίζουν λοιπὸν οἱ Ἕλληνες ὅτι εἶναι φευκτέον τὸ νὰ συνέρχεται κανεὶς μὲ τὴν μητέρα, ἀλλὰ τοῦτο εἶναι καλλίστη ἐνέργεια εἰς τοὺς μάγους τῶν Περσῶν· καὶ ἡ παιδεραστία ὑπὸ μὲν τῶν βαρβάρων διώκεται, ἀλλὰ ἔχει ἀξιωθῆ προνομίας ἀπὸ τοὺς Ρωμαίους, οἱ ὁποῖοι προσπαθοῦν νὰ συνάξουν ἀγέλας παίδων ὡς φορβάδων.

29 Ἰδὼν λοιπὸν ταῦτα, προσέτι δὲ μετασχὼν καὶ μυστηρίων καὶ δοκιμάσας τὰς εἰς ὅλον τὸν κόσμον θρησκείας αἱ ὁποῖαι διακονοῦνται ἀπὸ θηλυπρεπεῖς καὶ ἑρμοφροδίτους· εὑρὼν δὲ

*τιάριον Δία λύθροις ἀνθρώπων καὶ τοῖς ἀπὸ τῶν ἀνδροκτασιῶν αἵμασι τερπόμενον, Ἄρτεμιν δὲ οὐ μακρὰν τῆς μεγάλης πόλεως τῶν αὐτῶν πράξεων ἐπανηρημένην τὸ εἶδος ἄλλον τε ἀλλαχῆ δαίμονα κακοπραγίας ἐπαναστάσεις πραγματευόμενον, κατ᾽ ἐμαυτὸν γενόμενος ἐζήτουν ὅτῳ τρόπῳ τ᾽ ἀληθὲς ἐξευρεῖν δύνωμαι. Περινοοῦντι δέ μοι τὰ σπουδαῖα συνέβη γραφαῖς τισιν ἐντυχεῖν βαρβαρικαῖς, πρεσβυτέραις μὲν ὡς πρὸς τὰ Ἑλλήνων δόγματα, θειοτέραις δὲ ὡς πρὸς τὴν ἐκείνων πλάνην· καί μοι πεισθῆναι ταύταις συνέβη διά τε τῶν λέξεων τὸ ἄτυφον καὶ τῶν εἰπόντων τὸ ἀνεπιτήδευτον καὶ τῆς τοῦ παντὸς ποιήσεως τὸ εὐκατάληπτον καὶ τῶν μελλόντων τὸ προγνωστικὸν καὶ τῶν παραγγελμάτων τὸ ἐξαίσιον καὶ τῶν ὅλων τὸ μοναρχικόν. Θεοδιδάκτου δέ μου γενομένης τῆς ψυχῆς συνῆκα ὅτι τὰ μὲν καταδίκης ἔχει τρόπον, τὰ δὲ ὅτι λύει τὴν ἐν κόσμῳ δουλείαν καὶ ἀρχόντων μὲν πολλῶν καὶ μυρίων ἡμᾶς ἀποσπᾷ τυράννων, δίδωσι δὲ ἡμῖν οὐχ ὅπερ μὴ ἐλάβομεν, ἀλλ᾽ ὅπερ λαβόντες ὑπὸ τῆς πλάνης ἔχειν ἐκωλύθημεν.*

30 *Τούτων οὖν τὴν κατάληψιν πεποιημένος βούλομαι καθάπερ τὰ νήπια τῶν βρεφῶν...*

30a *...Ἀποδύσασθαι. Τὴν γὰρ τῆς πονηρίας σύστασιν ἐοικυῖαν τῇ τῶν βραχυτάτων σπερμάτων ἴσμεν, ἅτε διὰ μικρᾶς ἀφορμῆς τούτου κρατυνθέντος, πάλιν δ᾽ αὖ λυθησομένου, ἡμῶν πειθομένων λόγῳ Θεοῦ καὶ μὴ σκορπιζόντων ἑαυτούς. Διά τινος γὰρ ἀποκρύφου θησαυροῦ τῶν ἡμετέρων ἐπεκράτησεν, ὃν ὀρύττοντες κονιορτοῦ μὲν ἡμεῖς ἐνεπλήσθημεν, τούτῳ δὲ τοῦ συνεστάναι τὴν ἀφορμὴν παρέσχομεν. Τὸ γὰρ αὐτοῦ πᾶς ὁ ἀποδεχόμενος κτῆμα τοῦ πολυτιμοτέρου πλούτου τὴν ἐξουσίαν ἐχειρώσατο. Ταῦτα μὲν οὖν πρὸς τοὺς ἡμῶν οἰκείους εἰρήσθω· πρὸς δὲ ὑμᾶς τοὺς Ἕλληνας τί ἂν ἕτερον ἢ τὸ μὴ τοῖς κρείττοσιν λοιδορεῖσθαι μηδ᾽, εἰ βάρβαροι λέγοιντο, ταύτην λαμβάνειν τῆς χλεύης τὴν ἀφορμήν; Τοῦ γὰρ πάντας ἀλλήλων ἐπακούειν τῆς διαλέκτου μὴ δύνασθαι τὴν αἰτίαν εὑρεῖν, ἣν ἐθέλητε, δυνήσεσθε· τοῖς ἐξετάζειν γὰρ βουλομένοις τὰ ἡμέτερα ῥᾳδίαν καὶ ἄφθονον ποιήσομαι τὴν διήγησιν.*

---

27. Ματθ. 13,44.

εἰς τοὺς Ρωμαίους τὸν λεγόμενον ἀπὸ αὐτοὺς Λατιάριον Δία νὰ εὐχαριστῆται μὲ λῦθρα καὶ αἵματα ἀπὸ ἀνθρωποκτονίας, τὴν δὲ Ἄρτεμιν ὄχι μακρὰν τῆς μεγαλοπόλεως νὰ ἐπιχειρῇ τὸ εἶδος τῶν αὐτῶν πράξεων καὶ ἄλλον δαίμονα ἀλλοῦ, διαπράττοντα ἐνεργείας κακοπραγίας, ἐλθὼν εἰς τὸν ἑαυτόν μου ἐζήτουν μὲ ποῖον τρόπον θὰ δυνηθῶ νὰ ἐξεύρω τὸ ἀληθές. Καθὼς δὲ ἐσκεπτόμην τὰ σπουδαῖα θέματα συνέβη νὰ εὕρω μερικὰς βαρβαρικὰς γραφάς, πρεσβυτέρας μὲν ὡς πρὸς τὰ δόγματα τῶν Ἑλλήνων, θειοτέρας δὲ ὡς πρὸς τὴν πλάνην ἐκείνων· καὶ συνέβη νὰ πεισθῶ εἰς αὐτὰς τόσον διὰ τὴν ἁπλότητα τῶν λέξεων, ὅσον καὶ διὰ τὸ ἀνεπιτήδευτον τῶν ὁμιλησάντων καὶ τὴν πρόγνωσιν τῶν μελλόντων καὶ τὸ ἐξαίσιον τῶν παραγγελμάτων καὶ τὴν μοναρχίαν ἐπὶ τῶν πάντων. Ἀφοῦ δὲ ἡ ψυχή μου ἔγινε θεοδίδακτος, ἀντελήφθην ὅτι ἐκεῖνα μὲν ὁδηγοῦν εἰς καταδίκην, αὐτὰ δὲ καταλύουν τὴν εἰς τὸν κόσμον δουλείαν, μᾶς ἀποσποῦν ἀπὸ πολλοὺς ἄρχοντας καὶ μυρίους τυράννους, μᾶς δίδουν δὲ ὄχι ὅ,τι ἐλάβομεν, ἀλλὰ ὅ,τι, ἐνῶ τὸ εἴχομεν λάβει, ἠμποδίσθημεν ἀπὸ τὴν πλάνην νὰ τὸ διατηρήσωμεν.

30 Ἀφοῦ λοιπὸν κατενόησα ταῦτα, θέλω ὡς τὰ νήπια βρέφη ...

30α ...Νὰ ἀποδυθῶμεν. Γνωρίζομεν ὅτι ἡ σύστασις τῆς πονηρίας ὁμοιάζει μὲ τὴν τῶν μικροσκοπικῶν σπερμάτων, διότι οὗτος ἐδυναμώθη διὰ μικρᾶς ἀφορμῆς, θὰ διαλυθῇ δὲ πάλιν, ὅταν πειθώμεθα εἰς τὸν λόγον τοῦ Θεοῦ καὶ δὲν σκορπίζωμεν ἑαυτούς. Διότι δι' ἑνὸς ἀποκρύφου θησαυροῦ[27] ἐπεκράτησε τῶν ἰδικῶν μας, τὸν ὁποῖον κατακρύπτοντες ἐγεμίσαμεν κονιορτόν, προσεφέραμεν δὲ εἰς τοῦτον τὴν ἀφορμὴν νὰ ἐπιτεθῇ. Πᾶς ἀποδεχόμενος τὴν ἀπόκτησίν του καταλαμβάνει εἰς τὴν ἐξουσίαν του τὸν πολυτιμότερον πλοῦτον. Αὐτὰ λοιπὸν ἐλέχθησαν πρὸς τοὺς οἰκείους ἡμῶν. Πρὸς σᾶς δὲ τοὺς Ἕλληνας τί ἄλλο νὰ λεχθῇ παρὰ τὸ ὅτι δὲν πρέπει νὰ λοιδορῆτε τοὺς ἀνωτέρους οὔτε, ἂν λέγωνται βάρβαροι, νὰ λαμβάνετε τοῦτο ὡς ἀφορμὴν χλεύης; Τοῦ ὅτι δὲν δύνασθε νὰ κατανοήσετε ὅλοι ἀλλήλους κατὰ τὴν διάλεκτον, ἂν θέλετε, δύνασθε νὰ εὕρετε τὴν αἰτίαν· διότι διὰ τοὺς θέλοντας νὰ ἐξετάζουν τὰ ἰδικά μας θὰ προσφέρω εὔκολον καὶ δαψιλῆ τὴν διήγησιν.

## *ΑΠΟΔΕΙΞΙΣ ΤΗΣ ΑΞΙΑΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΘΡΗΣΚΕΙΑΣ ΕΚ ΤΗΣ ΑΡΧΑΙΟΤΗΤΟΣ*

31 *Νῦν δὲ προσήκειν μοι νομίζω παραστῆσαι πρεσβυτέραν τὴν ἡμετέραν φιλοσοφίαν τῶν παρ' Ἕλλησιν ἐπιτηδευμάτων· ὅροι δὲ ἡμῖν κείσονται Μωϋσῆς καὶ Ὅμηρος. Τῷ γὰρ ἑκάτερον αὐτῶν εἶναι παλαίτατον καὶ τὸν μὲν ποιητῶν καὶ ἱστορικῶν εἶναι πρεσβύτατον, τὸν δὲ πάσης βαρβάρου σοφίας ἀρχηγόν, καὶ ὑφ' ἡμῶν νῦν εἰς σύγκρισιν παραλαμβανέσθωσαν· εὑρήσομεν γὰρ οὐ μόνον τῆς Ἑλλήνων παιδείας τὰ παρ' ἡμῖν, ἔτι δὲ καὶ τῆς τῶν γραμμάτων εὑρέσεως ἀνώτερα. Μάρτυρας δὲ οὐ τοὺς οἴκοι παραλήψομαι, βοηθοῖς δὲ μᾶλλον Ἕλλησι καταχρήσομαι. Τὸ μὲν γὰρ ἄγνωμον, ὅτι μηδὲ ὑφ' ἡμῶν παραδεκτόν, τὸ δ' ἂν ἀποδεικνύηται θαυμαστόν, ὅτ' ἂν ὑμῖν διὰ τῶν ὑμετέρων ὅπλων ἀντερείδων ἀνυπόπτους παρ' ὑμῶν τοὺς ἐλέγχους λαμβάνω.*

31a *Περὶ γὰρ τῆς Ὁμήρου ποιήσεως γένους τε αὐτοῦ καὶ χρόνου καθ' ὃν ἤκμασεν προηρεύνησαν πρεσβύτατοι μὲν Θεαγένης τε ὁ Ῥηγῖνος κατὰ Καμβύσην γεγονὼς καὶ Στησίμβροτος ὁ Θάσιος καὶ Ἀντίμαχος ὁ Κολοφώνιος, Ἡρόδοτός τε ὁ Ἁλικαρνασσεὺς καὶ Διονύσιος ὁ Ὀλύνθιος, μετὰ δὲ ἐκείνους Ἔφορος ὁ Κυμαῖος καὶ Φιλόχορος ὁ Ἀθηναῖος, Μεγακλείδης τε καὶ Χαμαιλέων οἱ Περιπατητικοί· ἔπειτα γραμματικοὶ Ζηνόδοτος, Ἀριστοφάνης, Καλλίστρατος, Κράτης, Ἐρατοσθένης, Ἀρίσταρχος, Ἀπολλόδωρος. Τούτων δὲ οἱ μὲν περὶ Κράτητα πρὸ τῆς Ἡρακλειδῶν καθόδου φασὶν αὐτὸν ἠκμακέναι, μετὰ τὰ Τρωϊκὰ ἐνδοτέρω τῶν ὀγδοήκοντα ἐτῶν· οἱ δὲ περὶ Ἐρατοσθένη μετὰ ἑκατοστὸν ἔτος τῆς Ἰλίου ἁλώσεως· οἱ δὲ περὶ Ἀρίσταρχον κατὰ τὴν Ἰωνικὴν ἀποικίαν, ἥ ἐστι μετὰ ἑκατὸν τεσσαράκοντα ἔτη τῶν Ἰλιακῶν· Φιλόχορος δὲ μετὰ τὴν Ἰωνικὴν ἀποικίαν, ἐπὶ ἄρχοντος Ἀθήνησιν Ἀρχίππου, τῶν Ἰλιακῶν ὕστερον ἔτεσιν ἑκατὸν ὀγδοήκοντα· οἱ*

## ΑΠΟΔΕΙΞΙΣ ΤΗΣ ΑΞΙΑΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΘΡΗΣΚΕΙΑΣ ΕΚ ΤΗΣ ΑΡΧΑΙΟΤΗΤΟΣ

31 Τώρα δὲ νομίζω ὅτι ἁρμόζει νὰ παραστήσω τὴν ἰδικήν μας φιλοσοφίαν παλαιοτέραν τῶν ἐπιδόσεων τῶν Ἑλλήνων· ὅροι δὲ συγκρίσεως θὰ εἶναι ὁ Μωϋσῆς καὶ ὁ Ὅμηρος. Πράγματι, ἀφοῦ ἕκαστος αὐτῶν εἶναι παλαιότατος καὶ ὁ μὲν εἷς εἶναι ὁ πρεσβύτατος τῶν ποιητῶν καὶ ἱστορικῶν, ὁ δὲ ἄλλος εἶναι ἀρχηγὸς ὅλης τῆς βαρβάρου σοφίας, διὰ τοῦτο τώρα ἂς παραληφθοῦν ἀπὸ ἡμᾶς εἰς σύγκρισιν· διότι θὰ εὕρωμεν τὰ ἰδικά μας ἀνώτερα ὄχι μόνον τῆς παιδείας τῶν Ἑλλήνων, ἀλλὰ καὶ τῆς εὑρέσεως τῶν γραμμάτων. Μάρτυρας δὲ δὲν θὰ παραλάβω τοὺς οἰκείους μου, ἀλλὰ μᾶλλον θὰ παραχρησιμοποιήσω Ἕλληνας ὡς βοηθούς. Τὸ ἓν εἶναι ἄδικον, ἀφοῦ δὲν εἶναι οὔτε ἀπὸ ἡμᾶς παραδεκτόν· τὸ ἄλλο ἀποδεικνύεται θαυμαστόν, ἀφοῦ, πολεμῶν πρὸς σᾶς διὰ τῶν ὅπλων σας, λαμβάνω ἀνυποψιάστους τοὺς ἐλέγχους ἀπὸ σᾶς.

31α Περὶ τῆς ποιήσεως τοῦ Ὁμήρου, τοῦ γένους αὐτοῦ καὶ τοῦ χρόνου κατὰ τὸν ὁποῖον ἤκμασε προηρεύνησαν παλαιότερα μὲν ὁ Θεαγένης καὶ ὁ Ρηγῖνος, ζήσας ἐπὶ Καμβύσου καὶ ὁ Στησίμβροτος ὁ Θάσιος, ὁ Ἀντίοχος ὁ Κολοφώνιος, ὁ Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς καὶ ὁ Διονύσιος ὁ Ὀλύνθιος, ἔπειτα δὲ ἀπὸ ἐκείνους ὁ Ἔφορος ὁ Κυμαῖος καὶ ὁ Φιλόχορος ὁ Ἀθηναῖος, ὁ Μεγακλείδης καὶ ὁ Χαμαιλέων οἱ Περιπατητικοί· ἔπειτα οἱ γραμματικοὶ Ζηνόδοτος, Ἀριστοφάνης, Καλλίστρατος, Κράτης, Ἐρατοσθένης, Ἀρίσταρχος, Ἀπολλόδωρος. Ἐκ τούτων δὲ οἱ μὲν περὶ τὸν Κράτητα λέγουν ὅτι ὁ Ὅμηρος ἤκμασε πρὶν ἀπὸ τὴν κάθοδον τῶν Ἡρακλειδῶν, ἑβδομήκοντα περίπου ἔτη μετὰ τὰ Τρωϊκά. Οἱ δὲ περὶ τὸν Ἐρατοσθένην λέγουν ὅτι ἤκμασε μετὰ τὸ ἑκατοστὸν ἔτος τῆς ἁλώσεως τοῦ Ἰλίου. Οἱ δὲ περὶ τὸν Ἀρίσταρχον τὸν τοποθετοῦν κατὰ τὸν ἀποικισμὸν τῆς Ἰωνίας, ἡ ὁποία ἔγινεν ἑκατὸν τεσσαράκοντα ἔτη μετὰ τὰ Ἰλιακά. Ὁ δὲ Φιλόχορος λέγει μετὰ τὸν ἀποικισμὸν τῆς Ἰωνίας, ἐπὶ ἄρχοντος τῶν Ἀθηνῶν Ἀρχίππου ἑκατὸν ὀγδοήκοντα ἔτη μετὰ

*δὲ περὶ Ἀπολλόδωρον μετὰ τὴν Ἰωνικὴν ἀποικίαν ἔτεσιν ἑκατόν, ὃ γένοιτ' ἂν ὕστερον τῶν Ἰλιακῶν ἔτεσι διακοσίοις τεσσαράκοντα. Τινὲς δὲ πρὸ τῶν Ὀλυμπιάδων ἔφασαν αὐτὸν γεγονέναι, τοῦτ' ἔστι μετὰ τὴν Ἰλίου ἅλωσιν ἔτεσι τετρακοσίοις. Ἕτεροι δὲ κάτω τὸν χρόνον ὑπήγαγον, σὺν Ἀρχιλόχῳ γεγονέναι τὸν Ὅμηρον εἰπόντες· ὁ δὲ Ἀρχίλοχος ἤκμασε περὶ Ὀλυμπιάδα τρίτην καὶ εἰκοστήν, κατὰ Γύγην τὸν Λυδόν, ὕστερον τῶν Ἰλιακῶν ἔτεσι πεντακοσίοις.*

31β *Καὶ περὶ μὲν τῶν χρόνων τοῦ προειρημένου ποιητοῦ, λέγω δὲ Ὁμήρου, στάσεώς τε τῶν εἰπόντων τὰ περὶ αὐτὸν καὶ ἀσυμφωνίας τοῖς ἐπ' ἀκριβὲς ἐξετάζειν δυναμένοις αὐτάρκως ἡμῖν ὡς ἐπὶ κεφαλαίων εἰρήσθω. Δυνατὸν γὰρ παντὶ ψευδεῖς ἀποφήνασθαι καὶ τὰς περὶ τοὺς λόγους δόξας· παρ' οἷς γὰρ ἀσυνάρτητός ἐστιν ἡ τῶν χρόνων ἀναγραφή, παρὰ τούτοις οὐδὲ τὰ τῆς ἱστορίας ἀληθεύειν δυνατόν. Τί γὰρ τὸ αἴτιον τῆς ἐν τῷ γράφειν πλάνης, εἰ μὴ τὸ συντάττειν τὰ μὴ ἀληθῆ;*

32 *Παρ' ἡμῖν δὲ τῆς μὲν κενοδοξίας ὁ ἵμερος οὐκ ἔστιν, δογμάτων δὲ ποικιλίαις οὐ καταχρώμεθα. Λόγου γὰρ τοῦ δημοσίου καὶ ἐπιγείου κεχωρισμένοι καὶ πειθόμενοι Θεοῦ παραγγέλμασι καὶ νόμῳ πατρὸς ἀφθαρσίας ἑπόμενοι, πᾶν τὸ ἐν δόξῃ κείμενον ἀνθρωπίνῃ παραιτούμεθα, φιλοσοφοῦσί τε οὐ μόνον οἱ πλουτοῦντες, ἀλλὰ καὶ οἱ πένητες προῖκα τῆς διδασκαλίας ἀπολαύουσιν· τὰ γὰρ παρὰ Θεοῦ τῆς ἐν κόσμῳ δωρεᾶς ὑπερπαίει τὴν ἀμοιβήν. Τοὺς δὲ ἀκροᾶσθαι βουλομένους πάντας οὕτως προσιέμεθα κἂν πρεσβύτιδες ὦσι κἂν μειράκια, πᾶσά τε ἁπαξαπλῶς ἡλικία παρ' ἡμῖν τυγχάνει τιμῆς· τὰ δὲ τῆς ἀσελγείας πόρρω κεχώρισται.*

32a *Καὶ ἡμεῖς μὲν λέγοντες οὐ ψευδόμεθα· τὰ δὲ τῆς ὑμετέρας περὶ τὴν ἀπιστίαν ἐπιμονῆς καλὸν μὲν εἰ λαμβάνοι περιγραφήν· εἰ δ' οὖν, τὰ ἡμέτερα μὲν ἔστω Θεοῦ γνώμῃ βεβαιούμενα, γελᾶτε δὲ ὑμεῖς, ὡς καὶ κλαύσοντες. Πῶς γὰρ οὐκ ἄτοπον Νέστορα μὲν καθ' ὑμᾶς τῶν ἵππων τὰς παρηορίας βραδέως ἀποτέμνοντα διὰ τὸ ἄτονον καὶ νωθὲς τῆς ἡλικίας θαυμάζεσθαι πειρώμενον ἐπ' ἴσης τοῖς νέοις πολεμεῖν, τοὺς δὲ παρ' ἡμῖν τῷ γήρᾳ παλαίοντας*

τὰ Ἰλιακά. Οἱ δὲ περὶ τὸν Ἀπολλόδωρον τὸν τοποθετοῦν ἑκατὸν ἔτη μετὰ τὸν ἀποικισμὸν τῆς Ἰωνίας, δηλαδὴ διακόσια τεσσαράκοντα ἔτη μετὰ τὰ Ἰλιακά. Μερικοὶ δὲ εἶπαν ὅτι ἔζησε πρὸ τῶν Ὀλυμπιάδων, δηλαδὴ τετρακόσια ἔτη μετὰ τὴν ἅλωσιν τοῦ Ἰλίου. Ἄλλοι δὲ κατεβίβασαν πρὸς τὰ κάτω τὸν χρόνον, εἰπόντες ὅτι ὁ Ὅμηρος ἔζησε τὴν ἐποχὴν τοῦ Ἀρχιλόχου· ὁ δὲ Ἀρχίλοχος ἤκμασε περὶ τὴν εἰκοστὴν τρίτην Ὀλυμπιάδα, κατὰ τὸν Γύγην τὸν Λυδὸν πεντακόσια ἔτη μετὰ τὰ Ἰλιακά.

31β Καὶ περὶ μὲν τῶν χρόνων τοῦ προειρημένου ποιητοῦ, δηλαδὴ τοῦ Ὁμήρου, καὶ τῆς διαστάσεως καὶ ἀσυμφωνίας τῶν ἀσχοληθέντων μὲ αὐτὸν εἶναι ἐπαρκῆ τὰ κεφαλαιωδῶς λεχθέντα ἀπὸ ἡμᾶς δι' ὅσους δύνανται νὰ ἐξετάζουν μὲ ἀκρίβειαν. Διότι εἶναι δυνατὸν εἰς ὁποιονδήποτε νὰ παρουσιάση καὶ τὰς περὶ τοὺς λόγους δοξασίας ψευδεῖς· εἰς ὅσους ἡ ἀναγραφὴ τῶν χρόνων εἶναι ἀσυνάρτητος, εἰς αὐτοὺς δὲν εἶναι δυνατὸν νὰ ἀληθεύουν καὶ τὰ ἱστορούμενα. Διότι ποῖον εἶναι τὸ αἴτιον τῆς πλάνης εἰς τὴν συγγραφήν, εἰ μὴ ἡ παρουσίασις τῶν μὴ ἀληθῶν;

32 Εἰς ἡμᾶς δὲ ὁ μὲν πόθος τῆς κενοδοξίας δὲν ὑπάρχει, δὲν κάμνομεν δὲ κατάχρησιν δογμάτων. Διότι, ὡς χωρισμένοι τοῦ δημοσίου καὶ ἐπιγείου λόγου καὶ πειθόμενοι εἰς τὰ παραγγέλματα τοῦ Θεοῦ καὶ ἀκολουθοῦντες τὸν νόμον τοῦ Πατρὸς τῆς ἀφθαρσίας, ἀποφεύγομεν πᾶν τὸ προερχόμενον ἀπὸ ἀνθρωπίνην δοξασίαν, ὄχι δὲ μόνον φιλοσοφοῦν οἱ πλούσιοι εἰς τὸν λόγον, ἀλλὰ καὶ οἱ πτωχοὶ ἀπολαύουν τῆς διδασκαλίας δωρεάν· διότι τὰ παρὰ τοῦ Θεοῦ προσφερόμενα ὑπερβαίνουν τὸ ποσὸν τῆς εἰς τὸν κόσμον δωρεᾶς. Τοὺς δὲ θέλοντας νὰ ἀκούουν ὅλους δεχόμεθα κατὰ τοιοῦτον τρόπον, εἴτε γραῖαι εἶναι εἴτε παιδάκια, πάσης δὲ γενικῶς ἡλικίας ἄνθρωποι εὑρίσκουν εἰς ἡμᾶς τὴν ἰδίαν τιμήν. Ἡ δὲ ἀσέλγεια ἔχει ἀπομακρυνθῆ.

32α Καὶ ἡμεῖς μὲν λέγοντες δὲν ψευδόμεθα· τὰ δὲ περὶ τῆς ἰδικῆς σας σχετικῶς μὲ τὴν ἀπιστίαν ἐπιμονῆς, καλὸν εἶναι νὰ περιορισθοῦν· ἂν ὄχι, τὰ ἰδικά μας ἂς βεβαιώνωνται μὲ τὴν γνώμην τοῦ Θεοῦ, γελᾶτε δὲ σεῖς, ὡς διὰ νὰ κλαύσετε. Πράγματι πῶς δὲν εἶναι ἄτοπον ὁ μὲν Νέστωρ εἰς σᾶς, ἀποκόπτων βραδέως τὰ λουριὰ τῶν ἵππων, λόγω τῆς ἀτονίας καὶ νωθρότητος τῆς μεγάλης ἡλικίας του, νὰ θαυμάζεται διότι ἐπιχειρεῖ νὰ

*καὶ τὰ περὶ Θεοῦ πραγματευομένους γελᾶσθαι; Τίς δὲ οὐκ ἂν γελάσειεν Ἀμαζόνας μὲν καὶ Σεμίραμιν καί τινας ἄλλας πολεμικὰς φασκόντων ὑμῶν γεγονέναι, τὰς δὲ παρ' ἡμῖν παρθένους λοιδορούντων; Μειράκιον ἦν ὁ Ἀχιλλεὺς καὶ γενναῖος εἶναι πεπίστευται σφόδρα· καὶ ὁ Νεοπτόλεμος νεώτερος, ἀλλὰ ἰσχυρὸς ἦν· Φιλοκτήτης ἀσθενής, ἀλλ' ἔχρῃζεν αὐτοῦ κατὰ Τροίας τὸ δαιμόνιον. Ὁ Θερσίτης ὁποῖος ἦν; Ἀλλ' ἐστρατήγει· τὸ δὲ ἀμετροεπὲς εἰ μὴ προσῆν αὐτῷ διὰ τὴν ἀμαθίαν, οὐκ ἂν ὡς φοξὸς καὶ ψεδνὸς διεβάλλετο. Πάντες οἱ βουλόμενοι φιλοσοφεῖν...*

32β ...*Παρ' ἡμῖν οἵ οὐ τὸ ὁρώμενον δοκιμάζομεν οὐδὲ τοὺς προσιόντας ἡμῖν ἀπὸ σχήματος κρίνομεν· τὸ γὰρ τῆς γνώμης ἐρρωμένον παρὰ πᾶσιν εἶναι δύνασθαι λελογίσμεθα κἂν ἀσθενεῖς ὦσι τοῖς σώμασι. Τὰ δὲ ὑμέτερα φθόνου μεστὰ καὶ βλακείας πολλῆς.*

33 *Διὰ τοῦτο προὐθυμήθην ἀπὸ τῶν νομιζομένων παρ' ὑμῖν τιμίων παριστᾶν ὅτι τὰ μὲν ἡμέτερα σωφρονεῖ, τὰ δὲ ὑμέτερα ἔθη μανίας ἔχεται πολλῆς. Οἱ γὰρ ἐν γυναιξὶ καὶ μειρακίοις παρθένοις τε καὶ πρεσβύταις φλυαρεῖν ἡμᾶς λέγοντες καὶ διὰ τὸ μὴ σὺν ὑμῖν εἶναι χλευάζοντες ἀκούσατε τῶν παρ' Ἕλλησι πραγμάτων τὸν λῆρον. Ληραίνει γὰρ μᾶλλον διὰ δόξης πολλῆς τῶν παρ' ὑμῖν ἐθῶν τὰ ἐπιτηδεύματα καὶ διὰ τῆς γυναικωνίτιδος ἀσχημονεῖ. Πράξιλλαν μὲν γὰρ Λύσιππος ἐχαλκούργησε μηδὲν εἰποῦσαν διὰ τῶν ποιημάτων χρήσιμον, Λεαρχίδα δὲ Μενέστρατος, Σιλανίων δὲ Σαπφῶ τὴν ἑταίραν, Ἤρινναν τὴν Λεσβίαν Ναυκύδης, Βοΐσκος Μυρτίδα, Μυρὼ τὴν Βυζαντίαν Κηφισόδοτος, Γόμφος Πραξαγορίδα καὶ Ἀμφίστρατος Κλειτώ. Τί γάρ μοι περὶ Ἀνύτης λέγειν Τελεσίλλης τε καὶ Νοσσίδος; Τῆς μὲν γὰρ Εὐθυκράτης τε καὶ Κηφισόδοτος, τῆς δὲ Νικήρατος, τῆς δὲ Ἀριστόδοτός εἰσιν οἱ δημιουργοί· Μνησαρχίδος τῆς Ἐφεσίας Εὐθυκράτης, Κορίννης Σιλανίων, Θαλιαρχίδος τῆς Ἀργείας Εὐθυκράτης.*

33a *Ταύτας δὲ εἰπεῖν προὐθυμήθην, ἵνα μηδὲ παρ' ἡμῖν ξένον τι πράττεσθαι νομίζητε καὶ συγκρίναντες τὰ ὑπ' ὄψιν ἐπιτηδεύματα*

πολεμῆ ἐξ ἴσου μὲ τοὺς νέους, οἱ δὲ ἰδικοί μας παλαίοντες κατὰ τὸ γῆρας καὶ ἀσχολούμενοι μὲ τὰ θεῖα νὰ περιγελῶνται; Ποῖος δὲ δὲν θὰ ἐγέλα μὲ σᾶς, ὅταν λέγετε ὅτι ὑπῆρξαν Ἀμαζόνες καὶ Σεμίραμις καὶ ἄλλαι πολεμικαὶ γυναῖκες, λοιδορεῖτε δὲ τὰς ἰδικάς μας παρθένους; Μειράκιον ἦτο ὁ Ἀχιλλεὺς καὶ πιστεύεται ὅτι ἦτο πολὺ γενναῖος· καὶ ὁ Νεοπτόλεμος ἦτο νεώτερος, ἀλλ' ἦτο ἰσχυρός· ὁ Φιλοκτήτης ἦτο ἀσθενής, ἀλλὰ τὸν ἐχρειάζετο κατὰ τῆς Τροίας τὸ δαιμόνιον. Ποῖος ἦτο ὁ Θερσίτης; Ἀλλὰ ἦτο στρατηγός· ἂν δὲ δὲν εἶχε τὴν ἀμετροέπειαν ἀπὸ ἀμάθειαν, δὲν θὰ διεβάλλετο ὅτι ἦτο σουβλοκέφαλος καὶ φαλακρός. Ὅλοι ὅσοι θέλουν νὰ φιλοσοφοῦν...

32β ...Εἰς τὰς τάξεις ἡμῶν οἱ ὁποῖοι δὲν ἐπιδοκιμάζομεν τὸ φαινόμενον οὔτε κρίνομεν ἀπὸ τὴν ἐμφάνισιν τοὺς πλησιάζοντας ἡμᾶς· διότι φρονοῦμεν ὅτι ἡ ρώμη τῆς γνώμης δύναται νὰ εἶναι εἰς ὅλους, ἀκόμη καὶ ἂν εἶναι ἀσθενεῖς εἰς τὰ σώματα. Τὰ δὲ ἰδικά σας εἶναι γεμᾶτα φθόνον καὶ βλακείαν.

33 Διὰ τοῦτο προυθυμοποιήθην νὰ παραστήσω ἀπὸ τὰ θεωρούμενα ἀπὸ σᾶς πολύτιμα ὅτι τὰ μὲν ἰδικά μας ἤθη ἔχουν σωφρόνως, τὰ δὲ ἰδικά σας εἶναι γεμᾶτα πολλὴν κακίαν. Διότι οἱ μεταξὺ γυναικῶν καὶ μειρακίων, παρθένων καὶ γερόντων λέγοντες ὅτι ἡμεῖς φλυαροῦμεν καὶ χλευάζοντες ἡμᾶς, διότι δὲν εἴμεθα μαζὶ μὲ σᾶς, ἀκούσατε τὴν μωρίαν τῶν εἰς τοὺς Ἕλληνας πραγμάτων. Πράγματι αἱ ἐπιδόσεις τῶν ἠθῶν σας μωρολογοῦν ὑπερβολικῶς διὰ τῆς πολλῆς δόξης καὶ ἀσχημονοῦν διὰ τῆς γυναικωνίτιδος. Τὴν Πράξιλλαν ἐξεικόνισεν εἰς χαλκὸν ὁ Λύσιππος, ἂν καὶ δὲν εἶπε τίποτε χρήσιμον διὰ τῶν ποιημάτων της, τὴν Λεαρχίδα ὁ Μενέστρατος, τὴν Σαπφῶ τὴν ἑταίραν ὁ Σιλανίων, τὴν Ἤρινναν τὴν Λεσβίαν ὁ Ναυκύδης, ὁ Βοΐσκος τὴν Μυρτίδα, τὴν Μυρῶ τὴν Βυζαντίαν ὁ Κηφισόδοτος, ὁ Γόμφος τὴν Πραξαγορίδα καὶ ὁ Ἀμφίστρατος τὴν Κλειτώ. Τί δὲ νὰ εἴπω περὶ τῆς Ἀνύτης, τῆς Τελεσίλλης καὶ τῆς Νοσσίδος; Τῆς μιᾶς δημιουργὸς εἶναι ὁ Εὐθυκράτης καὶ ὁ Κηφισόδοτος, τῆς ἄλλης ὁ Νικήρατος καὶ τῆς τρίτης ὁ Ἀριστόδοτος· τῆς Μνησαρχίδος τῆς Ἐφεσίας ὁ Εὐθυκράτης, τῆς Κορίννης ὁ Σιλανίων, τῆς Θαλιαρχίδος τῆς Ἀργείας ὁ Εὐθυκράτης.

33α Προυθυμοποιήθην δὲ νὰ ἀναφέρω αὐτάς, διὰ νὰ μὴ νομίζετε ὅτι καὶ εἰς ἡμᾶς διαπράττεται κάτι παράξενον καὶ συγκρί-

2. Ἡ Ἀθηνᾶ, κρύψασα τὸν υἱόν της Ἐριχθόνιον, ἔχοντα μορφὴν ὄφεως, εἰς κάνιστρον, ἔδωσεν αὐτὸ πρὸς φύλαξιν εἰς τὰς τρεῖς ταύτας ἀδελφάς, θυγατέρας τοῦ Κέκροπος ἢ τοῦ Ἐρυχθέως· ἀλλ' αὐταὶ ἀπὸ περιέργειαν τὸ ἤνοιξαν καὶ εἶδαν τὸν τερατώδη υἱόν, διὸ κατελήφθησαν ἀπὸ μανίαν.

ξαν τὸ κάνιστρον[2]. Καὶ μὲ ἕνα λόγον οἱ ἄνθρωποι κατὰ ἔθνη καὶ δήμους τελοῦν τὰς θυσίας τὰς ὁποίας ἐπιθυμοῦν, καθὼς καὶ τὰς μυστηριώδεις τελετουργίας. Οἱ δὲ Αἰγύπτιοι θεωροῦν ὡς θεοὺς καὶ αἰλούρους καὶ κροκοδείλους καὶ ὄφεις καὶ ἀσπῖδας καὶ κύνας. Καὶ εἰς ὅλους αὐτοὺς ἐπιτρέπετε ταῦτα καὶ σεῖς καὶ οἱ νόμοι, διότι νομίζετε τὸ νὰ μὴ παραδέχεται μὲν κανεὶς καθόλου θεὸν ὡς ἀσεβὲς καὶ ἀνόσιον, τὸ νὰ χρησιμοποιῇ δὲ ἕκαστος ὅσους θέλει ὡς θεοὺς ἀναγκαῖον, διὰ νὰ ἀπέχουν τῆς ἀδικίας ἀπὸ τὸν φόβον ἀπέναντι τοῦ θείου. Εἰς τὴν περίπτωσιν ὅμως ἡμῶν, καὶ μὴ παρασυρθῆτε καὶ σεῖς ἀπὸ τὴν φήμην, παρατηρεῖται ἀπέχθεια καὶ διὰ μόνον τὸ ὄνομα[3]· ἐνῶ δὲν εἶναι τὰ ὀνόματα ἄξια μίσους, ἀλλὰ τὸ ἀδίκημα ἄξιον καταδίκης καὶ τιμωρίας.

Διὰ τὸν λόγον τοῦτον, θαυμάζοντες τὴν πραότητα καὶ ἡμερότητα ὑμῶν καὶ τὴν πρὸς ὅλους εἰρηνικότητα καὶ φιλανθρωπίαν, οἱ μὲν πολῖται ἀτομικῶς ἀπολαύουν ἰσονομίας, αἱ δὲ πόλεις μετέχουν ἰσοτιμίας κατὰ τὴν ἀξίαν των καὶ ὁλόκληρος ἡ πολιτεία μὲ τὴν σύνεσιν ὑμῶν ἀπολαύει βαθείας εἰρήνης. Ἡμεῖς δὲ οἱ λεγόμενοι Χριστιανοὶ ἐτολμήσαμεν νὰ διαμηνύσωμεν τὴν ὑπόθεσιν ἡμῶν ἐνώπιόν σας, διότι δὲν ἐλάβετε πρόνοιαν καὶ περὶ ἡμῶν, ἀλλ', ἐνῶ δὲν ἀδικοῦμεν εἰς τίποτε, ἀντιθέτως μάλιστα, ὅπως θὰ δειχθῇ εἰς τὴν συνέχειαν τοῦ λόγου, διακείμεθα εὐμενέστατα καὶ δικαιότατα πρὸ τὸ θεῖον καὶ τὴν βασιλείαν σας, ἐπιτρέπετε νὰ κατατρεχώμεθα καὶ νὰ συρώμεθα καὶ νὰ διωκώμεθα, ἀφοῦ οἱ πολλοὶ μᾶς πολεμοῦν διὰ μόνον τὸ ὄνομα ἡμῶν. Θὰ πληροφορηθῆτε δὲ ἀπὸ τὴν διαπραγμάτευσιν ὅτι πάσχομεν παρὰ τὸ δίκαιον καὶ παρὰ πάντα νόμον καὶ πᾶσαν λογικήν. Σᾶς παρακαλοῦμεν λοιπὸν νὰ μεριμνήσετε κάπως καὶ δι' ἡμᾶς, διὰ νὰ παύσωμεν κάποτε νὰ σφαζώμεθα ὑπὸ τῶν συκοφαντῶν. Διότι δὲν ἀναφέρεται εἰς χρήματα ἡ ζημία τὴν ὁποίαν ὑφιστάμεθα ἀπὸ τοὺς διώκτας οὔτε εἰς τὰ πολιτικὰ δικαιώματα ἡ ποινὴ οὔτε εἰς τίποτε ἄλλο ἀπὸ τὰ ἀναξιώτερα ἡ βλάβη. Ἀλ-

3. Διὰ τὸ ὄνομα «Χριστιανὸς» κατεδικάζοντο οἱ πιστοὶ τῆς χριστιανικῆς θρησκείας, χωρὶς νὰ ἔχουν διαπράξει κανὲν ἔγκλημα.

*ἄλλο τι τῶν μειόνων ἡ βλάβη (τούτων γὰρ καταφρονοῦμεν, κἂν τοῖς πολλοῖς δοκῇ σπουδαῖα, δέροντα οὐ μόνον οὐκ ἀντιπαίειν οὐδὲ μὴν δικάζεσθαι τοῖς ἄγουσιν καὶ ἁρπάζουσιν ἡμᾶς μεμεθηκότες, ἀλλὰ τοῖς μὲν κἂν κατὰ κόρρης προπηλακίζωσιν, καὶ τὸ ἕτερον παίειν παρέχειν τῆς κεφαλῆς μέρος, τοῖς δέ, εἰ «τὸν χιτῶνα ἀφαιροῖντο, ἐπιδιδόναι καὶ τὸ ἱμάτιον»), ἀλλ' εἰς τὰ σώματα καὶ τὰς ψυχάς, ὅταν ἀπείπωμεν τοῖς χρήμασιν, ἐπιβουλεύουσιν ἡμῖν κατασκεδάζοντες ὄχλον ἐγκλημάτων, ἃ ἡμῖν μὲν οὐδὲ μέχρις ὑπονοίας, τοῖς δὲ ἀδολεσχοῦσιν καὶ τῷ ἐκείνων πρόσεστι γένει.*

2 *Καὶ εἰ μέν τις ἡμᾶς ἐλέγχειν ἔχει ἢ μικρὸν ἢ μεῖζον ἀδικοῦντας, κολάζεσθαι οὐ παραιτούμεθα, ἀλλὰ καὶ ἥτις πικροτάτη καὶ ἀνηλεὴς τιμωρία, ὑπέχειν ἀξιοῦμεν· εἰ δὲ μέχρις ὀνόματος ἡ κατηγορία (εἰς γοῦν τὴν σήμερον ἡμέραν ἃ περὶ ἡμῶν λογοποιοῦσιν, ἡ κοινὴ καὶ ἄκριτος τῶν ἀνθρώπων φήμη, καὶ οὐδεὶς ἀδικῶν Χριστιανὸς ἐλήλεγκται), ὑμῶν ἤδη ἔργον τῶν μεγίστων καὶ φιλανθρωποτάτων καὶ φιλομαθεστάτων βασιλέων ἀποσκευάσαι ἡμῶν νόμῳ τὴν ἐπήρειαν, ἵν' ὥσπερ ἡ σύμπασα τῆς παρ' ὑμῶν εὐεργεσίας καὶ καθ' ἕνα κεκοινώνηκε καὶ κατὰ πόλεις, καὶ ἡμεῖς ἔχωμεν ὑμῖν χάριν σεμνυνόμενοι ὅτι πεπαύμεθα συκοφαντούμενοι. Καὶ γὰρ οὐ πρὸς τῆς ὑμετέρας δικαιοσύνης τοὺς μὲν ἄλλους αἰτίαν λαβόντας ἀδικημάτων μὴ πρότερον ἢ ἐλεγχθῆναι κολάζεσθαι, ἐφ' ἡμῶν δὲ μεῖζον ἰσχύειν τὸ ὄνομα τῶν ἐπὶ τῇ δίκῃ ἐλέγχων, οὐκ εἰ ἠδίκησέν τι ὁ κρινόμενος τῶν δικαζόντων ἐπιζητούντων, ἀλλ' εἰς τὸ ὄνομα ὡς εἰς ἀδίκημα ἐνυβριζόντων. Οὐδὲν δὲ ὄνομα ἐφ' ἑαυτοῦ καὶ δι' αὐτοῦ οὐ πονηρὸν οὐδὲ χρηστὸν νομίζεται, διὰ δὲ τὰς ὑποκειμένας αὐτοῖς ἢ*

1 μειόνων *Schwartz* μειζόνων *Π*
2 οὐκ ἀντιπαίειν *Schwartz* τὸ ἀντιπαίειν *Π*
18–19 τῆς παρ' ὑμῶν εὐεργεσίας *Geffeken* ταῖς παρ' ὑμῶν εὐεργεσίαις *Π*

λωστε καταφρονοῦμεν ταῦτα, ἔστω καὶ ἂν φαίνωνται σπουδαῖα εἰς τοὺς πολλούς, διότι ἔχομεν διδαχθῆ ὄχι μόνον νὰ μὴ ἀντικτυπῶμεν τὸν δέροντα οὔτε νὰ καταγγέλλωμεν ὅσους μᾶς ἀπάγουν καὶ μᾶς ἁρπάζουν, ἀλλὰ καὶ εἰς τοὺς ραπίζοντας μὲν νὰ προσφέρωμεν καὶ τὸ ἄλλο μέρος τῆς κεφαλῆς διὰ ράπισμα, εἰς τοὺς ἀφαιροῦντας δὲ τὸν χιτῶνα νὰ παραδίδωμεν καὶ τὸ ἱμάτιον[4]. Ἀντιθέτως, ὅταν χάσωμεν τὰς περιουσίας ἡμῶν, ἐπιβουλεύονται τὰ σώματα καὶ τὰς ψυχὰς ἡμῶν ἐπιρρίπτοντες εἰς ἡμᾶς πλῆθος κατηγοριῶν, αἱ ὁποῖαι εἰς ἡμᾶς μὲν δὲν εὑρίσκουν στηρίγματα οὔτε καθ' ὑπόνοιαν, ἀλλὰ ὑπάρχουν εἰς τὰ χείλη τῶν φλυάρων καὶ τῶν συγγενῶν μὲ αὐτούς.

2 Καὶ ἐὰν μὲν ἔχῃ κανεὶς νὰ μᾶς ἐλέγξῃ διαπράττοντας ἀδίκημα, εἴτε μικρὸν εἴτε μεγαλύτερον, δὲν ζητοῦμεν ἀτιμωρησίαν, ἀλλὰ ζητοῦμεν νὰ ὑποστῶμεν τὴν πικροτάτην καὶ σκληροτάτην τιμωρίαν· ἐὰν δὲ ἡ κατηγορία φθάνῃ μόνον μέχρι τοῦ ὀνόματος (μέχρι σήμερον δὲ αἱ ἐναντίον ἡμῶν φλυαρίαι προέρχονται ἀπὸ τὴν κοινὴν καὶ ἄκριτον φήμην τῶν ἀνθρώπων καὶ κανεὶς Χριστιανὸς δὲν ἀπεδείχθη ὅτι διέπραξεν ἀδικίαν), εἶναι ἰδικόν σας ἔργον, μεγαλειότατοι καὶ φιλανθρωπότατοι καὶ φιλομαθέστατοι βασιλεῖς, νὰ ἀπαλλάξετε ἡμᾶς ἀπὸ τὴν συκοφαντίαν διὰ νόμου, οὕτως ὥστε, καθὼς ὁλόκληρος ἡ οἰκουμένη μετέχει τῆς εὐεργεσίας ὑμῶν, καὶ κατ' ἄτομα καὶ κατὰ πόλεις, νὰ χρεωστῶμεν καὶ ἡμεῖς χάριν εἰς σᾶς, χαίροντες διότι ἔχομεν παύσει νὰ συκοφαντώμεθα. Διότι δὲν ταιριάζει εἰς τὴν περὶ δικαίου ἀντίληψιν ὑμῶν, οἱ μὲν ἄλλοι κατηγορηθέντες δι' ἀδικήματα νὰ μὴ τιμωροῦνται πρὶν ἀποδειχθῆ ἡ ἐνοχή των, δι' ἡμᾶς δὲ νὰ ἰσχύῃ περισσότερον τὸ ὄνομα ἀπὸ τὰς δικαστικὰς ἀποδείξεις, ἐνῶ οἱ δικασταὶ δὲν ἐξετάζουν ἐὰν ὁ δικαζόμενος διέπραξε κάποιαν ἀδικίαν, ἀλλὰ τοὺς κατακρίνουν διὰ τὸ ὄνομα ὡσὰν ἀδίκημα. Κανὲν ὄνομα δὲ δὲν θεωρεῖται πονηρὸν ἢ χρηστὸν καθ' ἑαυτὸ ἢ δι' ἑαυτό, φαίνονται δὲ αὐτὰ κακὰ ἢ πο-

4. Ματθ. 5,39 ἑ.

*πονηρᾶς ἢ ἀγαθᾶς πράξεις ἢ φλαῦρα ἢ ἀγαθὰ δοκεῖ· ὑμεῖς δὲ ταῦτα ἴστε φανερώτερον, ὡσανεὶ ἀπὸ φιλοσοφίας καὶ παιδείας πάσης ὁρμώμενοι. Διὰ τοῦτο καὶ οἱ παρ' ὑμῖν κρινόμενοι, κἂν ἐπὶ μεγίστοις φεύγωσι, θαρροῦσιν, εἰδότες ὅτι ἐξετάσετε αὐτῶν τὸν βίον καὶ οὔτε τοῖς ὀνόμασι προσθήσεσθε, ἂν ᾖ κενά, οὔτε ταῖς ἀπὸ τῶν κατηγόρων αἰτίαις, εἰ ψευδεῖς εἶεν, ἐν ἴσῃ τε τάξει τὴν καταδικάζουσαν τῆς ἀπολυούσης δέχονται ψῆφον.*

*Τὸ τοίνυν πρὸς ἅπαντας ἴσον καὶ ἡμεῖς ἀξιοῦμεν, μὴ ὅτι Χριστιανοὶ λεγόμεθα μισεῖσθαι καὶ κολάζεσθαι (τί γὰρ ἡμῖν τὸ ὄνομα πρὸς κακίαν τελεῖ;), ἀλλὰ κρίνεσθαι ἐφ' ὅτῳ ἂν καὶ εὐθύνῃ τις, καὶ ἢ ἀφίεσθαι ἀπολυομένους τὰς κατηγορίας ἢ κολάζεσθαι τοὺς ἁλισκομένους πονηρούς, μὴ ἐπὶ τῷ ὀνόματι (οὐδεὶς γὰρ Χριστιανὸς πονηρός, εἰ μὴ ὑποκρίνεται τὸν λόγον), ἐπὶ δὲ τῷ ἀδικήματι.*

*Οὕτω καὶ τοὺς ἀπὸ φιλοσοφίας κρινομένους ὁρῶμεν· οὐδεὶς αὐτῶν πρὸ κρίσεως διὰ τὴν ἐπιστήμην ἢ τέχνην ἀγαθὸς ἢ πονηρὸς τῷ δικαστῇ εἶναι δοκεῖ, ἀλλὰ δόξας μὲν εἶναι ἄδικος κολάζεται, οὐδὲν τῇ φιλοσοφίᾳ προστριψάμενος ἔγκλημα (ἐκεῖνος γὰρ πονηρὸς ὁ μὴ ὡς νόμος φιλοσοφῶν, ἡ δὲ ἐπιστήμη ἀναίτιος), ἀπολυσάμενος δὲ τὰς διαβολὰς ἀφίεται. Ἔστω δὴ τὸ ἴσον καὶ ἐφ' ἡμῶν· ὁ τῶν κρινομένων ἐξεταζέσθω βίος, τὸ δὲ ὄνομα παντὸς ἀφείσθω ἐγκλήματος. Ἀναγκαῖον δέ μοι ἀρχομένῳ ἀπολογεῖσθαι ὑπὲρ τοῦ λόγου δεηθῆναι ὑμῶν, μέγιστοι αὐτοκράτορες, ἴσους ἡμῖν ἀκροατὰς γενέσθαι καὶ μὴ τῇ κοινῇ καὶ ἀλόγῳ φήμῃ συναπενεχθέντας προκατασχεθῆναι, ἐπιτρέψαι δὲ ὑμῶν τὸ φιλομαθὲς καὶ φιλάληθες καὶ τῷ καθ' ἡμᾶς λόγῳ.*

6 κατηγόρων *Wilamowitz* κατηγοριῶν *Π* τε *προστίθ. Χ*

νηρὰ ἐξ αἰτίας τῶν πονηρῶν ἢ ἀγαθῶν πράξεων αἱ ὁποῖαι συνδέονται μὲ αὐτά. Σεῖς δὲ γνωρίζετε ταῦτα καλύτερον, καθ' ὅσον προέρχεσθε ἀπὸ τὴν φιλοσοφίαν καὶ τὴν πάσης φύσεως παιδείαν. Διὰ τοῦτο καὶ οἱ κρινόμενοι ἐνώπιόν σας, ἀκόμη καὶ ἂν κατηγοροῦνται διᾶ σοβαρώτατα ἐγκλήματα, θαρροῦν, διότι γνωρίζουν ὅτι θὰ ἐξετάσετε τὸν βίον των καὶ οὔτε ἀπὸ τὰ ὀνόματα θὰ ἐπηρεασθῆτε, ἂν εἶναι ἄνευ σημασίας, οὔτε ἀπὸ τὰς καταγγελίας τῶν κατηγόρων, ἂν εἶναι ψευδεῖς, καὶ δέχονται τὴν καταδικαστικὴν ψῆφον εἰς τὴν ἰδίαν μοῖραν μὲ τὴν ἀπαλλακτικήν.

Ἐπομένως ζητοῦμεν καὶ ἡμεῖς ἰσότητα πρὸς ὅλους, ὄχι νὰ μισούμεθα καὶ νὰ τιμωρούμεθα διότι λεγόμεθα Χριστιανοὶ (διότι τί ἔχει νὰ κάμη τὸ ὄνομά μας μὲ τὴν κακίαν;), ἀλλὰ νὰ κρινώμεθα δι' ὅ,τι μᾶς καταγγέλλει κάποιος, καὶ ἢ νὰ ἀπαλλασσώμεθα ἀποκρούοντες τὰς κατηγορίας ἢ νὰ τιωμροῦνται οἱ ἀποδεικνυόμενοι πονηροί, ὄχι διὰ τὸ ὄνομα (διότι κανεὶς Χριστιανὸς δὲν εἶναι πονηρός, ἐκτὸς ἐὰν εἶναι ὑποκριτής), ἀλλὰ διὰ τὸ ἀδίκημα.

Οὕτω βλέπομεν νὰ κρίνωνται καὶ οἱ ἀνήκοντες εἰς τὴν τάξιν τῶν φιλοσόφων· κανεὶς ἀπὸ αὐτοὺς δὲν φαίνεται εἰς τὸν δικαστὴν πρὸ τῆς δίκης ὅτι εἶναι ἀγαθὸς ἢ πονηρὸς διὰ τὴν ἐπιστήμην ἢ τὴν τέχνην, ἀλλὰ τιμωρεῖται ἂν ἀποδειχθῆ ἄδικος χωρὶς νὰ προκύψη εἰς τὴν φιλοσοφίαν κανὲν ἔγκλημα (διότι πονηρὸς εἶναι ἐκεῖνος ὁ ὁποῖος δὲν φιλοσοφεῖ τηρῶν τοὺς νόμους, ἡ δὲ ἐπιστήμη εἶναι ἀναίτιος διὰ τοῦτο), ἐνῶ ἂν ἀντικρούση τὰς διαβολὰς ἀφήνεται ἐλεύθερος. Ἂς ἐφαρμόζεται ἡ ἰδία διαδικασία καὶ δι' ἡμᾶς· ἂς ἐξετάζεται ἡ διαγωγὴ τῶν δικαζομένων, τὸ δὲ ὄνομα ἂς ἀπαλλάσσεται πάσης κατηγορίας. Εἶναι δὲ ἀναγκαῖον, καθὼς ἀρχίζω τὴν ἀπολογίαν ὑπὲρ τῆς ὑποθέσεως ἡμῶν, νὰ σᾶς παρακαλέσω, μεγαλειότατοι αὐτοκράτορες, νὰ γίνετε δίκαιοι ἀκροαταὶ ἡμῶν καὶ νὰ μὴ εἶσθε προκατειλημμένοι, παρασυρόμενοι ἀπὸ τὴν κοινὴν καὶ παράλογον φήμην, νὰ ἐπιτρέψη δὲ ἡ φιλομάθεια καὶ φιλαλήθεια ὑμῶν καὶ εἰς τὴν ἰδικήν μας ὑπόθεσιν νὰ ἀκουσθῆ. Διότι οὕτω καὶ σεῖς δὲν θὰ πα-

*Ὑμεῖς τε γὰρ οὐ πρὸς ἀγνοίας ἐξαμαρτήσετε καὶ ἡμεῖς τὰ ἀπὸ τῆς ἀκρίτου τῶν πολλῶν φήμης ἀπολυσάμενοι παυσόμεθα πολεμούμενοι.*

## *ΑΙ ΤΡΕΙΣ ΚΑΤΗΓΟΡΙΑΙ*

*3* *Τρία ἐπιφημίζουσιν ἡμῖν ἐγκλήματα, ἀθεότητα, Θυέστεια δεῖπνα, Οἰδιποδείους μίξεις. Ἀλλά, εἰ μὲν ἀληθῆ ταῦτα, μηδενὸς γένους φείσησθε, ἐπεξέλθετε δὲ τοῖς ἀδικήμασι, σὺν γυναιξὶ καὶ παισὶ προρρίζους ἡμᾶς ἀποκτείνατε, εἴ γέ τις ἀνθρώπων ζῇ δίκην θηρίων· καίτοι γε καὶ τὰ θηρία τῶν ὁμογενῶν οὐχ ἅπτεται καὶ νόμῳ φύσεως καὶ πρὸς ἕνα καιρὸν τὸν τῆς τεκνοποιΐας, οὐκ ἐπ' ἀδείας, μίγνυται, γνωρίζει δὲ καὶ ὑφ' ὧν ὠφελεῖται.*

*Εἴ τις οὖν καὶ τῶν θηρίων ἀνημερώτερος, τίνα οὗτος πρὸς τὰ τηλικαῦτα ὑποσχὼν δίκην οὐ πρὸς ἀξίαν κεκολάσθαι νομισθήσεται; Εἰ δὲ λογοποιΐαι ταῦτα καὶ διαβολαὶ κεναί, φυσικῷ λόγῳ πρὸς τὴν ἀρετὴν τῆς κακίας ἀντικειμένης καὶ πολεμούντων ἀλλήλοις τῶν ἐναντίων θείῳ νόμῳ, καὶ τοῦ μηδὲν τούτων ἀδικεῖν ἡμᾶς ὑμεῖς μάρτυρες, κελεύοντες μὴ ὁμολογεῖν, πρὸς ὑμῶν λοιπὸν ἐξέτασιν ποιήσασθαι βίου, δογμάτων, τῆς πρὸς ὑμᾶς καὶ τὸν ὑμέτερον οἶκον καὶ τὴν βασιλείαν σπουδῆς καὶ ὑπακοῆς, καὶ οὕτω ποτὲ συγχωρῆσαι ἡμῖν οὐδὲν πλέον ἢ τοῖς διώκουσιν ἡμᾶς. Νικήσομεν γὰρ αὐτοὺς ὑπὲρ ἀληθείας ἀόκνως καὶ τὰς ψυχὰς ἐπιδιδόντες.*

13 οὐ πρὸς *Wilamowitz* καὶ πρὸς *Π*
17 ἡμᾶς *προστίθ. Schwartz*

5. Θυέστειον δεῖπνον σημαίνει βρῶσιν ἀνθρωπίνων σαρκῶν. Ὁ Ἀτρεύς, διὰ νὰ ἐκδικηθῇ τὴν ἀπαγωγὴν τῆς συζύγου του ἀπὸ τὸν ἀδελφόν του Θυέστην, προσέφερεν εἰς αὐτὸν δεῖπνον παρεσκευασμένον ἀπὸ τὰς σάρκας τῶν υἱῶν τού-

ραπλανηθῆτε ἀπὸ ἄγνοιαν καὶ ἡμεῖς ἀντικρούσαντες τὰς κατηγορίας ἀπὸ τὴν φήμην τῶν πολλῶν θὰ παύσωμεν νὰ πολεμούμεθα.

### ΑΙ ΤΡΕΙΣ ΚΑΤΗΓΟΡΙΑΙ

3 Τρεῖς κατηγορίας προσάπτουν ἐναντίον ἡμῶν, ἀθεΐαν, θυέστεια δεῖπνα, οἰδιποδείους μίξεις[5]. Ἀλλὰ ἂν αὐτὰ εἶναι ἀληθινά, νὰ μὴ λυπηθῆτε καμμίαν τάξιν· νὰ προχωρήσετε δὲ κατὰ τῶν ἀδικημάτων, νὰ μᾶς φονεύσετε ὁλοσχερῶς μαζὶ μὲ τὰς γυναῖκας καὶ τὰ τέκνα, ἐὰν ὑπάρχῃ ἀνάμεσά μας ἄνθρωπος ὁ ὁποῖος ζῇ ὡσὰν τὰ θηρία· μολονότι καὶ τὰ θηρία δὲν ἐγγίζουν τὰ ὁμογενῆ καὶ ἔρχονται εἰς γενετήσιον ἐπαφὴν κατὰ φυσικὸν νόμον, καὶ μάλιστα μόνον κατὰ μίαν περίοδον τὴν τῆς τεκνοποιΐας, καὶ ὄχι ὅποτε θέλουν, γνωρίζουν δὲ καὶ ἐκείνους ἀπὸ τοὺς ὁποίους ὠφελοῦνται.

Ἐὰν λοιπὸν εἶναι κανεὶς ἀγριώτερος καὶ ἀπὸ τὰ θηρία, ποίαν καταδίκην ὑποστὰς οὗτος διὰ τοιαῦτα ἐγκλήματα δὲν θὰ νομισθῇ ὅτι ἔχει τιμωρηθῇ κατ' ἀξίαν; Ἐὰν δὲ ταῦτα εἶναι ψευδολογίαι καὶ ἀστήρικτοι διαβολαί, ὀφειλόμεναι εἰς τὸ ὅτι κατὰ φυσικὸν λόγον ἡ κακία ἀντιτίθεται εἰς τὴν ἀρετὴν καὶ κατὰ θεῖον νόμον τὰ ἐνάντια πολεμοῦν πρὸς ἄλληλα –τοῦ γεγονότος δὲ ὅτι ἡμεῖς δὲν πράττομεν καμμίαν ἀπὸ αὐτὰς τὰς ἀδικίας μάρτυρες εἶσθε σεῖς, οἱ ὁποῖοι διατάσσετε νὰ μὴ ὁμολογοῦμεν τὸ ὄνομα– ἀπομένει λοιπὸν διὰ σᾶς νὰ ἐξετάσετε τὴν διαγωγήν, τὴν διδασκαλίαν, τὴν νομιμοφροσύνην καὶ ὑπακοὴν ἡμῶν πρὸς σᾶς καὶ τὸν οἶκον σας καὶ τὴν βασιλείαν. Οὕτω δὲν θὰ παραχωρήσετε εἰς ἡμᾶς τίποτε περισσότερον ἀπὸ ὅ,τι εἰς τοὺς διώκτας ἡμῶν. Πάντως θὰ τοὺς νικήσωμεν δίδοντες ἀκόμη καὶ τὴν ζωὴν ἡμῶν ἀδιστάκτως ὑπὲρ τῆς ἀληθείας.

---

του. Οἰδιπόδειος μίξις εἶναι ἡ αἱμομιξία. Ὁ Οἰδίπους ἐν ἀγνοίᾳ του ἐνυμφεύθη τὴν μητέρα του, ἀφοῦ ἐφόνευσε τὸν πατέρα του.

## *ΑΝΑΙΡΕΣΙΣ ΤΗΣ ΚΑΤΗΓΟΡΙΑΣ ΠΕΡΙ ΑΘΕΪΑΣ*

4 *Ὅτι μὲν οὖν οὐκ ἐσμὲν ἄθεοι (πρὸς ἓν ἕκαστον ἀπαντήσω τῶν ἐγκλημάτων), μὴ καὶ γελοῖον ᾖ τοὺς λέγοντας ἐλέγχειν. Διαγόρᾳ μὲν γὰρ εἰκότως ἀθεότητα ἐπεκάλουν Ἀθηναῖοι, μὴ μόνον τὸν Ὀρφικὸν εἰς μέσον κατατιθέντι λόγον καὶ τὰ ἐν Ἐλευσῖνι καὶ τὰ τῶν Καβίρων δημεύοντι μυστήρια καὶ τὸ τοῦ Ἡρακλέους ἵνα τὰς γογγύλας ἕψοι κατακόπτοντι ξόανον, ἄντικρυς δὲ ἀποφαινομένῳ μηδὲ ὅλως εἶναι θεόν· ἡμῖν δὲ διαιροῦσιν ἀπὸ τῆς ὕλης τὸν θεὸν καὶ δεικνύουσιν ἕτερον μέν τι εἶναι τὴν ὕλην, ἄλλο δὲ τὸν Θεὸν καὶ τὸ διὰ μέσου πολὺ (τὸ μὲν γὰρ θεῖον ἀγένητον εἶναι καὶ ἀΐδιον, νῷ μόνῳ καὶ λόγῳ θεωρούμενον, τὴν δὲ ὕλην γενητὴν καὶ φθαρτήν), μή τι οὐκ ἀλόγως τὸ τῆς ἀθεότητος ἐπικαλοῦσιν ὄνομα; Εἰ μὲν γὰρ ἐφρονοῦμεν ὅμοια τῷ Διαγόρᾳ, τοσαῦτα ἔχοντες πρὸς θεοσέβειαν ἐνέχυρα, τὸ εὔτακτον, τὸ διὰ παντὸς σύμφωνον, τὸ μέγεθος, τὴν χροιάν, τὸ σχῆμα, τὴν διάθεσιν τοῦ κόσμου, εἰκότως ἂν ἡμῖν καὶ ἡ τοῦ μὴ θεοσεβεῖν δόξα καὶ ἡ τοῦ ἐλαύνεσθαι αἰτία προσετρίβετο· ἐπεὶ δὲ ὁ λόγος ἡμῶν ἕνα Θεὸν ἄγει τὸν τοῦδε τοῦ παντὸς ποιητήν, αὐτὸν μὲν οὐ γενόμενον (ὅτι τὸ ὂν οὐ γίνεται ἀλλὰ τὸ μὴ ὄν), πάντα δὲ διὰ τοῦ παρ' αὐτοῦ λόγου πεποιηκότα, ἑκάτερα ἀλόγως πάσχομεν, καὶ κακῶς ἀγορευόμεθα καὶ διωκόμεθα.*

5 *Καὶ ποιηταὶ μὲν καὶ φιλόσοφοι οὐκ ἔδοξαν ἄθεοι, ἐπιστήσαντες περὶ Θεοῦ· ὁ μὲν Εὐριπίδης ἐπὶ μὲν τῶν κατὰ κοινὴν πρόληψιν ἀνεπιστημόνως ὀνομαζομένων θεῶν διαπορῶν*

3 ἐλέγχων *Schwartz* μὴ ἐλέγχειν *Π*

## ΑΝΑΙΡΕΣΙΣ ΤΗΣ ΚΑΤΗΓΟΡΙΑΣ ΠΕΡΙ ΑΘΕΪΑΣ

4 Θὰ ἀπαντήσω χωριστὰ εἰς ἑκάστην κατηγορίαν.

Ὅτι λοιπὸν δὲν εἴμεθα ἄθεοι –μήπως ὅμως εἶναι γελοῖον νὰ ἐλέγξωμεν τοὺς λέγοντας τοῦτο; Ἐν πάσῃ περιπτώσει οἱ Ἀθηναῖοι εὐλόγως κατηγόρησαν τὸν Διαγόραν δι' ἀθεότητα, ὄχι μόνον διότι ἐκοινοποίησε τὴν ὀρφικὴν διδασκαλίαν καὶ ἐφανέρωσε τὰ μυστήρια τῆς Ἐλευσῖνος καὶ τῶν Καβίρων καὶ κατέκοψε τὸ ξόανον τοῦ Ἡρακλέους διὰ νὰ ψήσῃ γογγύλια, ἀλλὰ καὶ εὐθέως ἀπεφάνθη ὅτι δὲν ὑπάρχει καθόλου Θεός. Ἡμᾶς δέ, οἱ ὁποῖοι διακρίνομεν ἀπὸ τὴν ὕλην τὸν Θεὸν καὶ δεικνύομεν ὅτι ἄλλο εἶναι ἡ ὕλη καὶ ἄλλο ὁ Θεὸς καὶ ὑπάρχει μεγάλη ἀπόστασις μεταξὺ αὐτῶν (διότι τὸ μὲν θεῖον εἶναι ἀγέννητον καὶ ἀΐδιον, θεωρούμενον μόνον μὲ τὸν νοῦν καὶ τὸν λόγον, ἡ δὲ ὕλη εἶναι γενητὴ καὶ φθαρτή), μήπως δὲν κατηγοροῦν παραλόγως δι' ἀθεότητα; Ἐὰν πράγματι συνεμεριζώμεθα τὰ φρονήματα τοῦ Διαγόρου, ἐνῷ ἔχομεν τόσους λόγους πρὸς θεοσέβειαν, τὴν τάξιν, τὴν καθ' ὅλα ἁρμονίαν, τὸ μέγεθος, τὴν χροιάν, τὸ σχῆμα, τὴν διάθεσιν τοῦ κόσμου, εὐλόγως θὰ ἐπερρίπτετο εἰς ἡμᾶς ἡ δοξασία τῆς ἀσεβείας καὶ ἡ αἰτία τῆς διώξεως. Ἐφ' ὅσον ὅμως ἡ διδασκαλία ἡμῶν δέχεται ἕνα Θεόν, τὸν ποιητὴν τοῦ σύμπαντος, αὐτὸν μὲν ἄκτιστον –διότι τὸ ὂν δὲν εἶναι κτιστόν, ἀλλὰ τὸ μὴ ὂν εἶναι– δημιουργήσαντα δὲ τὰ πάντα διὰ τοῦ πλησίον του Λόγου, πάσχομεν παραλόγως καὶ τὰ δύο, κακῶς ὀνομαζόμεθα καὶ κακῶς διωκόμεθα.

5 Ποιηταὶ καὶ φιλόσοφοι, διαλογισθέντες περὶ Θεοῦ, δὲν ἐθεωρήθησαν ἄθεοι. Οὕτω ὁ Εὐριπίδης ἐκφράζει τὴν ἀμηχανίαν του σχετικῶς μὲ τοὺς κατὰ τὴν λαϊκὴν γνώμην ἀμαθῶς ὀνοζομένους θεούς·

*«ὤφειλε δ' εἴπερ ἔστ' ἐν οὐρανῷ,*
*Ζεὺς μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι»·*

*ἐπὶ δὲ τοῦ κατ' ἐπιστήμην νοητοῦ ὡς ἔστιν Θεὸς δογματίζων*

*ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα*
*καὶ γῆν πέριξ ἔχοντα ὑγραῖς ἐν ἀγκάλαις;*
*Τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν»·*

*τῶν μὲν γὰρ οὔτε τὰς οὐσίας, αἷς ἐπικατηγορεῖσθαι τὸ ὄνομα συμβέβηκεν, ὑποκειμένας ἑώρα (Ζῆνα γὰρ ὅστις ἐστὶ Ζεύς, οὐκ οἶδα πλὴν λόγῳ) οὔτε τὰ ὀνόματα καθ' ὑποκειμένων κατηγορεῖσθαι πραγμάτων (ὧν γὰρ αἱ οὐσίαι οὐχ ὑπόκεινται, τί πλέον αὐτοῖς τῶν ὀνομάτων;), τὸν δὲ ἀπὸ τῶν ἔργων, ὄψιν τῶν ἀδήλων νοῶν τὰ φαινόμενα, ἐφώρα αἰθέρος γῆς. Οὗ οὖν τὰ ποιήματα καὶ ὑφ' οὗ τῷ πνεύματι ἡνιοχεῖται, τοῦτον κατελαμβάνετο εἶναι Θεόν, συνᾴδοντος τούτῳ καὶ Σοφοκλέους·*

*«εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστιν Θεός,*
*ὃς οὐρανόν τ' ἔτευξεν καὶ γαῖαν μακράν»,*

*πρὸς τὴν τοῦ Θεοῦ φύσιν τοῦ κάλλους τοῦ ἐκείνου πληρουμένην ἑκάτερα, καί που δεῖ εἶναι τὸ Θεὸν καὶ ὅτι ἕνα δεῖ εἶναι διδάσκων.*

620 *Καὶ Φιλόλαος δὲ ὥσπερ ἐν φρουρᾷ πάντα ὑπὸ τοῦ Θεοῦ περιειλῆφθαι λέγων, καὶ τὸ ἕνα εἶναι καὶ τὸ ἀνωτέρω τῆς ὕλης δεικνύει. Λῦσις δὲ καὶ Ὄψιμος ὁ μὲν ἀριθμὸν ἄρρητον ὁρίζεται τὸν θεόν, ὁ δὲ τοῦ μεγίστου τῶν ἀριθμῶν τὴν παρὰ τὸν ἐγγυτά-*

12 ἐφώρα *Schwartz* ἀέρα *Π*
18 καί που *X* καὶ ποῦ *Π*
22 Ὄψιμος *Meursius* ὄψει *Π*

---

6. Ἀπόσπασμα 900 διατηρούμενον μόνον εἰς τὸν ἀπολογητὴν ἡμῶν.
7. Ἀπόσπασμα 941, χρησιμοποιούμενον συχνὰ ἀπὸ τοὺς πανθεΐζοντας Στωϊκούς.

«Ἐὰν ὁ Ζεὺς κατοικῇ εἰς τοὺς οὐρανούς,
δὲν ἔπρεπε νὰ κάμῃ τὸν ἄνθρωπον αὐτὸν δυστυχῆ»[6].

Περὶ τοῦ ὅτι Θεὸς εἶναι ὁ κατ' ἐπιστήμην νοητὸς δογματίζει·

«Βλέπεις τὸν περικλείοντα εἰς τὰς ὑγρὰς ἀγκάλας του
ὑψηλὰ τὸν ἄπειρον τοῦτον αἰθέρα καὶ τὴν γῆν;
Αὐτὸν νόμιζε Δία, αὐτὸν θεώρει Θεόν»[7].

Εἰς τὴν περίπτωσιν τῶν προηγουμένων θεῶν δὲν ἔβλεπεν οὔτε ὅτι ὑπῆρχον ὑποκείμεναι οὐσίαι, εἰς τὰς ὁποίας θὰ ἠδύναντο νὰ προσαρμοσθῇ τὸ ὄνομα (διότι τὸν Δία, ποῖος εἶναι ὁ Ζεύς, δὲν γνωρίζω παρὰ μόνον ἀπὸ λόγια»[8]), οὔτε ὅτι τὰ ὀνόματα ἀνταποκρίνονται εἰς ὑποκείμενα πράγματα (διότι ἐκεῖνα εἰς τὰ ὁποῖα δὲν ὑπόκεινται οὐσία, τί περισσότερον ἀπὸ ὀνόματα εἶναι;). Τὸν δὲ τελευταῖον ἀνεγνώριζεν ἀπὸ τὰ ἔργα του, τὸν αἰθέρα, τὴν γῆν, ἐκλαμβάνων τὰ φαινόμενα ὡς ὄψιν τῶν ἀοράτων. Αὐτὸν δηλαδὴ εἰς τὸν ὁποῖον ἀνήκουν τὰ ποιήματα καὶ ὑπὸ τοῦ ὁποίου κατευθύνονται διὰ τοῦ Πνεύματος, τοῦτον κατελάμβανεν ὅτι εἶναι Θεός, συμφωνοῦντος μὲ αὐτὸν καὶ τοῦ Σοφοκλέους·

«Εἷς πράγματι, εἷς εἶναι ὁ Θεός,
ὁ ὁποῖος κατεσκεύασε τὸν οὐρανὸν καὶ τὴν εὐρεῖαν γῆν»[9],

διδάσκων σχετικῶς μὲ τὴν φύσιν τοῦ Θεοῦ, τὴν πληρωμένην ἀπὸ τὸ κάλλος ἐκείνου, τὰ δύο ταῦτα, ὅτι πρέπει νὰ ὑπάρχει ὁ Θεὸς καὶ ὅτι πρέπει νὰ εἶναι εἷς.

6 Καὶ ὁ Φιλόλαος[10] δέ, ὅταν λέγῃ ὅτι ἔχουν περιληφθῆ ὑπὸ τοῦ Θεοῦ ὅλα ὡσὰν μὲ φρουράν, δεικνύει ὅτι εἶναι εἷς καὶ ὅτι ὑπέρκειται τῆς ὕλης. Οἱ δὲ Λῦσις καὶ Ὄψιμος ὁρίζουν τὸν Θεόν, ὁ μὲν πρῶτος ὡς ἀριθμὸν ἀνέκφραστον, ὁ δὲ δεύτερος

---

8. Ἀπόσπασμα 480 τοῦ Εὐριπίδου.

9. Νόθοι στίχοι ἐκ τοῦ Ψευδοεκαταίου, οἱ ὁποῖοι ἀπαντῶνται ἐπίσης εἰς ψευδεπίγραφα τοῦ Ἰουστίνου (*Περὶ μοναρχίας* 2, *Προτρεπτικὸς πρὸς Ἕλληνας* 18) καὶ εἰς τὸν Κλήμεντα (*Στρωματεῖς*, 5, 14, 114, *Προτρεπτικός* 7, 74).

10. Ὁ Φιλόλαος καὶ οἱ ἑπόμενοι δύο πυθαγόρειοι φιλόσοφοι.

*τω ὑπεροχήν. Εἰ δὲ μέγιστος μὲν ἀριθμὸς ὁ δέκα κατὰ τοὺς Πυθαγορικοὺς ὁ τετρακτύς τε ὢν καὶ πάντας τοὺς ἀριθμητικοὺς καὶ τοὺς ἁρμονικοὺς περιέχων λόγους, τούτῳ δὲ ἐγγὺς παράκειται ὁ ἐννέα, μονάς ἐστιν ὁ Θεός, τοῦτ' ἔστιν εἷς· ἑνὶ γὰρ ὑπερέχει ὁ μέγιστος τὸν ἐγγυτάτω. Ἐλάχιστον αὐτῷ ...*

*Πλάτων δὲ καὶ Ἀριστοτέλης (καὶ οὐχ ὡς ἐπιδεικνύων τὰ δόγματα τῶν φιλοσόφων ἐπ' ἀκριβές, οὕτως ἃ εἰρήκασι περὶ Θεοῦ διέξειμι· οἶδα γὰρ ὅτι ὅσον συνέσει καὶ ἰσχύϊ τῆς βασιλείας πάντων ὑπερέχετε, τοσοῦτον καὶ τῷ πᾶσαν παιδείαν ἀκριβοῦν πάντων κρατεῖτε, οὕτω καθ' ἕκαστον παιδείας μέρος κατορθοῦντες ὡς οὐδὲ οἱ ἓν αὐτῆς μόριον ἀποτεμόμενοι· ἀλλ' ἐπειδὴ ἀδύνατον δεικνύειν ἄνευ παραθέσεως ὀνομάτων ὅτι μὴ μόνοι εἰς μονάδα τὸν Θεὸν κατακλείομεν, ἐπὶ τὰς δόξας ἐτραπόμην), φησὶν οὖν ὁ Πλάτων·*

> *«τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν»,*

*ἕνα τὸν ἀγένητον καὶ ἀΐδιον νοῶν Θεόν. Εἰ δ' οἶδεν καὶ ἄλλους οἷον ἥλιον καὶ σελήνην καὶ ἀστέρας, ἀλλ' ὡς γενητοὺς οἶδεν αὐτούς· θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων ἄλυτα ἐμοῦ μὴ θέλοντος, τὸ μὲν οὖν δεθὲν πᾶν λυτόν. Εἰ τοίνυν οὐκ ἔστιν ἄθεος Πλάτων, ἕνα τὸν δημιουργὸν τῶν ὅλων νοῶν ἀγένητον Θεόν, οὐδὲ ἡμεῖς ἄθεοι, ὑφ' οὗ λόγῳ δεδημιούργηται καὶ τῷ παρ' αὐτοῦ πνεύματι συνέχεται τὰ πάντα, τοῦτον εἰδότες καὶ κρατύνοντες Θεόν.*

*Ὁ δὲ Ἀριστοτέλης καὶ οἱ ἀπ' αὐτοῦ ἕνα ἄγοντες οἱονεὶ*

5 *μετὰ αὐτῷ φθορὰ*

ὡς τὴν διαφορὰν μεταξὺ τοῦ μεγίστου ἀριθμοῦ καὶ τοῦ ἀμέσως ἑπομένου. Ἐὰν δὲ κατὰ τοὺς Πυθαγορικοὺς μέγιστος ἀριθμὸς εἶναι ὁ δέκα, ὁ ὁποῖος εἶναι τετρακτὺς[11] καὶ περιέχει ὅλας τὰς ἀριθμητικὰς καὶ ἁρμονικὰς σχέσεις, πλησίον δὲ αὐτοῦ εὑρίσκεται ὁ ἐννέα, ὁ Θεὸς εἶναι μονάς, δηλαδὴ εἷς· διότι ὁ μέγιστος ὑπερέχει ἀπὸ τὸν ἑπόμενον κατὰ ἕνα ...

Ἔρχομαι δὲ εἰς τὸν Πλάτωνα καὶ τὸν Ἀριστοτέλην. Ἀναφέρω πάντως ὅσα ἔχουν εἴπει περὶ Θεοῦ οἱ φιλόσοφοι ὄχι μὲ τὴν πρόθεσιν νὰ ἐκθέσω λεπτομερῶς τὰ δόγματα αὐτῶν· διότι γνωρίζω ὅτι ὅσον ὑπερέχετε σεῖς εἰς σύνεσιν καὶ βασιλικὴν ἰσχὺν ἀπὸ ὅλους, τόσον ὑπερβάλλετε ὅλους καὶ εἰς τὴν κατανόησιν ὅλων τῶν πεδίων τῆς γνώσεως, κατέχοντες τόσον καλὰ ἕκαστον μέρος τῆς παιδείας ὅσον οὔτε ἐκεῖνοι οἱ ὁποῖοι ἐπιδίδονται εἰς ἓν μόνον μόριον αὐτῆς· ἐπειδὴ ὅμως εἶναι ἀδύνατον νὰ δείξωμεν χωρὶς παράθεσιν ὀνομάτων ὅτι δὲν εἴμεθα μόνοι ἡμεῖς οἱ ὁποῖοι περιορίζομεν τὸν Θεὸν εἰς τὴν μονάδα, ἐστράφην εἰς τὰς δοξασίας αὐτῶν. Λέγει λοιπὸν ὁ Πλάτων·

> «τὸν μὲν ποιητὴν λοιπὸν καὶ πατέρα τοῦ σύμπαντος τούτου εἶναι δύσκολον νὰ εὕρῃ κανεὶς καὶ ἀφοῦ εὕρῃ εἶναι ἀδύνατον νὰ εἴπῃ εἰς ὅλους περὶ αὐτοῦ»[12],

ἐννοοῶν ὅτι εἷς εἶναι ὁ ἀγένητος καὶ ἀΐδιος. Ἐὰν δὲ γνωρίζῃ καὶ ἄλλους, ὅπως ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, ἀλλ' αὐτοὺς τοὺς γνωρίζει ὡς κτιστούς· θεοὶ υἱοὶ θεῶν, τὰ ἔργα τῶν ὁποίων ἐγὼ εἶμαι δημιουργὸς καὶ πατὴρ εἶναι ἄλυτα, ἐφ' ὅσον ἐγὼ δὲν θέλω νὰ λυθοῦν· διότι πᾶν σύνθετον εἶναι διαλυτόν. Ἐὰν λοιπὸν δὲν εἶναι ὁ Πλάτων ἄθεος, ὁ ὁποῖος δέχεται ἕνα Θεόν, τὸν ἄκτιστον δημιουργὸν τῶν ὅλων, οὔτε ἡμεῖς εἴμεθα ἄθεοι, οἱ ὁποῖοι ἀναγνωρίζομεν καὶ ἀποδεχόμεθα ὡς Θεὸν ἐκεῖνον, ὑπὸ τοῦ ὁποίου ἔχουν δημιουργηθῆ διὰ τοῦ Λόγου καὶ συγκρατοῦνται διὰ τοῦ παρ' αὐτοῦ Πνεύματος τὰ πάντα.

Ὁ δὲ Ἀριστοτέλης καὶ οἱ ὀπαδοί του, εἰσάγοντες ἓν ὂν

---

11. Ἄθροισμα τῶν τεσσάρων ἀριθμῶν 1+2+3+4.
12. *Τίμαιος* 28C

ζῶον σύνθετον, ἐκ ψυχῆς καὶ σώματος συνεστηκότα λέγουσι τὸν Θεόν, σῶμα μὲν αὐτοῦ τὸ αἰθέριον νομίζοντες τούς τε πλανωμένους ἀστέρας καὶ τὴν σφαῖραν τῶν ἀπλανῶν κινούμενα κυκλοφορητικῶς, ψυχὴν δὲ τὸν ἐπὶ τῇ κινήσει τοῦ σώματος λόγον, αὐτὸν μὲν οὐ κινούμενον, αἴτιον δὲ τῆς τούτου κινήσεως γινόμενον.

Οἱ δὲ ἀπὸ τῆς Στοᾶς, κἂν ταῖς προσηγορίαις κατὰ τὰς παραλλάξεις τῆς ὕλης, δι' ἧς φασι τὸ πνεῦμα χωρεῖν τοῦ Θεοῦ, πληθύνωσι τὸ θεῖον τοῖς ὀνόμασι, τῷ γοῦν ἔργῳ ἕνα νομίζουσι τὸν Θεόν. Εἰ γὰρ ὁ μὲν Θεὸς πῦρ τεχνικὸν ὁδῷ βαδίζον ἐπὶ γενέσει κόσμου, ἐμπεριειληφὸς ἅπαντας τοὺς σπερματικοὺς λόγους καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίγνεται, τὸ δὲ πνεῦμα αὐτοῦ διήκει δι' ὅλου τοῦ κόσμου, ὁ Θεὸς εἷς κατ' αὐτούς, Ζεὺς μὲν κατὰ τὸ ζέον τῆς ὕλης ὀνομαζόμενος, Ἥρα δὲ κατὰ τὸν ἀέρα, καὶ τὰ λοιπὰ καθ' ἕκαστον τῆς ὕλης μέρος δι' ἧς κεχώρηκε καλούμενος.

7 Ὅταν οὖν τὸ μὲν εἶναι ἓν τὸ θεῖον ὡς ἐπὶ τὸ πλεῖστον, κἂν μὴ θέλωσι, τοῖς πᾶσι συμφωνῆται ἐπὶ τὰς ἀρχὰς τῶν ὅλων παραγινομένοις, ἡμεῖς δὲ κρατύνωμεν τὸν διακοσμήσαντα τὸ πᾶν τοῦτο, τοῦτον εἶναι τὸν Θεόν, τίς ἡ αἰτία τοῖς μὲν ἐπ' ἀδείας ἐξεῖναι καὶ λέγειν καὶ γράφειν περὶ τοῦ θείου ἃ θέλουσιν, ἐφ' ἡμῖν δὲ κεῖσθαι νόμον οἳ ἔχομεν ὅ,τι καὶ νοοῦμεν καὶ ὀρθῶς πεπιστεύκαμεν, ἕνα Θεὸν εἶναι, ἀληθείας σημείοις καὶ λόγοις παραστῆσαι; Ποιηταὶ μὲν γὰρ καὶ φιλόσοφοι, ὡς καὶ τοῖς ἄλλοις, ἐπέβαλον στοχαστικῶς, κινηθέντες μὲν κατὰ συμπάθειαν τῆς παρὰ τοῦ Θεοῦ πνοῆς ὑπὸ τῆς αὐτὸς αὐτοῦ ψυχῆς ἕκαστος ζητῆσαι εἰ δυνατὸς εὑρεῖν καὶ νοῆσαι τὴν ἀλήθειαν, τοσοῦτον δὲ δυνηθέντες ὅσον περινοῆσαι, οὐχ εὑρεῖν τὸ ὄν, οὐ παρὰ Θεοῦ περὶ Θεοῦ ἀξιώσαντες μαθεῖν, ἀλλὰ παρ' αὐτοῦ ἕκαστος. Διὸ

28 εὑρεῖν τὸ ὂν *Schwartz* εὕρηντο· ὂν *Π*

τρόπον τινὰ σύνθετον, θεωροῦν τὸν Θεὸν συνιστάμενον ἀπὸ ψυχὴν καὶ σῶμα. Ὡς σῶμα αὐτοῦ νομίζουν τὸν αἰθέρα, τοὺς πλανήτας ἀστέρας καὶ τὴν σφαῖραν τῶν ἀπλανῶν ἀστέρων, κινούμενα κυκλοειδῶς, ὡς ψυχὴν δὲ τὸν λόγον τῆς κινήσεως τοῦ σώματος, αὐτὸν μὲν μὴ κινούμενον, γινόμενον δὲ αἴτιον τῆς κινήσεως τούτου.

Οἱ δὲ ἀνήκοντες εἰς τὴν Στοάν, ἂν καὶ πολλαπλασιάζουν τὸ θεῖον κατὰ τὰ ὀνόματα μὲ τὰς προσηγορίας διὰ τὰς παραλλαγὰς τῆς ὕλης, διὰ τῆς ὁποίας λέγουν ὅτι τὸ Πνεῦμα τοῦ Θεοῦ διήκει, πραγματικῶς δέχονται ἕνα Θεόν. Διότι, ἐὰν ὁ Θεὸς εἶναι δημιουργικὸν φῶς, προχωροῦν μεθοδικῶς εἰς τὴν δημιουργίαν τοῦ κόσμου, περιλαμβάνον ὅλους τοὺς σπερματικοὺς λόγους διὰ τῶν ὁποίων ἕκαστον πρᾶγμα γίνεται συμφώνως πρὸς τὴν εἱμαρμένην, τὸ δὲ Πνεῦμα αὐτοῦ διήκει δι' ὅλου τοῦ κόσμου, ὁ Θεὸς εἶναι κατ' αὐτοὺς εἷς, ὀνομαζόμενος κατὰ μὲν τὸ ζέον τῆς ὕλης Ζεύς, κατὰ δὲ τὸν ἀέρα Ἥρα καὶ καλούμενος μὲ τὰ λοιπὰ ὀνόματα συμφώνως πρὸς ἕκαστον μέρος τῆς ὕλης διὰ τῆς ὁποίας προχωρεῖ.

7 Ἀφοῦ λοιπὸν ὅλοι συμφωνοῦν πλήρως, καὶ χωρὶς νὰ τὸ θέλουν, ὅταν φθάνουν εἰς τὰς ἀρχὰς τῶν ὅλων, ὅτι τὸ θεῖον εἶναι ἕν, ἡμεῖς δὲ ἰσχυριζόμεθα ὅτι ὁ διακοσμήσας τὸ σύμπαν τοῦτο εἶναι ὁ Θεός, ποία εἶναι ἡ αἰτία τοῦ ὅτι εἰς αὐτοὺς μὲν ἐπιτρέπεται ἐλευθέρως νὰ λέγουν καὶ νὰ γράφουν περὶ τοῦ θείου ὅ,τι θέλουν, δι' ἡμᾶς δέ, οἱ ὁποῖοι δυνάμεθα νὰ παραστήσωμεν μὲ ἀληθινὰς ἀποδείξεις καὶ λόγους ὅ,τι νοοῦμεν καὶ ἔχομεν πιστεύσει ὀρθῶς, ὅτι δηλαδὴ ὁ Θεὸς εἶναι εἷς, ὑπάρχει νόμος ἀπαγορευτικός; Διότι, ὅπως εἰς ἄλλα σημεῖα οὕτω καὶ ἐδῶ, οἱ μὲν ποιηταὶ καὶ φιλόσοφοι ἐπροχώρησαν στοχαστικῶς, κινηθέντες ἕκαστος ὑπὸ τῆς ψυχῆς του κατὰ συμπάθειαν πρὸς τὴν θείαν πνοήν νὰ κυττάξῃ ἐὰν εἶναι δυνατὸν νὰ εὕρῃ καὶ νὰ ἐννοήσῃ τὴν ἀλήθειαν, δυνηθέντες δὲ τόσον μόνον ὥστε νὰ ἀποκτήσουν ἀμυδρὰν ἰδέαν καὶ ὄχι νὰ εὕρουν τὸ ὄν, καθ' ὅσον δὲν κατεδέχθησαν νὰ μάθουν παρὰ τοῦ Θεοῦ περὶ τοῦ Θεοῦ, ἀλλ' ἕκαστος παρὰ τοῦ ἑαυτοῦ του. Διὰ τοῦτο ἐδογμάτισαν ἕκαστος αὐτῶν κατὰ διάφορον τρόπον περὶ Θεοῦ, περὶ ὕλης, περὶ

*καὶ ἄλλος ἄλλως ἐδογμάτισεν αὐτῶν καὶ περὶ Θεοῦ καὶ περὶ ὕλης καὶ περὶ εἰδῶν καὶ περὶ κόσμου. Ἡμεῖς δὲ ὧν νοοῦμεν καὶ πεπιστεύκαμεν ἔχομεν προφήτας μάρτυρας, οἳ πνεύματι ἐνθέῳ ἐκπεφωνήκασι καὶ περὶ τοῦ Θεοῦ καὶ περὶ τῶν τοῦ Θεοῦ. Εἴποιτε δ' ἂν καὶ ὑμεῖς συνέσει καὶ τῇ περὶ τὸ ὄντως θεῖον εὐσεβείᾳ τοὺς ἄλλους προὔχοντες ὡς ἔστιν ἄλογον παραλιπόντας πιστεύειν τῷ παρὰ τοῦ Θεοῦ Πνεύματι ὡς ὄργανα κεκινηκότι τὰ τῶν προφητῶν στόματα, προσέχειν δόξαις ἀνθρωπίναις.*

8 *Ὅτι τοίνυν εἷς ἐξ ἀρχῆς ὁ τοῦδε τοῦ παντὸς ποιητὴς Θεός, οὑτωσὶ σκέψασθε, ἵν' ἔχητε καὶ τὸν λογισμὸν ἡμῶν τῆς πίστεως. Εἰ δύο ἐξ ἀρχῆς ἢ πλείους ἦσαν θεοί, ἤτοι ἐν ἑνὶ καὶ ταὐτῷ ἦσαν ἢ ἰδίᾳ ἕκαστος αὐτῶν. Ἐν μὲν οὖν ἑνὶ καὶ ταὐτῷ εἶναι οὐκ ἠδύναντο. Οὐ γάρ, εἰ θεοί, ὅμοιοι, ἀλλ' ὅτι ἀγένητοι, οὐχ ὅμοιοι· τὰ μὲν γὰρ γενητὰ ὅμοια τοῖς παραδείγμασιν, τὰ δὲ ἀγένητα ἀνόμοια, οὔτε ἀπό τινος οὔτε πρός τινα γενόμενα. Εἰ δέ, ὡς χεὶρ καὶ ὀφθαλμὸς καὶ ποὺς περὶ ἓν σῶμά εἰσιν συμπληρωτικὰ μέρη, ἕνα ἐξ αὐτῶν συμπληροῦντες, ὁ Θεὸς εἷς· καίτοι ὁ μὲν Σωκράτης παρὸ γενητὸς καὶ φθαρτός, συγκείμενος καὶ διαιρούμενος εἰς μέρη, ὁ δὲ Θεὸς ἀγένητος καὶ ἀπαθὴς καὶ ἀδιαίρετος· οὐκ ἄρα συνεστῶς ἐκ μερῶν.*

*Εἰ δὲ ἰδίᾳ ἕκαστος αὐτῶν, ὄντος τοῦ τὸν κόσμον πεποιηκότος ἀνωτέρω τῶν γεγονότων καὶ ὑπὲρ ἃ ἐποίησέ τε καὶ ἐκόσμησεν, ποῦ ὁ ἕτερος ἢ οἱ λοιποί; Εἰ γὰρ ὁ μὲν κόσμος σφαιρικὸς ἀποτελεσθεὶς οὐρανοῦ κύκλοις ἀποκέκλεισται, ὁ δὲ τοῦ κόσμου ποιητὴς ἀνωτέρω τῶν γεγονότων ἐπέχων αὐτὸν τῇ τούτων προνοίᾳ, τίς ὁ τοῦ ἑτέρου θεοῦ ἢ τῶν λοιπῶν τόπος; Οὔτε γὰρ ἐν τῷ κόσμῳ ἐστίν, ὅτι ἑτέρου ἐστίν· οὔτε περὶ τὸν κόσμον,*

---

13. Βλ. ΦΙΛΩΝΟΣ, *Περὶ τῶν ἐν εἴδει νόμων* 2,343.

14. Ἐδῶ ὑπόκειται ἡ πλατωνικὴ θεωρία περὶ προτύπων ἰδεῶν βάσει τῶν ὁποίων δημιουργοῦνται τὰ ὄντα.

εἰδῶν, περὶ κόσμου[13]. Ἡμεῖς δὲ δι' ὅσα κατανοοῦμεν καὶ πιστεύομεν ἔχομεν μάρτυρας τοὺς προφήτας, οἱ ὁποῖοι διὰ θείου Πνεύματος ἐξήγγειλαν καὶ περὶ τοῦ Θεοῦ καὶ περὶ τῶν πραγμάτων τοῦ Θεοῦ. Θὰ ἠδύνασθε δὲ καὶ σεῖς, οἱ ὁποῖοι ὑπερέχετε τῶν ἄλλων κατὰ τὴν σύνεσιν καὶ τὴν πρὸς τὸ ὄντως θείαν εὐσέβειαν, νὰ εἴπητε ὅτι εἶναι παράλογον νὰ παύσωμεν νὰ πιστεύωμεν εἰς τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ὁποῖον ἐκίνησεν ὡς ὄργανα τὰ στόματα τῶν προφητῶν, καὶ νὰ προσέχωμεν τὰς ἀνθρωπίνας γνώμας.

8 Ὅτι λοιπὸν ὁ ποιητὴς τοῦ σύμπαντος τούτου Θεὸς ἦτο εἷς ἀρχικῶς, σκεφθῆτε τὸ θέμα ὡς ἑξῆς, διὰ νὰ ἔχετε τὴν λογικὴν δικαίωσιν τῆς πίστεως ἡμῶν. Ἐὰν οἱ θεοὶ ἦσαν ἀρχικῶς δύο ἢ περισσότεροι, ἢ θὰ περιείχοντο εἰς ἓν καὶ τὸ αὐτὸ ὂν ἢ ἕκαστος θὰ ἦτο αὐτοτελὲς ὄν. Λοιπὸν δὲν ἠδύναντο νὰ περιέχωνται εἰς ἓν καὶ τὸ αὐτὸ ὄν· διότι ἐδῶ δὲν ἰσχύει τὸ ὅτι, ἐφ' ὅσον εἶναι θεοί, εἶναι ὅμοιοι, ἀλλὰ ὅτι, ἐφ' ὅσον εἶναι ἄκτιστοι, εἶναι ἀνόμοιοι· διότι τὰ μὲν κτιστὰ εἶναι ὅμοια βάσει τῶν προτύπων των[14], τὰ δὲ ἄκτιστα εἶναι ἀνόμοια, διότι δὲν κατασκευάζονται οὔτε ἀπὸ κάποιον οὔτε βάσει κάποιου ὑποδείγματος. Ἐὰν δὲ λεχθῇ ὅτι, ὅπως χεὶρ καὶ ὀφθαλμὸς καὶ ποὺς εἶναι συμπληρωματικὰ μέλη ἑνὸς σώματος, οὕτω καὶ οἱ θεοὶ ἡνωμένοι συμπληρώνουν ἕνα, εἷς λοιπὸν εἶναι ὁ Θεός, ὅμως ὁ μὲν Σωκράτης, ὡς κτιστὸς καὶ φθαρτός, σύγκειται καὶ διαιρεῖται εἰς μέρη, ὁ δὲ Θεὸς εἶναι ἄκτιστος καὶ ἀπαθὴς καὶ ἀδιαίρετος, δὲν ἀποτελεῖται λοιπὸν ἀπὸ μέρη.

Ἐὰν δὲ ἕκαστος θεὸς ὑπάρχῃ αὐτοτελῶς, ἐφ' ὅσον ὁ δημιουργήσας τὸν κόσμον εἶναι ὑψηλότερα ἀπὸ τὰ κτίσματα καὶ ἐπάνω ἀπὸ ὅσα ἐδημιούργησε καὶ διεκόσμησε, ποῦ θὰ εἶναι ὁ ἄλλος ἢ οἱ λοιποί; Πράγματι ἐὰν ὁ κόσμος κατασκευασθεὶς σφαιρικὸς ἔχῃ περικλεισθῆ ἐντὸς τῶν κύκλων τοῦ οὐρανοῦ, ὁ δὲ ποιητὴς τοῦ κόσμου εἶναι ὑψηλότερα ἀπὸ τὰ δημιουργήματα συγκρατῶν αὐτὸν διὰ τῆς περὶ τούτων προνοίας, ποῖος εἶναι ὁ τόπος τοῦ ἄλλου Θεοῦ ἢ τῶν λοιπῶν; Διότι οὔτε ἐντὸς τοῦ κόσμου εἶναι, ἀφοῦ αὐτὸς ἀνήκει εἰς ἄλλον, οὔτε περὶ τὸν κόσμον,

*ὑπὲρ γὰρ τοῦτον ὁ τοῦ κόσμου ποιητὴς Θεός. Εἰ δὲ μήτε ἐν τῷ κόσμῳ ἐστὶν μήτε περὶ τὸν κόσμον τὸ γὰρ περὶ αὐτὸν πᾶν ὑπὸ τούτου κατέχεται, ποῦ ἐστιν; Ἀνωτέρω τοῦ κόσμου καὶ τοῦ Θεοῦ, ἐν ἑτέρῳ κόσμῳ καὶ περὶ ἕτερον; Ἀλλ' εἰ μέν ἐστιν ἐν ἑτέρῳ καὶ περὶ ἕτερον, οὔτε περὶ ἡμᾶς ἐστιν ἔτι, οὐδὲ γὰρ κόσμου κρατεῖ, οὔτε αὐτὸς δυνάμει μέγας ἐστίν, ἐν γὰρ περιωρισμένῳ τόπῳ ἐστίν. Εἰ δὲ οὔτε ἐν ἑτέρῳ κόσμῳ ἐστίν, πάντα γὰρ ὑπὸ τούτου πεπλήρωται, οὔτε περὶ ἕτερον, πάντα γὰρ ὑπὸ τούτου κατέχεται, καὶ οὐκ ἔστιν, οὐκ ὄντος ἐν ᾧ ἐστιν.*

*Ἢ τί ποιεῖ, ἑτέρου μὲν ὄντος οὗ ἐστιν ὁ κόσμος, αὐτὸς δὲ ἀνωτέρω ὢν τοῦ ποιητοῦ τοῦ κόσμου, οὐκ ὢν δὲ οὔτε ἐν κόσμῳ οὔτε περὶ κόσμον; [ἀλλ' ἔστι τι ἕτερον ἵνα που στῇ ὁ γενόμενος κατὰ τοῦ ὄντος; Ἀλλ' ὑπὲρ αὐτὸν ὁ Θεὸς καὶ τὰ τοῦ Θεοῦ. Καὶ τίς ἔσται τόπος τὰ ὑπὲρ τὸν κόσμον τούτου πεπληρωκότος;]. Ἀλλὰ προνοεῖ; Καὶ μὴν οὐδὲ προνοεῖ, εἰ μὴ πεποίηκεν. Εἰ δὲ μὴ ποιεῖ μήτε προνοεῖ μήτε ἐστὶ τόπος ἕτερος ἐν ᾧ ἐστιν, εἷς οὗτος ἐξ ἀρχῆς καὶ μόνος ὁ ποιητὴς τοῦ κόσμου Θεός.*

9 *Εἰ μὲν οὖν ταῖς τοιαύταις ἐννοίαις ἀπηρκούμεθα, ἀνθρωπικὸν ἄν τις εἶναι τὸν καθ' ἡμᾶς ἐνόμιζεν λόγον· ἐπεὶ δὲ αἱ φωναὶ τῶν προφητῶν πιστοῦσιν ἡμῶν τοὺς λογισμούς· νομίζω δὲ καὶ ὑμᾶς φιλομαθεστάτους καὶ ἐπιστημονεστάτους ὄντας οὐκ ἀνομιλήτους γεγονέναι οὔτε τῶν Μωϋσέως οὔτε τῶν Ἡσαΐου καὶ Ἱερεμίου καὶ τῶν λοιπῶν προφητῶν, οἳ κατ' ἔκστασιν τῶν ἐν αὐτοῖς λογισμῶν, κινήσαντος αὐτοὺς τοῦ θείου Πνεύματος, ἃ ἐνηργοῦντο ἐξεφώνησαν, συγχρησαμένου τοῦ Πνεύματος ὡς εἰς*

12–15 ἀλλ' ἔστι...πεπληρωκότος *ἐξοβελίζει Schwartz* ὀρθῶς
21–22 ἀνομιλήτους *X* ἀνοήτους *Π* ἀμυήτους *Geffeken* ἀνηκόους *Schwartz*

---

15. Προφανῶς τὸ ἐντὸς ἀγκυλῶν τεμάχιον ἦτο ἀρχικῶς σχόλιον τοῦ περιθωρίου, διότι διακόπτει τὴν συνοχὴν τοῦ κειμένου καὶ ἐπαναλαμβάνει σκέψεις,

ἀφοῦ ὑπεράνω τούτου εἶναι ὁ ποιητὴς Θεός. Ἐὰν δὲ δὲν εἶναι οὔτε ἐντὸς τοῦ κόσμου οὔτε περὶ τὸν κόσμον, ἀφοῦ πᾶν τὸ περὶ αὐτὸν κατέχεται ὑπὸ τούτου, ποῦ εἶναι; Ὑπεράνω τοῦ κόσμου καὶ τοῦ Θεοῦ ἐντὸς ἄλλου κόσμου ἢ περὶ ἄλλον; Ἀλλ', ἐὰν μὲν εἶναι ἐντὸς ἄλλου καὶ περὶ ἄλλον, οὔτε περὶ ἡμᾶς εἶναι πλέον, ἐφ' ὅσον δὲν κυριαρχεῖ τοῦ κόσμου, οὔτε αὐτὸς εἶναι μέγας εἰς δύναμιν, διότι εἶναι εἰς περιωρισμένον τόπον. Ἐὰν δὲ οὔτε ἐντὸς ἄλλου τόπου εἶναι, ἐφ' ὅσον ὅλα εἶναι πληρωμένα ὑπὸ τούτου, οὔτε περὶ ἄλλον, ἐφ' ὅσον ὅλα κατέχονται ὑπὸ τούτου, δὲν ὑπάρχει, διότι δὲν ὑπάρχει χῶρος ἐντὸς τοῦ ὁποίου δύναται νὰ εὑρίσκεται.

Ἄλλωστε τί θὰ ἔπραττεν ὁ δεύτερος οὗτος θεός, ὅταν ὑπάρχῃ ἄλλος εἰς τὸν ὁποῖον ἀνήκει ὁ κόσμος, αὐτὸς δὲ εὑρίσκεται ὑψηλότερα τοῦ ποιητοῦ τοῦ κόσμου, δὲν εἶναι δὲ οὔτε ἐντὸς τοῦ κόσμου οὔτε περὶ τὸν κόσμον; [Ἀλλ' ὑπάρχει τίποτε ἄλλο, διὰ νὰ σταθῇ κάπου ὁ γενόμενος οὗτος θεὸς κατὰ τοῦ ἀληθινοῦ Θεοῦ; Ἀλλ' ὑπεράνω αὐτοῦ εἶναι ὁ Θεὸς καὶ τὰ τοῦ Θεοῦ. Καὶ ποῖος τόπος θὰ ἦτο, ἀφοῦ τὰ ὑπὲρ τὸν κόσμον πληροῖ οὗτος;][15]. Ἀλλὰ προνοεῖ; Καὶ ὅμως δὲν δύναται νὰ προνοῇ, ἐὰν δὲν ἔχῃ δημιουργήσει. Ἐὰν δὲ ὁ δεύτερος δὲν δημιουργῇ οὔτε προνοῇ οὔτε ὑπάρχῃ ἄλλος τόπος ἐντὸς τοῦ ὁποίου εὑρίσκεται, τότε ἐξ ἀρχῆς ὑπάρχει εἷς καὶ μόνος Θεός, οὗτος ὁ ποιητὴς τοῦ κόσμου.

9 Ἐὰν βεβαίως ἠρκούμεθα εἰς αὐτὴν τὴν λογικὴν ἐπιχειρηματολογίαν, ἡ διδασκαλία μας θὰ ἠδύνατο νὰ νομισθῇ ὅτι εἶναι ἀνθρωπίνη. Ἐπειδὴ δὲ αἱ φωναὶ τῶν προφητῶν ἐπιβεβαιώνουν τοὺς λογισμοὺς ἡμῶν –νομίζω δὲ ὅτι καὶ σεῖς, καθὼς εἶσθε φιλομαθέστατοι καὶ γνωστικώτατοι, δὲν εἶσθε ἀπληροφόρητοι τῶν λόγων οὔτε τοῦ Μωϋσέως οὔτε τοῦ Ἠσαΐου καὶ τοῦ Ἱερεμίου καὶ τῶν λοιπῶν προφητῶν οἱ ὁποῖοι, κατ' ἔκστασιν τῶν λογισμῶν των κατόπιν κινήσεώς των ὑπὸ τοῦ θείου Πνεύματος, ἐξήγγελαν ὅσα ἐνεπνέοντο, καθ' ὅσον τὸ Πνεῦμα ἐχρησιμοποίησεν αὐτοὺς ὅπως ὁ αὐλητὴς φυσᾷ τὸν αὐλόν. Τί λέγουν λοιπὸν

---

διατυπωθείσας ἤδη ἀνωτέρω.

*καὶ αὐλητὴς αὐλὸν ἐμπνεῦσαι. Τί οὖν οὗτοι; «Κύριος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν»· καὶ πάλιν· «ἐγὼ Θεὸς πρῶτος καὶ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεός». Ὁμοίως «ἔμπροσθεν ἐμοῦ οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγὼ ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ»· καὶ περὶ τοῦ μεγέθους· «ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι, ἢ τίς τόπος τῆς καταπαύσεώς μου;». Καταλείπω δὲ ὑμῖν ἐπ' αὐτῶν τῶν βιβλίων γενομένοις ἀκριβέστερον τὰς ἐκείνων ἐξετάσαι προφητείας, ὅπως μετὰ τοῦ προσήκοντος λογισμοῦ τὴν καθ' ἡμῶν ἐπήρειαν ἀποσκευάσησθε.*

*10* *Τὸ μὲν οὖν ἄθεοι μὴ εἶναι, ἕνα τὸν ἀγένητον καὶ ἀΐδιον καὶ ἀόρατον καὶ ἀπαθῆ καὶ ἀκατάληπτον καὶ ἀχώρητον, νῷ μόνῳ καὶ λόγῳ καταλαμβανόμενον, φωτὶ καὶ κάλλει καὶ πνεύματι καὶ δυνάμει ἀνεκδιηγήτῳ περιεχόμενον, ὑφ' οὗ γεγένηται τὸ πᾶν διὰ τοῦ παρ' αὐτοῦ λόγου καὶ διακεκόσμηται καὶ συγκρατεῖται, Θεὸν ἄγοντες, ἱκανῶς μοι δέδεικται. Νοοῦμεν γὰρ καὶ Υἱὸν τοῦ Θεοῦ.*

*Καὶ μή μοι γελοῖόν τις νομίσῃ τὸ Υἱὸν εἶναι τῷ Θεῷ. Οὐ γὰρ ὡς ποιηταὶ μυθοποιοῦσιν οὐδὲν βελτίους τῶν ἀνθρώπων δεικνύντες τοὺς θεούς, ἢ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ἢ περὶ τοῦ Υἱοῦ πεφρονήκαμεν, ἀλλ' ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ λόγος τοῦ Πατρὸς ἐν ἰδέᾳ καὶ ἐνεργείᾳ· πρὸς αὐτοῦ γὰρ καὶ δι' αὐτοῦ πάντα ἐγένετο, ἑνὸς ὄντος τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ὄντος δὲ τοῦ Υἱοῦ ἐν Πατρὶ καὶ Πατρὸς ἐν Υἱῷ ἑνότητι καὶ δυνάμει Πνεύμα-*

10 καθ' ἡμῶν *X* καθ' ἡμᾶς *Π*
15–16 διὰ τοῦ παρ' αὐτοῦ *Schwartz* δι' αὐτοῦ *Π*

οὗτοι; «Ὁ Κύριος εἶναι ὁ Θεὸς ἡμῶν· κανεὶς ἄλλος δὲν πρέπει νὰ ὑπολογισθῆ δίπλα του»[16]· καὶ πάλιν, «ἐγὼ εἶμαι ὁ Θεός, ὁ πρῶτος καὶ ὁ τελευταῖος, καὶ πλὴν ἐμοῦ δὲν ὑπάρχει Θεός»[17]· ὁμοίως, «πρὶν ἀπὸ ἐμὲ δὲν ὑπῆρξεν ἄλλος Θεὸς καὶ μετ' ἐμὲ δὲν θὰ ὑπάρξη· ἐγὼ εἶμαι ὁ Θεὸς καὶ δὲν θὰ ὑπάρξη ἄλλος πλὴν ἐμοῦ»[18]. Καὶ περὶ τοῦ μεγέθους, «ὁ οὐρανὸς εἶναι θρόνος μου, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον θὰ μοῦ οἰκοδομήσετε, ἢ ποῖος δύναται νὰ εἶναι τόπος τῆς ἀναπαύσεώς μου;»[19]. Ἀφήνω εἰς σᾶς τοὺς ἰδίους νὰ ἐξετάσετε ἀκριβέστερον τὰς προφητείας ἐκείνων, ἀφοῦ φθάσετε εἰς τὰ βιβλία των, διὰ νὰ τερματίσετε τὴν κακομεταχείρισιν ἡμῶν μὲ τὸν προσήκοντα λογισμόν.

10 Οὕτω τὸ ὅτι δὲν εἴμεθα ἄθεοι, καθ' ὅσον δεχόμεθα ἕνα Θεόν, τὸν ἄκτιστον καὶ ἀΐδιον καὶ ἀόρατον καὶ ἀπαθῆ καὶ ἀκατάληπτον καὶ ἀχώρητον, καταλαμβανόμενον μόνον διὰ τοῦ νοῦ καὶ τοῦ λόγου, περιβαλλόμενον ἀπὸ κάλλος καὶ πνεῦμα καὶ δύναμιν, ὑπὸ τοῦ ὁποίου ἔχει δημιουργηθῆ διὰ τοῦ Λόγου αὐτοῦ καὶ διακοσμηθῆ καὶ συγκρατεῖται τὸ σύμπαν, ἔχει ἱκανοποιητικῶς ἀποδειχθῆ ὑπ' ἐμοῦ[20]. Ἀλλὰ δεχόμεθα ἐπίσης Υἱὸν τοῦ Θεοῦ.

Καὶ ἂς μὴ νομίση κανεὶς ὅτι εἶναι γελοῖον τὸ ὅτι ὁ Θεὸς ἔχει Υἱόν. Περὶ τοῦ Θεοῦ καὶ Πατρός ἢ περὶ τοῦ Υἱοῦ δὲν φρονοῦμεν ὅπως μυθοποιοῦν οἱ ποιηταί, παρουσιάζοντες τοὺς θεοὺς καθόλου καλυτέρους τῶν ἀνθρώπων, ἀλλὰ καθ' ἡμᾶς ὁ Υἱὸς τοῦ Θεοῦ εἶναι Λόγος ἐν ἰδέᾳ καὶ ἐνεργείᾳ[21]· διότι ὅλα ἔγιναν ὑπ' αὐτοῦ καὶ δι' αὐτοῦ, καθὼς ὁ Πατὴρ καὶ ὁ Υἱὸς εἶναι εἷς. Ἀφοῦ δὲ ὁ Υἱὸς εἶναι εἰς τὸν Πατέρα καὶ ὁ Πατὴρ εἰς τὸν Υἱὸν διὰ τῆς ἑνότητος καὶ δυνάμεως τοῦ Πνεύματος, ὁ Υἱὸς

16. Ἐξ. 20,23.
17. Ἠσ. 44,6.
18. Ἠσ. 43,10 ἑ.
19. Ἠσ. 44,6.
20. Ἐδῶ μερικοὶ διαβλέπουν κενόν.
21. Ἔκφρασις τῶν Περιπατητικῶν ἀπαντωμένη συχνὰ εἰς τὸν Φίλωνα.

*τος, νοῦς καὶ λόγος τοῦ Πατρὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Εἰ δὲ δι' ὑπερβολὴν συνέσεως σκοπεῖν ὑμῖν ἔπεισιν, ὁ παῖς τί βούλεται, ἐρῶ διὰ βραχέων· πρῶτον γέννημα εἶναι τῷ Πατρί, οὐχ ὡς γενόμενον (ἐξ ἀρχῆς γὰρ ὁ Θεός, νοῦς ἀΐδιος ὤν, εἶχεν αὐτὸς ἐν ἑαυτῷ τὸν λόγον, ἀϊδίως λογικός ὤν), ἀλλ' ὡς τῶν ὑλικῶν ξυμπάντων ἀποίου φύσεως καὶ ἀργῆς οὐσίας ὑποκειμένην δίκην, μεμιγμένων τῶν παχυμερεστέρων πρὸς τὰ κουφότερα, ἐπ' αὐτοῖς ἰδέα καὶ ἐνέργεια εἶναι προελθών. Συνᾴδει δὲ τῷ λόγῳ καὶ τὸ προφητικὸν Πνεῦμα· «Κύριος» γὰρ φησίν, ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ».*

*Καίτοι καὶ αὐτὸ τὸ ἐνεργοῦν τοῖς ἐκφωνοῦσι προφητικῶς ἅγιον Πνεῦμα ἀπόρροιαν εἶναί φαμεν τοῦ Θεοῦ, ἀπορρέον καὶ ἐπαναφερόμενον ὡς ἀκτῖνα ἡλίου. Τίς οὖν οὐκ ἂν ἀπορήσαι τοὺς ἄγοντας Θεὸν Πατέρα καὶ Υἱὸν Θεὸν καὶ Πνεῦμα ἅγιον, δεικνύντας αὐτῶν καὶ τὴν ἐν τῇ ἑνώσει δύναμιν καὶ τὴν ἐν τῇ τάξει διαίρεσιν, ἀκούσας ἀθέους καλουμένους; Καὶ οὐδ' ἐπὶ τούτοις τὸ θεολογικὸν ἡμῶν ἵσταται μέρος, ἀλλὰ καὶ πλῆθος ἀγγέλων καὶ λειτουργῶν φαμεν, οὓς ὁ ποιητὴς καὶ δημιουργὸς κόσμου Θεὸς διὰ τοῦ παρ' αὐτοῦ λόγου διένειμε καὶ διέταξεν περί τε τὰ στοιχεῖα εἶναι καὶ τοὺς οὐρανοὺς καὶ τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ καὶ τὴν τούτων εὐταξίαν.*

11 *Εἰ δὲ ἀκριβῶς διέξειμι τὸν καθ' ἡμᾶς λόγον, μὴ θαυμάσητε· ἵνα γὰρ μὴ τῇ κοινῇ καὶ ἀλόγῳ συναποφέρησθε γνώμῃ, ἔχητε δὲ τἀληθὲς εἰδέναι, ἀκριβολογοῦμαι· ἐπεὶ καὶ δι' αὐτῶν τῶν δογμάτων οἷς προσέχομεν, οὐκ ἀνθρωπικοῖς οὖσιν ἀλλὰ θεοφάτοις καὶ θεοδιδάκτοις, πεῖσαι ὑμᾶς μὴ ὡς περὶ ἀθέων ἔχειν δυνάμεθα. Τίνες οὖν ἡμῶν οἱ λόγοι οἷς ἐντρεφόμεθα;*

*«Λέγω ὑμῖν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς*

6 ἀργῆς οὐσίας *Χ* γῆς ὀχιας *Π* ἀργῆς συστοιχίας *Schwartz* γῆς ὀχέως *Fabricius* γῆς ἀχρείας *Maran*

τοῦ Θεοῦ εἶναι νοῦς καὶ λόγος τοῦ Πατρός. Ἐὰν δὲ λόγῳ ὑπερβολικῆς συνέσεως ἐπιθυμῆτε νὰ ἐρευνήσετε τί θέλει ὁ παῖς τοῦ Θεοῦ, θὰ εἴπω συντόμως. Εἶναι τὸ πρῶτον γέννημα τοῦ Πατρός, ὄχι ὡς δημιουργούμενον (διότι ὁ Θεός, ὢν ἐξ ἀρχῆς νοῦς ἀΐδιος, εἶχεν αὐτὸς ἐντὸς ἑαυτοῦ τὸν Λόγον, ὢν ἀϊδίως λογικός), ἀλλὰ ὡς προελθὸν διὰ νὰ εἶναι ἰδέα καὶ ἐνέργεια ὅλων τῶν ὑλικῶν, ὡσὰν ὑποκειμένων ἐξ ἀποίου φύσεως καὶ ἀδρανοῦς οὐσίας, ἀναμεμιγμένων τῶν παχυμερεστέρων πρὸς τὰ λεπτότερα. Συμφωνεῖ δὲ πρὸς τὴν ἄποψιν ταύτην καὶ τὸ προφητικὸν Πνεῦμα· διότι λέγει, «ὁ Κύριος μὲ ἔκτισεν ὡς ἀρχὴν τῶν ὁδῶν του διὰ τὰ ἔργα αὐτοῦ»[22].

Ἐξ ἄλλου λέγομεν ὅτι καὶ αὐτὸ τὸ ἐνεργοῦν διὰ τῶν ἐξαγγελλόντων προφητικῶς ἅγιον Πνεῦμα εἶναι ἀπόρροια τοῦ Θεοῦ, ὅτι ἀπορρέει καὶ ἐπαναφέρεται ὡς ἀκτὶς ἡλίου. Ποῖος λοιπὸν δὲν θὰ ἠπόρει ἀκούων νὰ καλοῦνται ἄθεοι ἐκεῖνοι οἱ ὁποῖοι δέχονται Θεὸν Πατέρα καὶ Υἱὸν Θεὸν καὶ Πνεῦμα ἅγιον, δεικνύουν δὲ καὶ τὴν ἐν ἑνώσει δύναμιν αὐτῶν καὶ τὴν ἐν τῇ τάξει διαίρεσιν; Καὶ ἡ θεολογικὴ ἡμῶν διδασκαλία δὲν σταματᾶ εἰς αὐτὰ τὰ σημεῖα, ἀλλὰ λέγομεν καὶ πλῆθος ἀγγέλων καὶ λειτουργῶν, τοὺς ὁποίους ὁ δημιουργὸς τοῦ κόσμου Θεὸς κατένειμε καὶ διέταξε διὰ τοῦ Λόγου αὐτοῦ, ὥστε νὰ εἶναι πέριξ τῶν στοιχείων καὶ τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ καὶ τῆς εὐταξίας τούτων.

11 Μὴ θαυμάσετε, ἂν ἐκθέτω λεπτομερῶς τὴν διδασκαλίαν ἡμῶν· λεπτολογῶ διὰ νὰ μὴ παρασύρεσθε ἀπὸ τὴν παράλογον λαϊκὴν γνώμην, ἀλλὰ νὰ δύνασθε νὰ γνωρίσετε τὴν ἀλήθειαν, καθ' ὅσον καὶ διὰ τῶν δογμάτων τὰ ὁποῖα ἀποδεχόμεθα, καὶ δὲν εἶναι ἀνθρωπίνης προελεύσεως ἀλλὰ θεόλεκτα καὶ θεοδίδακτα, δυνάμεθα νὰ σᾶς πείσωμεν νὰ μὴ μᾶς θεωρῆτε ὡς ἀθέους. Ποῖοι λοιπὸν εἶναι οἱ λόγοι μὲ τοὺς ὁποίους ἀνατρεφόμεθα;

«Σᾶς λέγω· ἀγαπᾶτε τοὺς ἐχθρούς σας, εὐλογεῖτε τοὺς κα-

---

22. Παροιμ. 8,22.

*καταρωμένους, προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, ὃς τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους».*

*Ἐπιτρέψατε ἐνταῦθα τοῦ λόγου ἐξακούστου μετὰ πολλῆς κραυγῆς γεγονότος ἐπὶ παρρησίαν ἀναγαγεῖν, ὡς ἐπὶ βασιλέων φιλοσόφων ἀπολογούμενον. Τίνες γὰρ ἢ τῶν τοὺς συλλογισμοὺς ἀναλυόντων καὶ τὰς ἀμφιβολίας διαλυόντων καὶ τὰς ἐτυμολογίας σαφηνιζόντων ἢ τῶν τὰ ὁμώνυμα καὶ συνώνυμα καὶ κατηγορήματα καὶ ἀξιώματα καὶ τί τὸ ὑποκείμενον καὶ τί τὸ κατηγορούμενον διευκρινούντων εὐδαίμονας ἀποτελεῖν διὰ τούτων καὶ τῶν τοιούτων λόγων ὑπισχνοῦνται τοὺς συνόντας, οὕτως ἐκκεκαθαρμένοι εἰσὶ τὰς ψυχὰς ὡς ἀντὶ τοῦ μισεῖν τοὺς ἐχθροὺς ἀγαπᾶν καὶ ἀντὶ τοῦ, τὸ μετριώτατον, κακῶς ἀγορεύειν τοὺς προκατάρξαντας λοιδορίας εὐλογεῖν, καὶ ὑπὲρ τῶν ἐπιβουλευόντων εἰς τὸ ζῆν προσεύχεσθαι; Οἳ τοὐναντίον ἀεὶ διατελοῦσι κακῶς τὰ ἀπόρρητα ἑαυτοὺς ταῦτα μεταλλεύοντες καὶ ἀεί τι ἐργάσασθαι ἐπιθυμοῦντες κακόν, τέχνην λόγων καὶ οὐκ ἐπίδειξιν ἔργων τὸ πρᾶγμα πεποιημένοι. Παρὰ δ' ἡμῖν εὕροιτε ἂν ἰδιώτας καὶ χειροτέχνας καὶ γραΐδια, εἰ λόγῳ τὴν ὠφέλειαν παριστᾶν εἰσιν ἀδύνατοι τὴν παρὰ τοῦ λόγου, ἔργῳ τὴν ἀπὸ τῆς προαιρέσεως ὠφέλειαν ἐπιδεικνυμένους· οὐ γὰρ λόγους διαμνημονεύουσιν, ἀλλὰ πράξεις ἀγαθὰς ἐπιδεικνύουσιν, παιόμενοι μὴ ἀντιτύπτειν καὶ ἁρπαζόμενοι μὴ δικάζεσθαι, τοῖς αἰτοῦσιν διδόναι καὶ τοὺς πλησίον ἀγαπᾶν ὡς ἑαυτούς.*

12 *Ἆρα τοίνυν, εἰ μὴ ἐφεστηκέναι Θεὸν τῷ τῶν ἀνθρώπων γένει ἐνομίζομεν, οὕτως ἂν ἑαυτοὺς ἐξεκαθαίρομεν; Οὐκ ἔστιν*

11 διευκρινούντων *προστίθ. X* διδασκόντων *προστίθ. Gesner*

ταρωμένους, προσεύχεσθε ὑπὲρ τῶν διωκτῶν σας, διὰ νὰ γίνετε υἱοὶ τοῦ Πατρός τοῦ εἰς τοὺς οὐρανούς, ὁ ὁποῖος ἀνατέλλει τὸν ἥλιον αὐτοῦ διὰ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει διὰ δικαίους καὶ ἀδίκους»[23].

Ἐπιτρέψατε, ἂν καὶ ὁ λόγος προεκάλεσεν ἐδῶ μεγάλην κραυγὴν ἀποδοκιμασίας[24], νὰ προχωρήσω μὲ παρρησίαν ὡς ἀπολογούμενος ἐνώπιον φιλοσόφων βασιλέων. Πράγματι, ποῖοι ἀπὸ ἐκείνους, οἱ ὁποῖοι ἢ ἀναλύουν τοὺς συλλογισμοὺς καὶ διαλύουν τὰς ἀμφιβολίας καὶ διασαφηνίζουν τὰς ἐτυμολογίας ἢ διευκρινίζουν τὰ ὁμώνυμα καὶ τὰ συνώνυμα καὶ τὰ κατηγορήματα καὶ τὰ ἀξιώματα καὶ τί εἶναι τὸ ὑποκείμενον καὶ τί τὸ κατηγορούμενον, ὑπόσχονται ὅτι θὰ καταστήσουν εὐτυχεῖς τοὺς μαθητάς των μὲ αὐτοὺς καὶ τοὺς παρομοίους λόγους; Τόσον καθαροὶ εἶναι ψυχικῶς ὥστε, ἀντὶ νὰ μισοῦν τοὺς ἐχθροὺς νὰ ἀγαποῦν καὶ ἀντί, τὸ συνηθέστερον, νὰ ὑβρίζουν τοὺς ἀρχίσαντας πρώτους τὰς λοιδορίας, νὰ εὐλογοῦν καὶ νὰ προσεύχωνται ὑπὲρ τῶν ἐπιβουλευομένων τὴν ζωήν των; Αὐτοὶ ἀντιθέτως πάντοτε ἐκμεταλλεύονται κακῶς δι' ἑαυτοὺς τὰ ἀπόρρητα ταῦτα καὶ ἐπιθυμοῦντες πάντοτε νὰ διαπράξουν κάτι κακόν, μεταβάλλοντες τὴν ἐνασχόλησίν των εἰς τέχνην λόγων καὶ ὄχι εἰς ἐπίδειξιν ἔργων. Πλησίον ἡμῶν ὅμως θὰ ἦτο δυνατὸν νὰ εὕρετε ἀμαθεῖς καὶ χειρώνακτας καὶ γραίας ἐπιδεικνύοντας δι' ἔργου τὴν ὠφέλειαν ἀπὸ τὴν πίστιν των, ἔστω καὶ ἂν εἶναι ἀνίκανοι νὰ παραστήσουν διὰ τῶν λόγων τὴν ὠφέλειαν ἐκ τῆς διδασκαλίας· διότι δὲν ἀπομνημονεύουν λόγους, ἀλλ' ἐπιδεικνύουν πράξεις ἀγαθάς, κτυπώμενοι νὰ μὴ ἀντικτυποῦν καὶ ληστευόμενοι νὰ μὴ ὁδηγοῦν εἰς τὰ δικαστήρια, εἰς τοὺς ζητοῦντας νὰ δίδουν καὶ τοὺς πλησίον νὰ ἀγαποῦν ὡς ἑαυτούς.

12 Ἆρα λοιπόν, ἐὰν δὲν ἐπιστεύομεν ὅτι ἐπὶ τοῦ ἀνθρωπίνου βίου κυριαρχεῖ ὁ Θεός, θὰ ἦτο δυνατὸν νὰ ζῶμεν μὲ τόσην κα-

23. Ματθ. 5,44 ἑ. Λουκᾶ 6,27 ἑ.

24. Ὁ Ἀθηναγόρας διατείνεται ἐδῶ ὅτι τὰ γραπτά του, ὡσὰν δυσάρεστοι λόγοι ῥήτορος, θὰ προκαλέσουν τὴν ἀποδοκιμασίαν τῶν αὐτοκρατόρων. Φαίνεται ὅμως ὡσὰν νὰ ἐξεφωνοῦντο ἐνώπιόν του.

εἰπεῖν, ἀλλ' ἐπεὶ πεπείσμεθα ὑφέξειν παντὸς τοῦ ἐνταῦθα βίου λόγον τῷ πεποιηκότι καὶ ἡμᾶς καὶ τὸν κόσμον Θεῷ, τὸν μέτριον καὶ φιλάνθρωπον καὶ εὐκαταφρόνητον βίον αἱρούμεθα, οὐδὲν τηλικοῦτον πείσεσθαι κακὸν ἐνταῦθα νομίζοντες κἂν τὰς ψυχὰς ἡμᾶς ἀφαιρῶνταί τινες, οἷον ἐκεῖ κομιούμεθα τοῦ πράου καὶ φιλανθρώπου καὶ ἐπιεικοῦς βίου παρὰ τοῦ μεγάλου δικαστοῦ.

Πλάτων μὲν οὖν Μίνω καὶ Ραδάμανθυν δικάσειν καὶ κολάσειν τοὺς πονηροὺς ἔφη, ἡμεῖς δὲ κἂν Μίνως τις κἂν Ραδάμανθυς ᾖ κἂν ὁ τούτων πατήρ, οὐδὲ τοῦτόν φαμεν διαφεύξεσθαι τὴν κρίσιν τοῦ Θεοῦ. Εἶθ' οἱ μὲν τὸν βίον τοῦτον νομίζοντες «φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν» καὶ τὸν θάνατον βαθὺν ὕπνον καὶ λήθην τιθέμενοι (ὕπνος καὶ θάνατος διδυμάονε) πιστεύονται θεοσεβεῖν· ἄνθρωποι δὲ τὸν μὲν ἐνταῦθα ὀλίγου καὶ μικροῦ τινος ἄξιον βίον λελογισμένοι, ὑπὸ μόνου δὲ παραπεμπόμενοι τοῦ τὸν ὄντως Θεὸν καὶ τὸν παρ' αὐτοῦ λόγον εἰδέναι, τίς ἡ τοῦ Παιδὸς πρὸς τὸν Πατέρα ἑνότης, τίς ἡ τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν κοινωνία, τί τὸ Πνεῦμα, τίς ἡ τῶν τοσούτων ἕνωσις καὶ διαίρεσις ἑνουμένων, τοῦ Πνεύματος, τοῦ Παιδός, τοῦ Πατρός, πολὺ δὲ καὶ κρείττον' ἢ εἰπεῖν λόγῳ τὸν ἐκδεχόμενον βίον εἰδότες, ἐὰν καθαροὶ ὄντες ἀπὸ παντὸς παραπεμφθῶμεν ἀδικήματος, μέχρι τοσούτου δὲ φιλανθρωπότατοι ὥστε μὴ μόνον στέργειν τοὺς φίλους («ἐὰν γὰρ ἀγαπᾶτε», φησί, «τοὺς ἀγαπῶντας καὶ δανείζετε τοῖς δανείζουσιν ὑμῖν, τίνα μισθὸν ἕξετε;»), τοιοῦτοι δὲ ἡμεῖς ὄντες καὶ τὸν τοιοῦτον βιοῦντες βίον ἵνα κριθῆναι διαφύγωμεν, ἀπιστούμεθα θεοσεβεῖν;

Ταῦτα μὲν οὖν μικρὰ ἀπὸ μεγάλων καὶ ὀλίγα ἀπὸ πολ-

5 τὰς ψυχὰς *Geffeken* τῆς ψυχῆς *Π* τὴν ψυχὴν *Schwartz*
5 οἷον *Wilamowitz* ὧν *Π*

θαρότητα; Δὲν εἶναι δυνατὸν τοῦτο ἀλλὰ ἐκλέγομεν τὸν μετριοπαθῆ καὶ φιλάνθρωπον καὶ ταπεινὸν βίον, ἐπειδὴ εἴμεθα πεπεισμένοι ὅτι θὰ δώσωμεν λόγον εἰς τὸν ποιήσαντα καὶ ἡμᾶς καὶ τὸν κόσμον Θεὸν δι' ὅλην τὴν ἐδῶ διαγωγήν μας, φρονοῦντες ὅτι δὲν θὰ πάθωμεν ἐδῶ, ἀκόμη καὶ ἂν κάποιοι μᾶς ἀφαιρέσουν τὰς ψυχάς, κανὲν κακὸν τόσον μέγα, ὅσον μέγα θὰ ἀποκομίσωμεν ἐκεῖ ἀπὸ τὸν μέγαν δικαστὴν λόγω τοῦ πράου καὶ φιλανθρώπου καὶ ἐπιεικοῦς βίου.

Ὁ Πλάτων λοιπὸν εἶπεν ὅτι ὁ Μίνως καὶ ὁ Ραδάμανθυς θὰ δικάσουν καὶ θὰ τιμωρήσουν τοὺς πονηρούς, ἡμεῖς δὲ λέγομεν ὅτι καὶ ἂν εἶναι κανεὶς Μίνως καὶ Ραδάμανθυς ἢ ὁ πατὴρ αὐτῶν, οὔτε αὐτὸς δὲν θὰ διαφύγῃ τὴν κρίσιν τοῦ Θεοῦ. Ἔπειτα οἱ νομίζοντες τὸν βίον τοῦτον «φάγωμεν καὶ πίωμεν διότι αὔριον ἀποθνήσκομεν»[25], καὶ θεωροῦντες τὸν θάνατον ὕπνον βαθὺν καὶ λήθην («ὁ ὕπνος καὶ ὁ θάνατος εἶναι δίδυμοι θεοὶ»)[26] κρίνονται θεοσεβεῖς. Ἄλλοι δὲ ἄνθρωποι, ἡμεῖς, οἱ ὁποῖοι θεωροῦμεν τὸν ἐδῶ βίον ὀλίγης ἢ μικρᾶς ἀξίας, ὁδηγούμεθα δὲ ὑπὸ μόνου τοῦ πόθου νὰ γνωρίσωμεν τὸν ὄντως Θεὸν καὶ τὸν Λόγον αὐτοῦ, ποία εἶναι ἡ ἑνότης τοῦ Παιδὸς πρὸς τὸν Πατέρα, ποία ἡ κοινωνία τοῦ Πατρὸς πρὸς τὸν Υἱόν, τί εἶναι τὸ Πνεῦμα, ποία ἡ ἕνωσις τῶν τριῶν τούτων καὶ διάκρισις ἐν τῇ ἑνώσει, τοῦ Πνεύματος, τοῦ Παιδός, τοῦ Πατρός, γνωρίζομεν δὲ ὅτι ὁ ἀναμενόμενος βίος εἶναι πολὺ ἀνώτερος περιγραφῆς διὰ λόγου, ἐὰν φθάσωμεν εἰς αὐτὸν καθαροὶ ἀπὸ πᾶν ἀδίκημα, εἴμεθα δὲ μέχρι τοιούτου σημείου φιλανθρωπότατοι, ὥστε νὰ ἀγαπῶμεν ὄχι μόνον τοὺς φίλους ἡμῶν («διότι ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας», λέγει, «καὶ δανείζετε εἰς τοὺς δανειστάς σας, ποῖον μισθὸν θὰ ἔχετε;»)[27]· ἀφοῦ λοιπὸν ἡμεῖς εἴμεθα τοιοῦτοι ἄνθρωποι καὶ ζῶμεν τοιοῦτον βίον, διὰ νὰ διαφύγωμεν τὴν κατάκρισιν, μᾶς ἀμφισβητεῖται ὅτι θεοσεβοῦμεν;

Αὐτὰ τὰ σημεῖα, μικρὰ ἀπὸ μεγάλα καὶ ὀλίγα ἀπὸ πολλά,

25. Ἠσ. 22,13. Α' Κορ. 15,32.
26. *Ἰλιὰς* Π 672.
27. Λουκᾶ 6,32 · 34.

*λῶν, ἵνα μὴ ἐπὶ πλεῖον ὑμῖν ἐνοχλοίημεν· καὶ γὰρ τὸ μέλι καὶ τὸν ὀρὸν δοκιμάζοντες μικρῷ μέρει τοῦ παντὸς τὸ πᾶν εἰ καλὸν δοκιμάζουσιν.*

## *ΑΙ ΑΔΥΝΑΜΙΑΙ ΤΗΣ ΕΙΔΩΛΟΛΑΤΡΙΑΣ*

13 *Ἐπεὶ δὲ οἱ πολλοὶ τῶν ἐπικαλούντων ἡμῖν τὴν ἀθεότητα οὐδ᾽ ὄναρ τί ἐστι Θεὸν ἐγνωκότες, ἀμαθεῖς καὶ ἀθεώρητοι ὄντες τοῦ φυσικοῦ καὶ τοῦ θεολογικοῦ λόγου, μετροῦντες τὴν εὐσέβειαν θυσιῶν νόμῳ, ἐπικαλοῦσιν τὸ μὴ καὶ τοὺς αὐτοὺς ταῖς πόλεσι θεοὺς ἄγειν, σκέψασθαί μοι, αὐτοκράτορες, ὧδε περὶ ἑκατέρων, καὶ πρῶτόν γε περὶ τοῦ μὴ θύειν. Ὁ τοῦδε τοῦ παντὸς δημιουργὸς καὶ Πατὴρ οὐ δεῖται αἵματος οὐδὲ κνίσης οὐδὲ τῆς ἀπὸ τῶν ἀνθῶν καὶ θυμιαμάτων εὐωδίας, αὐτὸς ὢν ἡ τελεία εὐωδία, ἀνενδεὴς καὶ ἀπροσδεής· ἀλλὰ θυσία αὐτῷ μεγίστη, ἂν γινώσκωμεν τίς ἐξέτεινε καὶ συνεσφαίρωσεν τοὺς οὐρανοὺς καὶ τὴν γῆν κέντρου δίκην ἥδρασε, τίς συνήγαγε τὸ ὕδωρ εἰς θαλάσσας καὶ διέκρινεν τὸ φῶς ἀπὸ τοῦ σκότους, τίς ἐκόσμησεν ἄστροις τὸν αἰθέρα καὶ ἐποίησεν πᾶν σπέρμα τὴν γῆν ἀναβάλλειν, τίς ἐποίησεν ζῷα καὶ ἄνθρωπον ἔπλασεν. Ὅταν οὖν ἔχοντες τὸν δημιουργὸν Θεὸν συνέχοντα καὶ ἐποπτεύοντα ἐπιστήμῃ καὶ τέχνῃ καθ᾽ ἣν ἄγει τὰ πάντα, «ἐπαίρωμεν ὁσίους χεῖρας» αὐτῷ, ποίας ἔτι χρείαν ἑκατόμβης ἔχει;*

*«καὶ τοὺς μὲν θυσίῃσι καὶ εὐχωλῇς ἀγανῇσι*
*λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ᾽ ἄνθρωποι*
*λισσόμενοι, ὅτε κέν τις ὑπερβαίῃ καὶ ἁμάρτῃ».*

18 οὖν *προστίθ. Maran*

εἶναι ἀρκετά, διὰ νὰ μὴ σᾶς ἐνοχλοῦμεν περισσότερον· διότι οἱ δοκιμάζοντες τὸ μέλι καὶ τὸν ὀρὸν μὲ μικρὸν δεῖγμα ἀπὸ τὸ σύνολον δοκιμάζουν ἂν εἶναι καλὸν τὸ σύνολον.

## ΑΙ ΑΔΥΝΑΜΙΑΙ ΤΗΣ ΕΙΔΩΛΟΛΑΤΡΙΑΣ

13 Ἐπειδὴ δὲ οἱ πολλοὶ ἀπὸ τοὺς κατηγοροῦντας ἡμᾶς δι' ἀθεότητα δὲν ἔχουν γνωρίσει οὔτε εἰς ὄνειρον τί εἶναι ὁ Θεός, ὄντες ἀμαθεῖς καὶ ἀδαεῖς εἰς τὴν φυσικὴν καὶ τὴν θεολογίαν, μετροῦντες τὴν θρησκείαν βάσει τῆς τηρήσεως τῶν θυσιῶν, κατηγοροῦν ἡμᾶς ὅτι δὲν δεχόμεθα τοὺς ἰδίους μὲ τὰς πόλεις θεούς, προσέξατέ με ἐδῶ, αὐτοκράτορες, δι' ἀμφότερα· καὶ πρῶτον περὶ τοῦ ὅτι δὲν θυσιάζομεν. Ὁ δημιουργὸς καὶ Πατὴρ τοῦ σύμπαντος τούτου δὲν χρειάζεται αἷμα οὔτε κνίσαν οὔτε τὴν εὐωδίαν ἀπὸ τὰ ἄνθη καὶ τὰ θυμιάματα, ἐφ' ὅσον αὐτὸς εἶναι ἡ τελεία εὐωδία, ἀνενδεὴς καὶ αὐτάρκης. Μεγίστη θυσία πρὸς αὐτὸν εἶναι νὰ γνωρίζωμεν ποῖος ἥπλωσε καὶ ἐσφαίρωσε τοὺς οὐρανοὺς καὶ ἐστερέωσε τὴν γῆν ὡσὰν κέντρον, ποῖος συνεκέντρωσε τὸ ὕδωρ εἰς θαλάσσας καὶ διεχώρισε τὸ φῶς ἀπὸ τὸ σκότος, ποῖος ἐκόσμησε τὸν αἰθέρα μὲ ἄστρα καὶ ἔκαμε τὴν γῆν νὰ ἐκβάλλῃ πᾶν σπέρμα, ποῖος ἐδημιούργησε τὰ ζῶα καὶ ἔπλασε τὸν ἄνθρωπον. Ὅταν λοιπόν, ἔχοντες τὸν δημιουργὸν Θεὸν συγκρατητὴν καὶ ἐπόπτην νὰ ἄγῃ τὰ πάντα μὲ ἐπιστήμην καὶ τέχνην, «ὑψώνωμεν ὁσίας χεῖρας»[28] πρὸς αὐτόν, ποίαν ἄλλην ἑκατόμβην ἔχει;

«Μὲ θυσίας καὶ ἡσύχους προσευχάς,
μὲ σπονδὴν καὶ κνίσαν οἱ ἄνθρωποι τοὺς ἱκετεύουν
καὶ τοὺς ἐξιλεώνουν, ὅταν κανεὶς παρανομήσῃ καὶ ἁμαρτήσῃ»[29].

---

28. Α΄ Τιμ. 2,8.
29. *Ἰλιὰς* I 499–501.

*Τί δεῖ μοι ὁλοκαυτώσεων, ὧν μὴ δεῖται ὁ Θεός; Καὶ προσφορῶν, δέον ἀναίμακτον θυσίαν τὴν λογικὴν προσάγειν λατρείαν;*

14 *Ὁ δὲ περὶ τοῦ μὴ προσιέναι καὶ τοὺς αὐτοὺς ταῖς πόλεσιν θεοὺς ἄγειν πάνυ αὐτοῖς εὐήθης λόγος· ἀλλ' οὐδὲ οἱ ἡμῖν ἐπικαλοῦντες ἀθεότητα, ἐπεὶ μὴ τοὺς αὐτοὺς οἷς ἴσασι νομίζομεν, σφίσιν αὐτοῖς συμφωνοῦσιν περὶ θεῶν, ἀλλ' Ἀθηναῖοι μὲν Κελεὸν καὶ Μετάνειραν ἵδρυνται θεούς, Λακεδαιμόνιοι δὲ Μενέλεων καὶ θύουσιν αὐτῷ καὶ ἑορτάζουσιν, Ἰλιεῖς δὲ οὐδὲ τὸ ὄνομα ἀκούοντες Ἕκτορα φέρουσιν, Κεῖοι Ἀρισταῖον, τὸν αὐτὸν καὶ Δία καὶ Ἀπόλλω νομίζοντες, Θάσιοι Θεαγένην, ὑφ' οὗ καὶ φόνος Ὀλυμπίασιν ἐγένετο, Σάμιοι Λύσανδρον ἐπὶ τοσαύταις σφαγαῖς καὶ τοσούτοις κακοῖς, Μήδειαν ἢ Νιόβην Κίλικες, Σικελοὶ Φίλιππον τὸν Βουτακίδου, Ὀνησίλαον Ἀμαθούσιοι, Ἀμίλκαν Καρχηδόνιοι· ἐπιλείψει με ἡ ἡμέρα τὸ πλῆθος καταλέγοντα.*

Καὶ ὅμως πᾶν ἄλλο παρὰ θεολογοῦν οἱ πλάττοντες θεοὺς ἐκ τῶν μύθων, μὴ γνωρίζοντες ὅτι μὲ ὅσα ἀπολογοῦνται ὑπὲρ τῶν θεῶν, ἐπιβεβαιώνουν τοὺς ἐναντίον των ὀνειδισμούς. Τί ἔχει νὰ κάμη μὲ τὴν γῆν καὶ τὸν ἀέρα ἡ Εὐρώπη καὶ ὁ Ταῦρος καὶ ὁ Κύκνος καὶ ἡ Λήδα, ὥστε ἡ μιαρὰ πρὸς αὐτὰς μῖξις τοῦ Διὸς νὰ παριστάνη τὴν σχέσιν γῆς καὶ ἀέρος; Ἀλλὰ ἐκπίπτοντες τοῦ μεγαλείου τοῦ Θεοῦ καὶ μὴ δυνάμενοι νὰ ἀνέλθουν ὑψηλὰ μὲ τὸν λόγον (διότι δὲν ἔχουν συμπάθειαν πρὸς τὸν οὐ-

*συμπάθειαν εἰς τὸν οὐράνιον τόπον) οὐ δυνάμενοι, ἐπὶ τὰ εἴδη τῆς ὕλης συντετήκασιν καὶ καταπίπτοντες τὰς τῶν στοιχείων τροπὰς θεοποιοῦσιν, ὅμοιον εἰ καὶ ναῦν τις, ἐν ᾗ ἔπλευσεν, ἀντὶ τοῦ κυβερνήτου ἄγοι. Ὡς δὲ οὐδὲν πλέον νεώς, κἂν ᾖ πᾶσιν ἠσκημένη, μὴ ἐχούσης τὸν κυβερνήτην, οὐδὲ τῶν στοιχείων ὄφελος διακεκοσμημένων δίχα τῆς παρὰ τοῦ Θεοῦ προνοίας. Ἥ τε γὰρ ναῦς καθ' ἑαυτὴν οὐ πλευσεῖται τά τε στοιχεῖα χωρὶς τοῦ δημιουργοῦ οὐ κινηθήσεται.*

23 *Εἴποιτε ἂν οὖν συνέσει πάντας ὑπερέχοντες· τίνι οὖν τῷ λόγῳ ἔνια τῶν εἰδώλων ἐνεργεῖ, εἰ μὴ εἰσὶν θεοὶ ἐφ' οἷς ἱδρυόμεθα τὰ ἀγάλματα; Οὐ γὰρ εἰκὸς τὰς ἀψύχους καὶ ἀκινήτους εἰκόνας καθ' ἑαυτὰς ἰσχύειν χωρὶς τοῦ κινοῦντος. Τὸ μὲν δὴ κατὰ τόπους καὶ πόλεις καὶ ἔθνη γίγνεσθαί τινας ἐπ' ὀνόματι εἰδώλων ἐνεργείας οὐδ' ἡμεῖς ἀντιλέγομεν· οὐ μὴν εἰ ὠφελήθησάν τινες καὶ αὖ ἐλυπήθησαν ἕτεροι, θεοὺς νοοῦμεν τοὺς ἐφ' ἑκάτερα ἐνεργήσαντας, ἀλλὰ καὶ ᾧ λόγῳ νομίζετε ἰσχύειν τὰ εἴδωλα καὶ τίνες οἱ ἐνεργοῦντες, ἐπιβατεύοντες αὐτῶν τοῖς ὀνόμασιν, ἐπ' ἀκριβὲς ἐξητάκαμεν. Ἀναγκαῖον δέ μοι μέλλοντι δεικνύειν τίνες οἱ ἐπὶ τοῖς εἰδώλοις ἐνεργοῦντες καὶ ὅτι μὴ θεοί, προσχρήσασθαί τισι καὶ τῶν ἀπὸ φιλοσοφίας μάρτυσιν.*

*Πρῶτος Θαλῆς διαιρεῖ, ὡς οἱ τὰ ἐκείνου ἀκριβοῦντες μνημονεύουσιν, εἰς θεόν, εἰς δαίμονας, εἰς ἥρωας. Ἀλλὰ θεὸν μὲν τὸν νοῦν τοῦ κόσμου ἄγει, δαίμονας δὲ οὐσίας νοεῖ ψυχικάς, καὶ ἥρωας τὰς κεχωρισμένας ψυχὰς τῶν ἀνθρώπων, ἀγαθοὺς μὲν τὰς ἀγαθάς, κακοὺς δὲ τὰς φαύλους.*

*Πλάτων δὲ τὰ ἄλλα ἐπέχων καὶ αὐτὸς εἴς τε τὸν ἀγέννητον Θεὸν καὶ τοὺς ὑπὸ τοῦ ἀγενήτου εἰς κόσμον τοῦ οὐρανοῦ γεγονότας, τούς τε πλανήτας καὶ τοὺς ἀπλανεῖς ἀστέρας, καὶ εἰς*

ράνιον τόπον), ἔχουν λειώσει μαζὶ μὲ τὰ εἴδη τῆς ὕλης καὶ πίπτοντες κάτω θεοποιοῦν τὰς μετατροπὰς τῶν στοιχείων, ὠσὰν ἐπιβάτης νὰ ὁδηγῇ τὸ πλοῖον μὲ τὸ ὁποῖον πλέει ἀντὶ τοῦ πλοιάρχου. Ὅπως δὲ τὸ πλοῖον δὲν ἀξίζει τίποτε πλέον, ἀκόμη καὶ ἂν εἶναι καθ' ὅλα κατάλληλον, ἐὰν δὲν ἔχῃ τὸν κυβερνήτην, οὔτε τὰ στοιχεῖα δὲν ὠφελοῦν, ἂν καὶ καλῶς τακτοποιημένα, χωρὶς τὴν πρόνοιαν τοῦ Θεοῦ. Καὶ ἡ ναῦς δὲν θὰ πλεύσῃ μόνη της καὶ τὰ στοιχεῖα δὲν θὰ κινηθοῦν χωρὶς τὸν δημιουργόν.

23 Ἐφ' ὅσον ὑπερέχετε πάντας εἰς σύνεσιν θὰ ἠδύνασθε νὰ εἴπετε· μὲ ποίαν ἱκανότητα θευματουργοῦν μερικὰ εἴδωλα, ἐὰν δὲν ὑπάρχουν θεοὶ πρὸς τοὺς ὁποίους κατασκευάζομεν τὰ ἀγάλματα; Διότι δὲν εἶνα εὔλογον ὅτι αἱ ἄψυχοι καὶ ἀκίνητοι εἰκόνες ἔχουν καθ' ἑαυτὰς ἰσχὺν χωρὶς τὸν κινοῦντα. Τὸ ὅτι γίνονται μερικαὶ θαυμασταὶ ἐνέργειαι κατὰ τόπους εἰς πόλεις καὶ ἔθνη δὲν ἀντιλέγομεν οὔτε ἡμεῖς. Ἀλλὰ πάντως, ἂν ὠφελήθησαν μερικοὶ καὶ ἀπὸ τὴν ἄλλην πλευρὰν ἐλυπήθησαν ἄλλοι, δὲν θεωροῦμεν θεοὺς τοὺς ἐνεργήσαντας πρὸς ἀμφοτέρας τὰς κατευθύνσεις· ἀλλὰ ἐξητάσαμεν μὲ προσοχήν, διὰ ποῖον λόγον νομίζετε ὅτι ἔχουν ἰσχὺν τὰ εἴδωλα καὶ ποῖοι εἶναι οἱ ἐνεργοῦντες ὑποδυόμενοι τὰ ὀνόματά των. Εἶναι δὲ ἀναγκαῖον, καθὼς πρόκειται νὰ δείξω ποῖοι εἶναι οἱ ἐνεργοῦντες ἐπ' ὀνόματι τῶν εἰδώλων καὶ ὅτι αὐτοὶ δὲν εἶναι θεοί, νὰ ἐπικαλεσθῶ μάρτυρας καὶ μερικοὺς φιλοσόφους.

Πρῶτος ὁ Θαλῆς, ὅπως ἀναφέρουν οἱ καλῶς μελετήσαντες τὰς ἀπόψεις του, χωρίζει τὰ ἀνώτερα ὄντα εἰς θεόν, δαίμονας, ἥρωας. Ἀλλὰ θεὸν μὲν δέχεται τὸν νοῦν τοῦ κόσμου, δαίμονας δὲ ἐννοεῖ οὐσίας ψυχικὰς καὶ ἥρωας τὰς χωριστὰς ψυχὰς τῶν ἀνθρώπων, ἀγαθοὺς μὲν τὰς ἀγαθάς, κακοὺς δὲ τὰς φαύλας.

Ὁ δὲ Πλάτων[65], ἂν καὶ ἐπιφυλάσσεται εἰς τὰ ἄλλα σημεῖα, χωρίζει καὶ αὐτὸς ταῦτα εἰς τὸν ἄκτιστον Θεὸν καὶ τοὺς ὑπὸ τοῦ ἀκτίστου δημιουργηθέντας πρὸς στολισμὸν τοῦ οὐρανοῦ, τοὺς πλανήτας καὶ τοὺς ἀπλοϊκοὺς ἀστέρας, καὶ εἰς δαίμονας.

65. Ὁ Θαλῆς δὲν ἄφησε βιβλία καὶ ὁ Ἀθηναγόρας ὁμολογεῖ ὅτι τὰς ἀπόψεις του γνωρίζει διὰ μέσου τρίτων.

*δαίμονας τέμνει· περὶ ὧν δαιμόνων αὐτὸς ἀπαξιῶν λέγειν τοῖς περὶ αὐτῶν εἰρηκόσιν προσέχειν ἀξιοῖ.*

*«Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς, πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐγγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς γέ που τοὺς ἑαυτῶν προγόνους εἰδότων· ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, κἄνπερ ἄνευ εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγωσιν, ἀλλὰ ὡς οἰκεῖα φασκόντων ἀπαγγέλλειν ἑπομένους τῷ νόμῳ πιστευτέον. Οὕτως οὖν κατ' ἐκείνους καὶ ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω. Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγεννήθησαν, τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα καὶ ὅσοι μετὰ τούτων, ἐκ δὲ Κρόνου τε καὶ Ῥέας Ζεὺς Ἥρα τε καὶ πάντες, οὓς ἴσμεν ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε τούτων ἄλλους ἐκγόνους».*

*Ἆρ' οὖν ὁ τὸν ἀΐδιον νῷ καὶ λόγῳ καταλαμβανόμενον περινοήσας Θεὸν καὶ τὰ ἐπισυμβεβηκότα αὐτῷ ἐξειπών, τὸ ὄντως ὄν, τὸ μονοφυές, τὸ ἀγαθὸν ἀπ' αὐτοῦ ἀποχεόμενον, ὅπερ ἐστὶν ἀλήθεια, καὶ περὶ «πρώτης δυνάμεως» καὶ «περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶν καὶ ἐκείνου ἕνεκεν πάντα καὶ ἐκεῖνο αἴτιον πάντων» καὶ περὶ δευτέρου καὶ τρίτου, «δεύτερον δὲ περὶ τὰ δεύτερα καὶ τρίτον περὶ τὰ τρίτα», περὶ τῶν ἐκ τῶν αἰσθητῶν, γῆς τε καὶ οὐρανοῦ, λεγομένων γεγονέναι μεῖζον ἢ καθ' ἑαυτὸν τἀληθὲς μαθεῖν ἐνόμισεν; Ἢ οὐκ ἔστιν εἰπεῖν. Ἀλλ' ἐπεὶ ἀδύνατον γεννᾶν καὶ ἀποκυΐσκεσθαι θεοὺς ἐνόμισεν, ἑπομένως τοῖς γιγνομένοις τελῶν, καί, τὸ τούτου ἀδυνατώτερον, μεταπεῖ-*

13 ἴσμεν *Πλάτων* ἴσμεν πάντας *Π*

66. ΠΛΑΤΩΝΟΣ, *Τίμαιος* 40d. Βλ. ΚΛΗΜΕΝΤΟΣ, *Στρωματεῖς* 5,13,85. ΕΥΣΕΒΙΟΥ, *Εὐαγγελικὴ Προπαρασκευὴ* 2,7,1. 13,1. 13,14,5.

Περὶ τῶν δαιμόνων τούτων ἀπαξιῶν αὐτὸς νὰ ὁμιλήσῃ ζητεῖ νὰ προσέξωμεν τοὺς περὶ αὐτῶν εἰπόντας.

«Περὶ δὲ τῶν ἄλλων δαιμόνων τὸ νὰ εἴπωμεν καὶ γνωρίσωμεν τὴν γένεσιν ὑπερβαίνει τὰς δυνάμεις μας, πρέπει δὲ νὰ πεισθῶμεν εἰς τοὺς προηγουμένως ὁμιλήσαντας, οἱ ὁποῖοι, ὅπως εἶπαν, εἶναι ἀπόγονοι τῶν θεῶν καὶ ὁπωσδήποτε ἔχουν γνωρίσει σαφῶς τοὺς προγόνους των. Εἶναι λοιπὸν ἀδύνατον νὰ δυσπιστῶμεν εἰς αὐτούς, ἀφοῦ εἶναι παῖδες θεῶν, ἀκόμη καὶ ἂν ὁμιλοῦν χωρὶς εὐλόγους καὶ πειστικὰς ἀποδείξεις· πρέπει ἀντιθέτως συμφώνως πρὸς τὴν συνήθειαν νὰ πιστεύσωμεν αὐτοὺς ὡς ὁμιλοῦντας περὶ οἰκογενειακῶν ὑποθέσεων. Ἂς υἱοθετήσωμεν λοιπὸν καὶ ἡμεῖς τὰς ἀπόψεις ἐκείνων ὡς πρὸς τὴν γένεσιν τῶν θεῶν τούτων καὶ ἂς τὰς ἐκθέσωμεν. Ἐκ τῆς Γῆς καὶ τοῦ Οὐρανοῦ ἐγεννήθησαν παιδία ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς, τούτων δὲ ὁ Φόρκυς, ἡ Ρέα καὶ οἱ ὑπόλοιποι μετ' αὐτῶν, ἐκ δὲ τοῦ Κρόνου καὶ τῆς Ρέας ὁ Ζεύς, ἡ Ἥρα καὶ ὅλοι ὅσους ἔχομεν μάθει ὅτι λέγονται ἀδελφοὶ αὐτῶν, προσέτι δὲ ἄλλοι ἀπόγονοι»[66].

Ἆραγε λοιπὸν ἐκεῖνος ὁ ὁποῖος κατενόησε τὸν ἀΐδιον Θεόν, ἂν καὶ αὐτὸς καταλαμβάνεται μόνον μὲ τὸν νοῦν καὶ τὸν λόγον, καὶ διεκήρυξε τὰ ἰδιώματά του, τὸ ὄντως ὄν, τὸ μοναδικόν, τὸ ἀγαθὸν ἐκχυνόμενον ἀπ' αὐτοῦ, ἐνόμισεν ὅτι τὸ νὰ μάθῃ τί εἶναι ἡ ἀλήθεια, δηλαδὴ περὶ «πρώτης δυνάμεως» καὶ ὅτι «ὅλα τὰ πράγματα περιβάλλουν τὸν βασιλέα καὶ ὅλα ὑπάρχουν ἐξ αἰτίας ἐκείνου καὶ ἐκεῖνο εἶναι αἴτιον πάντων», καὶ περὶ δευτέρου καὶ τρίτου, «τὸ δεύτερον δὲ περιβάλλει τὰ δεύτερα καὶ τὸ τρίτον τὰ τρίτα»[67], περὶ τῶν λεγομένων, ὅτι ἔγιναν ἐκ τῶν αἰσθητῶν, τῆς γῆς καὶ τοῦ οὐρανοῦ, ἐνόμισε λοιπὸν ὅτι τὸ νὰ μάθῃ τὸ ἀληθὲς εἶναι ὑπεράνω τῶν δυνάμεών του; Πράγματι δὲν εἶναι δυνατὸν νὰ τὸ εἴπωμεν. Ἀλλ' ἐπειδὴ ἐνόμισεν ὅτι εἶναι ἀδύνατον νὰ γεννοῦν καὶ νὰ γεννῶνται θεοί, ἐφ' ὅσον τὰ γινόμενα ἔχουν τέλος, καὶ ἀδυνατώτερον ἀπὸ αὐτὸ τὸ νὰ μεταπείσῃ τοὺς πολλούς, παραδεχομένους τοὺς μύθους ἀβασανίστως.

67. ΠΛΑΤΩΝΟΣ, *Β' Ἐπιστολὴ* 312e.

*σαι τοὺς πολλοὺς ἀβασανίστως τοὺς μύθους παραδεχομένους, διὰ ταῦτα μεῖζον ἢ καθ' ἑαυτὸν γνῶναι καὶ εἰπεῖν ἔφη περὶ τῆς τῶν ἄλλων δαιμόνων γενέσεως, οὔτε μαθεῖν οὔτε ἐξειπεῖν γεννᾶσθαι θεοὺς δυνάμενος.*

*Καὶ τὸ εἰρημένον αὐτῷ, «ὁ δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς, ἐλαύνων πτηνὸν ἅρμα, πρῶτος πορεύεται διακοσμῶν πάντα καὶ ἐπιμελούμενος, τῷ δὲ ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμόνων», οὐκ ἐπὶ τοῦ ἀπὸ Κρόνου λεγομένου ἔχει Διός· ἔστι γὰρ ἐν τούτῳ ὄνομα τῷ ποιητῇ τῶν ὅλων. Δηλοῖ δὲ καὶ αὐτὸς ὁ Πλάτων· ἑτέρῳ σημαντικῷ προσειπεῖν αὐτὸν οὐκ ἔχων, τῷ δημώδει ὀνόματι οὐχ ὡς ἰδίῳ τοῦ Θεοῦ, ἀλλ' εἰς σαφήνειαν, ὅτι μὴ δυνατὸν εἰς πάντας φέρειν τὸν Θεόν, κατὰ δύναμιν προσεχρήσατο, ἐπικατηγορήσας τὸ μέγας, ἵνα διαστείλῃ τὸν οὐράνιον ἀπὸ τοῦ χαμᾶθεν, τὸν ἀγένητον ἀπὸ τοῦ γενητοῦ, τοῦ νεωτέρου μὲν οὐρανοῦ καὶ γῆς, νεωτέρου δὲ Κρητῶν, οἳ ἐξέκλεψαν αὐτὸν μὴ ἀναιρεθῆναι ὑπὸ τοῦ πατρός.*

24 *Τί δὲ δεῖ πρὸς ὑμᾶς πάντα λόγον κεκινηκότας ἢ ποιητῶν μνημονεύειν ἢ καὶ ἑτέρας δόξας ἐξετάζειν, τοσοῦτον εἰπεῖν ἔχοντι; Εἰ καὶ μὴ ποιηταὶ καὶ φιλόσοφοι ἕνα μὲν εἶναι ἐπεγίνωσκον Θεόν, περὶ δὲ τούτων οἱ μὲν ὡς περὶ δαιμόνων, οἱ δὲ ὡς περὶ ὕλης, οἱ δὲ ὡς περὶ ἀνθρώπων γενομένων ἐφρόνουν, ἡμεῖς γε ἂν εἰκότως ἐξενηλατούμεθα, διαιρετικῷ λόγῳ καὶ περὶ Θεοῦ καὶ ὕλης καὶ περὶ τῆς τούτων αὐτῶν οὐσίας κεχρημένοι, ὡς γὰρ Θεόν φαμεν καὶ υἱὸν τὸν λόγον αὐτοῦ καὶ Πνεῦμα ἅγιον, ἑνούμενα κατὰ δύναμιν, τὸν Πατέρα, τὸν Υἱόν, τὸ Πνεῦμα, ὅτι νοῦς, λόγος, σοφία ὁ Υἱὸς τοῦ Πατρὸς καὶ ἀπόρροια ὡς φῶς ἀπὸ πυρὸς τὸ Πνεῦμα, οὕτως καὶ ἑτέρας εἶναι δυνάμεις κατειλήμμεθα*

---

68. ΠΛΑΤΩΝΟΣ, *Φαῖδρος* 246e.

69. Τοιαύτην διάκρισιν κάμνει καὶ ὁ ΣΕΝΕΚΑΣ, *Naturales Quaestiones*, 2, 45.

διὰ ταῦτα εἶπεν ὅτι εἶναι ὑπεράνω τῶν δυνάμεών του νὰ γνωρίση καὶ εἴπη περὶ τῆς γενέσεως τῶν ἄλλων δαιμόνων, μὴ δυνάμενος οὔτε νὰ μάθη οὔτε νὰ διακηρύξη ὅτι γεννῶνται οἱ θεοί.

Καὶ τὸ λεχθὲν ὑπ' αὐτοῦ, «ὁ μέγας ἡγεμὼν λοιπὸν ἐν οὐρανῷ Ζεύς, ὁδηγῶν πτερωτὸν ἅρμα, πρῶτος πορεύεται διὰ νὰ διακοσμήση τὰ πάντα καὶ ἐπιμεληθῆ τῶν πάντων, ἀκολουθεῖ δὲ αὐτὸν στρατιὰ θεῶν καὶ δαιμόνων»[68], δὲν ἀναφέρεται εἰς τὸν Δία τὸν προερχόμενον ἀπὸ τὸν Κρόνον· διότι εἰς τὴν περίστασιν ταύτην τὸ ὄνομα ἀναφέρεται εἰς τὸν ποιητὴν τῶν ὅλων. Μαρτυρεῖ δὲ τοῦτο καὶ ὁ ἴδιος ὁ Πλάτων, ὁ ὁποῖος ἀδυνατῶν νὰ τὸν προσαγορεύση μὲ ἄλλο ὄνομα, ἐχρησιμοποίησε κατὰ δύναμιν τὸ δημῶδες ὄνομα, ὄχι ὡς ἰδιαίτερον τοῦ Θεοῦ, ἀλλὰ χάριν σαφηνείας, διότι ἄλλως δὲν ἦτο δυνατὸν νὰ παρουσιάση εἰς ὅλους τὸν Θεόν, προσθέσας ὡς ἐπίθετον τὸ 'μέγας' διὰ νὰ διαστείλη τὸ οὐράνιον ἀπὸ τοῦ γηΐνου[69], τὸ ἄκτιστον ἀπὸ τοῦ κτιστοῦ, τοῦ νεωτέρου μὲν οὐρανοῦ καὶ γῆς, νεωτέρου δὲ τῶν Κρητῶν, οἱ ὁποῖοι τὸν ἀπήγαγον διὰ νὰ μὴ φονευθῆ ὑπὸ τοῦ πατρός[70].

24 Τί χρειάζεται ὅμως νὰ μνημονεύσω εἰς σᾶς, ποὺ ἔχετε προκαλέσει κάθε λόγον, ποιητὰς ἢ νὰ ἐξετάσω ἄλλας δοξασίας, ἀφοῦ τοῦτο μόνον ἔχω νὰ εἴπω[71]; Ἀκόμη καὶ ἂν οἱ ποιηταὶ καὶ οἱ φιλόσοφοι δὲν ἐπεγίνωσκον τὸν ἕνα Θεὸν καὶ ἐθεώρουν τούτους ἄλλοι μὲν ὡς δαίμονας, ἄλλοι δὲ ὡς ὕλην, ἄλλοι δὲ ὡς ὑπάρξαντας ἀνθρώπους, ἡμεῖς τάχα εὐλόγως θὰ ἐδιωκόμεθα διὰ τὸν λόγον ὅτι διακρίνομεν μεταξὺ Θεοῦ καὶ ὕλης καὶ μεταξὺ τῆς οὐσίας αὐτῶν; Διότι, καθὼς λέγομεν Θεὸν καὶ Υἱὸν τὸν Λόγον αὐτοῦ καὶ Πνεῦμα ἅγιον, ἑνούμενα κατὰ τὴν δύναμιν, τὸν Πατέρα, τὸν Υἱόν, τὸ Πνεῦμα, διότι ὁ Υἱὸς τοῦ Πατρὸς εἶναι νοῦς, λόγος, σοφία, καὶ τὸ Πνεῦμα ἀπόρροια ὡς φῶς ἀπὸ πῦρ, οὕτω ἔχομεν κατανοήσει ὅτι ὑπάρχουν καὶ ἄλλαι δυνάμεις περι-

---

70. Οἱ Κουρῆται.

71. Ὁ Μεθόδιος Ὀλύμπου, παρ' Ἐπιφανίῳ, *Πανάριον* 64,21 παραλαμβάνει τεμάχια ἐκ τοῦ παρόντος κεφαλαίου.

*περὶ τὴν ὕλην ἐχούσας καὶ δι' αὐτῆς, μίαν μὲν τὴν ἀντίθεον, οὐχ ὅτι ἀντιδοξοῦν τί ἐστι τῷ Θεῷ ὡς τῇ φιλίᾳ τὸ νεῖκος κατὰ τὸν Ἐμπεδοκλέα καὶ τῇ ἡμέρᾳ νὺξ κατὰ τὰ φαινόμενα (ἐπεὶ κἂν εἰ ἀνθειστήκει τι τῷ Θεῷ, ἐπαύσατο ἂν τοῦ εἶναι, λυθείσης αὐτοῦ τῇ τοῦ Θεοῦ δυνάμει καὶ ἰσχύϊ τῆς συστάσεως), ἀλλ' ὅτι τῷ τοῦ Θεοῦ ἀγαθῷ ὃ κατὰ συμβεβηκός ἐστιν αὐτῷ καὶ συνυπάρχον ὡς χρόα σώματι οὗ ἄνευ οὐκ ἔστιν (οὐχ ὡς μέρους ὄντος, ἀλλ' ὡς κατ' ἀνάγκην συνόντος παρακολουθήματος, ἡνωμένου καὶ συγκεχρωσμένου ὡς τῷ πυρὶ ξανθῷ εἶναι καὶ τῷ αἰθέρι κυανῷ), ἐναντίον ἐστὶ τὸ περὶ τὴν ὕλην ἔχον πνεῦμα, γενόμενον μὲν ὑπὸ τοῦ Θεοῦ, καθὸ καὶ οἱ λοιποὶ ὑπ' αὐτοῦ γεγόνασιν ἄγγελοι, καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ τοῖς τῆς ὕλης εἴδεσι πεπιστευμένον διοίκησιν.*

*Τούτῳ γὰρ ἡ τῶν ἀγγέλων σύστασις τῷ Θεῷ ἐπὶ προνοίᾳ γέγονε τοῖς ὑπ' αὐτοῦ διακεκοσμημένοις, ἵν' ᾖ τὴν μὲν παντελικὴν καὶ γενικὴν ὁ Θεὸς ἔχων τῶν ὅλων πρόνοιαν, τὴν δὲ ἐπὶ μέρους οἱ ἐπ' αὐτοῖς ταχθέντες ἄγγελοι. Ὡς δὲ καὶ ἐπὶ τῶν ἀνθρώπων αὐθαίρετον καὶ τὴν ἀρετὴν καὶ τὴν κακίαν ἐχόντων (ἐπεὶ οὐκ ἂν οὔτ' ἐτιμᾶτε τοὺς ἀγαθοὺς οὔτ' ἐκολάζετε τοὺς πονηρούς, εἰ μὴ ἐπ' αὐτοῖς ἦν καὶ ἡ κακία καὶ ἡ ἀρετή), οἱ μὲν σπουδαῖοι περὶ ἃ πιστεύονται ὑφ' ὑμῶν, οἱ δὲ ἄπιστοι εὑρίσκονται, καὶ τὸ κατὰ τοὺς ἀγγέλους ἐν ὁμοίῳ καθέστηκεν. Οἱ μὲν γὰρ ἄλλοι (αὐθαίρετοι δὴ γεγόνασιν ὑπὸ τοῦ Θεοῦ) ἔμειναν ἐφ' οἷς αὐτοὺς ἐποίησεν καὶ διέταξεν ὁ Θεός, οἱ δὲ ἐνύβρισαν καὶ τῇ τῆς οὐσίας ὑποστάσει καὶ τῇ ἀρχῇ οὗτός τε ὁ τῆς ὕλης καὶ τῶν ἐν αὐτῇ εἰδῶν ἄρχων καὶ ἕτεροι τῶν περὶ τὸ πρῶτον τοῦτο στε-*

---

12 πεπιστευμένον *Φώτιος* πιστευσάμενον *Π*

14 τούτῳ *Χ* τοῦτο *Π Ἐπιφάνιος* τούτων *Φώτιος*

16 ἔχων *προστίθ. Ἐπιφάνιος*

16 *μετὰ* πρόνοιαν *προστίθ.* τὸ κῦρος καὶ τὸ κράτος ἁπάντων αὐτὸς ἀνηρτημένος καὶ ὥσπερ σκάφος τῷ τῆς σοφίας οἴακι διευθύνων ἀκλινῶς τὸ πᾶν *Ἐπιφάνιος Geffeken*

βάλλουσαι καὶ διαπερῶσαι τὴν ὕλην. Μία ἀπὸ αὐτὰς εἶναι ἡ ἀντίθεος, ὄχι διότι ὑπάρχει κάτι τὸ ἀντιτιθέμενον εἰς τὸν Θεόν, ὅπως τὸ νεῖκος εἰς τὴν ἀγάπην κατὰ τὸν Ἐμπεδοκλῆ καὶ ἡ νὺξ εἰς τὴν ἡμέραν κατὰ τὸν φαινόμενον κόσμον (ἐπειδή, ἐὰν κάτι ἀντισταθῆ εἰς τὸν Θεόν, θὰ παύση νὰ ὑπάρχη, καθ' ὅσον ἡ σύστασίς του θὰ διαλυθῆ μὲ τὴν δύναμιν καὶ ἰσχὺν τοῦ Θεοῦ), ἀλλὰ διότι τὸ κατοικοῦν εἰς τὴν ὕλην πνεῦμα εἶναι ἐνάντιον εἰς τὴν ἀγαθότητα τοῦ Θεοῦ ἡ ὁποία εἶναι συνηρτημένη μὲ αὐτὸν καὶ συνυπάρχει μὲ αὐτὸν ὡς τὸ δέρμα μὲ τὸ σῶμα, χωρὶς νὰ δύναται νὰ ὑπάρχη χωρὶς αὐτὸ (ὄχι ὡσὰν νὰ εἶναι μέρος αὐτοῦ ἀλλὰ ὡς ἀναγκαίου συνυπάρχοντος παρακολουθήματος, ἡνωμένου καὶ ἀφωμοιωμένου, ὅπως εἶναι τὸ ξανθὸν χρῶμα μὲ τὸ πῦρ καὶ τὸ γαλανὸν μὲ τὸν αἰθέρα). Τὸ πνεῦμα τοῦτο ἔχει γίνει ὑπὸ τοῦ Θεοῦ, ὅπως ἔχουν γίνει ὑπ' αὐτοῦ καὶ οἱ λοιποὶ ἄγγελοι, καὶ ἔχει διαπιστευθῆ μὲ τὴν διοίκησιν τῆς ὕλης καὶ τῶν εἰδῶν τῆς ὕλης.

Διότι ἡ σύστασις τῶν ἀγγέλων ἐπραγματοποιήθη ὑπὸ τοῦ Θεοῦ χάριν προνοίας ἐπὶ τῶν ὑπ' αὐτοῦ διακοσμημένων πραγμάτων πρὸς τοῦτο, δηλαδὴ διὰ νὰ ἔχη τὴν μὲν ὁλοκληρωτικὴν καὶ γενικὴν πρόνοιαν τῶν ὅλων ὁ Θεός, τὴν δὲ ἐπὶ μέρους οἱ ἐπὶ τῶν μερῶν ἐμπεπιστευμένοι ἄγγελοι. Καθὼς δὲ καὶ ἐπὶ τῶν ἀνθρώπων, οἱ ὁποῖοι ἔχουν αὐτεξουσιότητα καὶ διὰ τὴν ἀρετὴν καὶ διὰ τὴν κακίαν (ἐπειδή, ἐὰν δὲν ἦτο εἰς τὴν χεῖρά των καὶ ἡ κακία καὶ ἡ ἀρετή, οὔτε θὰ ἐτιμᾶτε τοὺς ἀγαθοὺς οὔτε θὰ ἐκολάζετε τοὺς πονηρούς), ἄλλοι μὲν εὑρίσκονται σπουδαῖοι εἰς ὅσα τοὺς ἐμπιστεύεσθε, ἄλλοι δὲ ἄπιστοι, ὁμοίως συμβαίνει καὶ μὲ τοὺς ἀγγέλους. Διότι ἄλλοι μὲν (αὐτεξούσιοι βεβαίως ἔχουν γίνει ὑπὸ τοῦ Θεοῦ)[72] ἔμειναν εὐπειθεῖς δι' ὅσα τοὺς ἔκαμε καὶ τοὺς διέταξεν ὁ Θεός, ἄλλοι δὲ προσέβαλον τὴν ἰδικήν των φύσιν καὶ τὴν ἀρχήν, δηλαδὴ καὶ αὐτὸς ὁ ἄρχων τῆς ὕλης καὶ τῶν εἰς αὐτὴν εἰδῶν, καὶ ἄλλοι ἐκ τῶν τοποθετημένων εἰς τὸ

72. Βλ. περὶ τῆς ἀντιλήψεως ταύτης ΙΟΥΣΤΙΝΟΥ, *Β' Ἀπολογία* 7,5.

*ῥέωμα (ἴστε δὲ μηδὲν ἡμᾶς ἀμάρτυρον λέγειν, ἃ δὲ τοῖς προφήταις ἐκπεφώνηται μηνύειν), ἐκεῖνοι μὲν εἰς ἐπιθυμίαν πεσόντες παρθένων καὶ ἥττους σαρκὸς εὑρεθέντες, οὗτος δὲ ἀμελήσας καὶ πονηρὸς περὶ τὴν τῶν πεπιστευμένων γενόμενος διοίκησιν. Ἐκ μὲν οὖν τῶν περὶ τὰς παρθένους ἐχόντων οἱ καλούμενοι ἐγεννήθησαν γίγαντες. Εἰ δέ τις ἐκ μέρους εἴρηται περὶ τῶν γιγάντων καὶ ποιηταῖς λόγος, μὴ θαυμάσητε, τῆς θείας καὶ τῆς κοσμικῆς σοφίας ὅσον ἀλήθεια πιθανοῦ διαφέρει διαλλαττουσῶν καὶ τῆς μὲν οὔσης ἐπουρανίου, τῆς δὲ ἐπιγείου καὶ κατὰ τὸν ἄρχοντα τῆς ὕλης·*

*«ἴσμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα».*

*Οὗτοι τοίνυν οἱ ἄγγελοι οἱ ἐκπεσόντες τῶν οὐρανῶν, περὶ τὸν ἀέρα ἔχοντες καὶ τὴν γῆν, οὐκέτι εἰς τἄ ὑπερουράνια ὑπερκύψαι δυνάμενοι, καὶ αἱ τῶν γιγάντων ψυχαὶ οἱ περὶ τὸν κόσμον εἰσὶ πλανώμενοι δαίμονες, ὁμοίας κινήσεις οἱ μὲν αἷς ἔλαβον συστάσεσιν, οἱ δαίμονες, οἱ δὲ αἷς ἔσχον ἐπιθυμίαις, οἱ ἄγγελοι, ποιούμενοι. Ὁ δὲ τῆς ὕλης ἄρχων, ὡς ἔστιν ἐξ αὐτῶν τῶν γινομένων ἰδεῖν, ἐναντία τῷ ἀγαθῷ τοῦ Θεοῦ ἐπιτροπεύει καὶ διοικεῖ.*

*«πολλάκι μοι πραπίδων διῆλθε φροντίς,*
*εἴτε τύχα εἴτε δαίμων τὰ βρότεια κραίνει,*
*παρά τ' ἐλπίδα καὶ παρὰ δίκαν*
*τοὺς μὲν ἀπ' οἴκων δεινὰ πίπτοντας*
*ἀτὰρ Θεοῦ τοὺς εὐτυχοῦντας ἄγει».*

7 τῆς θείας καὶ *προστίθ. X μετὰ* κοσμικῆς *προστίθ.* καὶ τῆς προφητικῆς *Schwartz*

23 δεινὰ πίπτοντας *X* δ' ἐναπίπτοντας *Π*

---

73. Βλ. περὶ τούτων ΙΟΥΣΤΙΝΟΥ, *Β' Ἀπολογία* 5,3.

74. Ὁ Κλήμης ἀνέπτυξε διεξοδικώτερον τὸ θέμα τοῦτο, *Στρωματεῖς*, 1,5,30. 6,17,151 ἑέ.

πρῶτον τοῦτο στερέωμα (μάθετε δὲ ὅτι δὲν λέγομεν τίποτε ἀναπόδεικτον, ἀλλὰ διαμηνύομεν ὅσα ἔχουν προαναγγείλει οἱ προφῆται), ἐκεῖνοι μὲν πεσόντες εἰς ἐπιθυμίαν παρθένων καὶ ἡττηθέντες ἀπὸ τὴν σάρκα, οὗτος δὲ ἀδιαφορήσας καὶ γενόμενος πονηρὸς ὡς πρὸς τὴν διαχείρισιν τῶν πεπιστευμένων εἰς αὐτόν. Ἐκ τῶν προσκολληθέντων εἰς τὰς παρθένους ἐγεννήθησαν οἱ καλούμενοι γίγαντες[73]. Ἐὰν δὲ ἔχῃ λεχθῇ κάτι καὶ ἀπὸ τοὺς ποιητὰς περὶ τῶν γιγάντων, μὴ θαυμάσετε, διότι ἡ θεία καὶ ἡ κοσμικὴ σοφία διαφέρουν ὅσον διαφέρει ἡ ἀλήθεια τοῦ πιθανοῦ[74], καὶ ἡ μὲν πρώτη εἶναι ἐπουράνιος, ἡ δὲ δευτέρα ἐπίγειος καὶ ὑπὸ τὸν ἄρχοντα τῆς ὕλης·

«γνωρίζομεν νὰ λέγωμεν πολλὰ ψεύδη ὅμοια μὲ ἀληθείας»[75].

25 Οὗτοι λοιπὸν οἱ ἄγγελοι, οἱ ὁποῖοι ἔπεσαν ἀπὸ τοὺς οὐρανούς, διαμένοντες γύρω ἀπὸ τὸν ἀέρα καὶ τὴν γῆν, μὴ δυνάμενοι πλέον νὰ εἰσδύσουν εἰς τὰ ὑπερουράνια, καὶ αἱ ψυχαὶ τῶν γιγάντων εἶναι οἱ δαίμονες οἱ ὁποῖοι πλανῶνται περὶ τὸν κόσμον. Ἔχουν ἀμφότεροι ὁμοίως ἐνεργείας, οἱ μὲν πρῶτοι, οἱ δαίμονες, σύμφωνα μὲ τὰς φύσεις τὰς ὁποίας ἔλαβον, οἱ δεύτεροι, οἱ ἄγγελοι, κατὰ τὰς ἐπιθυμίας τὰς ὁποίας ἐξεδήλωσαν. Ὁ δὲ ἄρχων τῆς ὕλης, ὅπως εἶναι δυνατὸν νὰ ἴδῃ κανεὶς ἀπὸ τὰ γεγονότα τὰ ἴδια, κυβερνᾷ καὶ διοικεῖ μὲ ἐναντίωσιν πρὸς τὴν ἀγαθότητα τοῦ Θεοῦ.

«Πολλάκις μοῦ ἦλθεν εἰς τὴν καρδίαν ἡ σκέψις
ὅτι ἢ ἡ τύχη ἢ ὁ δαίμων κυβερνᾷ τὰ ἀνθρῶπινα.
Παρὰ τὴν ἐλπίδα καὶ παρὰ τὸ δίκαιον
ἄλλους μὲν ὁδηγεῖ νὰ πέσουν ὡς δεινὰ μακρὰν τῶν οἴκων των,
ἀνοικτιρμόνως, ἄλλους δὲ εἰς τὴν εὐτυχίαν»[76].

---

75. ΗΣΙΟΔΟΥ, *Θεογονία* 27.
76. Ἀπόσπ. 901 τοῦ Εὐριπίδου, ἁπαντῶν μόνον ἐδῶ.

*εἰ τὸ παρ' ἐλπίδα καὶ δίκην εὖ πράττειν ἢ κακῶς ἐν ἀφασίᾳ τὸν Εὐριπίδην ἐποίησεν, τίνος ἡ τοιαύτη τῶν περιγείων διοίκησις, ἐν ᾗ εἴποι τις ἄν·*

*«πῶς οὖν τάδ' εἰσορῶντες ἢ θεῶν γένος*
*εἶναι λέγωμεν ἢ νόμοισι χρώμεθα;».*

*τοῦτο καὶ τὸν Ἀριστοτέλη ἀπρονόητα εἰπεῖν τὰ κατωτέρω τοῦ οὐρανοῦ ἐποίησεν, καίτοι τῆς ἀϊδίου ἐπ' ἴσης ἡμῖν μενούσης προνοίας τοῦ Θεοῦ,*

*«ἡ γῆ δὲ ἀνάγκῃ, κἂν θέλῃ κἂν μὴ θέλῃ,*
*φύουσα ποίαν τἀμὰ πιαίνει βοτά»,*

*τῆς δ' ἐπὶ μέρους πρὸς ἀλήθειαν, οὐ πρὸς δόξαν, χωρούσης ἐπὶ τοὺς ἀξίους καὶ τῶν λοιπῶν κατὰ τὸ κοινὸν συστάσεως νόμῳ λόγου προνοουμένων. Ἀλλ' ἐπεὶ αἱ ἀπὸ τοὐναντίου πνεύματος δαιμονικαὶ κινήσεις καὶ ἐνέργειαι τὰς ἀτάκτους ταύτας ἐπιφορὰς παρέχουσιν, ἤδη καὶ τοὺς ἀνθρώπους ἄλλον ἄλλως, καὶ καθ' ἕνα καὶ κατὰ ἔθνη, μερικῶς καὶ κοινῶς, κατὰ τὸν τῆς ὕλης λόγον καὶ τῆς πρὸς τὰ θεῖα συμπαθείας, ἔνδοθεν καὶ ἔξωθεν κινοῦσαι, διὰ τοῦτό τινες, ὧν δόξαι οὐ μικραί, ἐνόμισαν οὐ τάξει τινὶ τὸ πᾶν τοῦτο συνεστάναι, ἀλλ' ἀλόγῳ τύχῃ ἄγεσθαι καὶ φέρεσθαι, οὐκ εἰδότες ὅτι τῶν μὲν περὶ τὴν τοῦ παντὸς κόσμου σύστασιν οὐδὲν ἄτακτον οὐδὲ ἀπημελημένον, ἀλλ' ἕκαστον αὐτῶν γεγονὸς λόγῳ, διὸ οὐδὲ τὴν ὡρισμένην ἐπ' αὐτοῖς παραβαίνουσι τάξιν, ὁ δὲ ἄνθρωπος κατὰ μὲν τὸν πεποιηκότα καὶ αὐτὸς εὐτάκτως ἔχει καὶ τῇ κατὰ τὴν γένεσιν φύσει ἕνα καὶ κοινὸν ἐχούσῃ λόγον καὶ τῇ κατὰ τὴν πλάσιν διαθέσει οὐ παραβαι-*

1 εἰ *προστίθ.* Gercke

---

77. Ἀγνώστου ποιητοῦ.
78. ΕΥΡΙΠΙΔΟΥ, *Κύκλωψ* 332 ἑ.

Ἐὰν τὸ νὰ εὐτυχῇ ἢ δυστυχῇ κανεὶς παρὰ τὴν ἐλπίδα καὶ παρὰ τὸ δίκαιον ἔκαμε τὸν Εὐριπίδην ἄφωνον, ποῖος διοικεῖ κατ' αὐτὸν τὸν τρόπον τὰ ἐπίγεια, ὥστε νὰ δύναται νὰ εἴπῃ κανείς,

«Βλέποντες λοιπὸν αὐτὰ πῶς δυνάμεθα νὰ λέγωμεν
ὅτι ὑπάρχει τὸ γένος τῶν θεῶν καὶ νὰ τηροῦμεν τοὺς
νόμους;»[77].

Τοῦτο ἔκαμε καὶ τὸν Ἀριστοτέλην νὰ εἴπῃ ὅτι τὰ ὑπὸ τὸν οὐρανὸν εἶναι ἀπρονόητα, ἂν καὶ ἡ ἀΐδιος πρόνοια τοῦ Θεοῦ μένει ἐξ ἴσου δι' ἡμᾶς,

«ἡ δὲ γῆ ἐξ ἀνάγκης, εἴτε θέλει εἴτε δὲν θέλει,
φυτρώνει τὴν χλόην καὶ παχαίνει τὰ ποίμνιά μου»[78],

ἡ δὲ ἐπὶ μέρους πρόνοια ἀληθῶς, ὄχι φαινομενικῶς, κατευθύνεται πρὸς τοὺς ἀξίους, ἐνῶ καὶ τὰ λοιπὰ κτίσματα προνοοῦνται διὰ τοῦ νόμου τοῦ λόγου κατὰ τὴν κοινὴν φύσιν τῶν πραγμάτων. Ἀλλ' αἱ δαιμονικαὶ κινήσεις καὶ ἐνέργειαι, προερχόμεναι ἀπὸ τὸ ἐνάντιον πνεῦμα, προκαλοῦν αὐτὰς τὰς χαοτικὰς ἐφόδους, ἐπηρεάζουν πλέον καὶ τοὺς ἀνθρώπους, κινοῦσαι ἀπὸ μέσα καὶ ἀπὸ ἔξω ἕκαστον μὲ διάφορον τρόπον, κατ' ἄτομον καὶ κατὰ ἔθνη, μερικῶς καὶ κοινῶς, τόσον κατὰ τὴν ἀρχὴν τῆς ὕλης ὅσον καὶ κατὰ τὴν ἀρχὴν τῆς ἁρμονίας μὲ τὰ θεῖα. Διὰ τοῦτο μερικοὶ ἄνθρωποι, ἔχοντες μεγάλην φήμην, ἐνόμισαν ὅτι τὸ σύμπαν τοῦτο δὲν ἔχει συγκροτηθῆ μὲ κάποιαν τάξιν, ἀλλ' ἄγεται καὶ φέρεται μὲ ἄλογον τύχην, παραγνωρίζοντες ὅτι τίποτε ἀπὸ τὰ πράγματα τὰ ὁποῖα συνιστοῦν τὸ σύμπαν τοῦτο δὲν εἶναι ἄτακτον ἢ παρημελημένον, ἀλλ' ἕκαστον ἐξ αὐτῶν ἔγινε κατὰ λόγον, διὸ δὲν παραβαίνουν τὴν καθωρισμένην εἰς αὐτὰ τάξιν. Ὁ δὲ ἄνθρωπος ἔχων τοιοῦτον δημιουργὸν εἶναι καὶ αὐτὸς εὔτακτον ὄν, ἐξ ἀπόψεως γενέσεως μὲ φύσιν ἡ ὁποία ἔχει ἕνα καὶ κοινὸν δι' ὅλους λόγον, ἐξ ἀπόψεως διαπλάσεως μὲ διάθεσιν ἡ ὁποία δὲν ὑπερβαίνει τὰ καθωρισμένα δι' αὐτὴν ὅρια, ἐξ ἀπόψεως προορισμοῦ μὲ τέλος τοῦ βίου ἴσον καὶ κοι-

*νούσῃ τὸν ἐπ' αὐτῇ νόμον καὶ τῷ τοῦ βίου τέλει ἴσῳ καὶ κοινῷ μένοντι, κατὰ δὲ τὸν ἴδιον ἑαυτῷ λόγον καὶ τὴν τοῦ ἐπέχοντος ἄρχοντος καὶ τῶν παρακολουθούντων δαιμόνων ἐνέργειαν ἄλλος ἄλλως φέρεται καὶ κινεῖται, κοινὸν πάντες τὸν ἐν αὐτοῖς ἔχοντες λογισμόν.*

26 *Καὶ οἱ μὲν περὶ τὰ εἴδωλα αὐτοὺς ἕλκοντες οἱ δαίμονές εἰσιν οἱ προειρημένοι, οἱ προστετηκότες τῷ ἀπὸ τῶν ἱερέων αἵματι καὶ ταῦτα περιλιχμώμενοι. Οἱ δὲ τοῖς πολλοῖς ἀρέσκοντες θεοὶ καὶ ταῖς εἰκόσιν ἐπονομαζόμενοι, ὡς ἔστιν ἐκ τῆς κατ' αὐτοὺς ἱστορίας εἰδέναι, ἄνθρωποι γεγόνασιν. Καὶ τοὺς μὲν δαίμονας εἶναι τοὺς ἐπιβατεύοντας τοῖς ὀνόμασιν πίστις ἡ ἑκάστου αὐτῶν ἐνέργεια. Οἱ μὲν γὰρ ἀποτέμνουσι τὰ αἰδοῖα, οἱ περὶ τὴν Ῥέαν, οἱ δὲ ἐγκόπτουσιν ἢ ἐντέμνουσιν, οἱ περὶ τὴν Ἄρτεμιν [καὶ ἡ μὲν ἐν Ταύροις φονεύει τοὺς ξένους]. Ἐῶ γὰρ τοὺς ταῖς μαχαίραις καὶ τοῖς ἀστραγάλοις αἰκιζομένους αὐτοὺς λέγειν καὶ ὅσα εἴδη δαιμόνων. Οὐ γὰρ Θεοῦ κινεῖν ἐπὶ τὰ παρὰ φύσιν·*

*«ὅταν ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά,*
*τὸν νοῦν ἔβλαψε, πρῶτον»,*

*ὁ δὲ Θεὸς τελείως ἀγαθὸς ὢν ἀϊδίως ἀγαθοποιός ἐστιν.*

*Τοῦ νῦν ἄλλους μὲν εἶναι τοὺς ἐνεργοῦντας, ἐφ' ἑτέρων δὲ ἀνίστασθαι τὰς εἰκόνας, ἐκεῖνο μέγιστον τεκμήριον, Τρωὰς καὶ Πάριον· ἡ μὲν Νερυλλίνου εἰκόνας ἔχει (ὁ ἀνὴρ τῶν καθ' ἡμᾶς) τὸ δὲ Πάριον Ἀλεξάνδρου καὶ Πρωτέως· τοῦ Ἀλεξάνδρου ἔτι ἐπὶ τῆς ἀγορᾶς καὶ ὁ τάφος καὶ ἡ εἰκών. Οἱ μὲν οὖν ἄλλοι ἀνδριάντες τοῦ Νερυλλίνου κόσμημά εἰσι δημόσιον, εἴπερ καὶ τούτοις κοσμεῖται πόλις, εἷς δὲ αὐτῶν καὶ χρηματίζειν καὶ ἰᾶσθαι νοσοῦντας νομίζεται, καὶ θύουσί τε δι' αὐτὰ καὶ περιαλείφουσιν*

14 Καὶ ἡ...ξένους *ἐξοβελίζει Schwartz καλῶς*

---

79. Τοῦτο συνέβαινεν εἰς τὴν λατρείαν τῆς Κυβέλης, ἡ ὁποία ἐταυτίσθη μὲ τὴν Ῥέαν.

80. Προφανῶς τῆς Ἐφεσίας.

νὸν δι' ὅλους· κατὰ τὴν ἀτομικότητα ὅμως, καθὼς καὶ κατὰ τὴν ἐνέργειαν τοῦ κατέχοντος ἄρχοντος καὶ τῶν ἀκολούθων του δαιμόνων ἕκαστος φέρεται καὶ κινεῖται διαφορετικά, ἔχοντες ὅλοι κοινὸν τὸν λογισμὸν μέσα των.

26 Οἱ σύροντες αὐτοὺς πρὸς τὰ εἴδωλα εἶναι οἱ προαναφερθέντες δαίμονες, οἱ ὁποῖοι κολλοῦν εἰς τὸ αἷμα τῶν θυμάτων καὶ τὰ γλείφουν γύρω γύρω. Ἀλλ' οἱ θεοί, οἱ ὁποῖοι ἀρέσκουν εἰς τοὺς πολλοὺς καὶ εἰς τῶν ὁποίων τὰ ὀνόματα ἀφιερώνονται τὰ ἀγάλματα, εἶναι ἄνθρωποι, ὅπως εἶναι δυνατὸν νὰ γνωρίσῃ κανεὶς ἀπὸ τὴν ἱστορίαν των. Περὶ τοῦ ὅτι πάντως οἱ δαίμονες εἶναι οἱ σφετερισταὶ τῶν ὀνομάτων τούτων ἀπόδειξις εἶναι ἡ ἐνέργεια ἑκάστου ἐξ αὐτῶν. Διότι ἄλλοι ἀποκόπτουν τὰ αἰδοῖα των, οἱ λάτρεις τῆς Ρέας[79], ἄλλοι κάμνουν ἐγκοπὰς καὶ ἐντομάς, οἱ λάτρεις τῆς Ἀρτέμιδος[80]. Ἀφήνω δὲ τοὺς αὐτοτραυματιζομένους μὲ μαχαίρας καὶ ἀστραγάλους νὰ εἴπουν οἱ ἴδιοι πόσα εἴδη δαιμόνων ὑπάρχουν. Διότι δὲν εἶναι ἔργον τοῦ Θεοῦ νὰ ὑποκινῇ εἰς παρὰ φύσιν ἐνεργείας·

«ὅταν ὁ δαίμων ἐπιβουλεύεται τὸν ἄνθρωπον,
κατὰ πρῶτον βλάπτει τὸν νοῦν»[81],

ἐνῶ ὁ Θεός, ὡς τελείως ἀγαθός, εἶναι πάντοτε ἀγαθοποιός.

Πάντως τοῦ ὅτι ἄλλοι μὲν εἶναι οἱ ἐνεργοῦντες, ἐπ' ὀνόματι ἄλλων δὲ ὑψώνονται τὰ ἀγάλματα, ἐκεῖνο εἶναι μεγίστη ἀπόδειξις, ἡ Τρωὰς καὶ τὸ Πάριον. Ἡ μὲν πρώτη ἔχει ἀγάλματα τοῦ Νερυλλίνου (συγχρόνου ἡμῶν), τὸ δὲ Πάριον τοῦ Ἀλεξάνδρου καὶ τοῦ Πρωτέως[82]. Τοῦ Ἀλεξάνδρου καὶ ὁ τάφος καὶ τὸ ἄγαλμα εἶναι ἀκόμη εἰς τὴν ἀγοράν. Καὶ οἱ μὲν ἄλλοι ἀνδριάντες τοῦ Νερυλλίνου εἶναι δημόσια κοσμήματα, ἐὰν πράγματι στολίζεται μὲ αὐτὰ κάποια πόλις, εἷς δὲ ἐξ αὐτῶν πιστεύεται ὅτι χρησμοδοτεῖ καὶ θεραπεύει ἀσθενεῖς, καὶ δι' αὐτὰς τὰς

81. Ἀδέσποτον λόγον, Nauck ἀρ. 455.

82. Ἐκ τῶν λεγομένων ἐδῶ μετὰ βεβαιότητος δυνάμεθα νὰ εἴπωμεν ποῖος εἶναι ὁ Πρωτεύς· εἶναι ὁ ἥρως τοῦ μυθιστορήματος τοῦ Λουκιανοῦ περὶ τῆς Περεγρίνου τελευτῆς. Ὁ Νερυλλῖνος εἶναι περίπου σύγχρονος τοῦ Ἀθηναγόρου, ὡς λέγεται, ἀλλ' ἄγνωστος. Σύγχρονος περίπου πρέπει νὰ εἶναι καὶ ὁ Ἀλέξαν-

*καὶ στεφανοῦσι χρυσῷ τὸν ἀνδριάντα οἱ Τρωαδεῖς. Ὁ δὲ τοῦ Ἀλεξάνδρου καὶ ὁ τοῦ Πρωτέως (τοῦτον δ' οὐκ ἀγνοεῖτε ῥίψαντα ἑαυτὸν εἰς τὸ πῦρ περὶ τὴν Ὀλυμπίαν), ὁ μὲν καὶ αὐτὸς λέγεται χρηματίζειν, τῷ δὲ τοῦ Ἀλεξάνδρου (δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς) δημοτελεῖς ἄγονται θυσίαι καὶ ἑορταὶ ὡς ἐπηκόῳ θεῷ. Πότερον οὖν ὁ Νερυλλῖνος καὶ ὁ Πρωτεὺς καὶ ὁ Ἀλέξανδρός εἰσιν οἱ ταῦτα ἐνεργοῦντες περὶ τὰ ἀγάλματα ἢ τῆς ὕλης ἡ σύστασις; Ἀλλ' ἡ μὲν ὕλη χαλκός ἐστιν, τί δὲ χαλκὸς δύναται καθ' αὑτόν, ὃν μεταποιῆσαι πάλιν εἰς ἕτερον σχῆμα ἔξεστιν, ὡς τὸν ποδονιπτῆρα ὁ παρὰ τῷ Ἡροδότῳ Ἄμασις; Ὁ δὲ Νερυλλῖνος καὶ ὁ Πρωτεὺς καὶ ὁ Ἀλέξανδρος τί πλέον τοῖς νοσοῦσιν; Ἃ γὰρ ἡ εἰκὼν λέγεται νῦν ἐνεργεῖν, ἐνήργει καὶ ζῶντος καὶ νοσοῦντος Νερυλλίνου.*

27 *Τί οὖν; Πρῶτα μὲν αἱ τῆς ψυχῆς ἄλογοι καὶ ἰνδαλματώδεις περὶ τὰς δόξας κινήσεις ἄλλοτ' ἄλλα εἴδωλα τὰ μὲν ἀπὸ τῆς ὕλης ἕλκουσι, τὰ δὲ αὐταῖς ἀναπλάττουσιν καὶ κυοῦσιν. Πάσχει δὲ τοῦτο ψυχὴ μάλιστα τοῦ ὑλικοῦ προσλαβοῦσα καὶ ἐπισυγκραθεῖσα πνεύματος, οὐ πρὸς τὰ οὐράνια καὶ τὸν τούτων ποιητὴν ἀλλὰ κάτω πρὸς τὰ ἐπίγεια βλέπουσα, καθολικῶς εἰπεῖν, ὡς μόνον αἷμα καὶ σάρξ, οὐκέτι πνεῦμα καθαρὸν γιγνομένη. Αἱ οὖν ἄλογοι αὗται καὶ ἰνδαλματώδεις τῆς ψυχῆς κινήσεις εἰδωλομανεῖς ἀποτίκτουσι φαντασίας· ὅταν δὲ ἁπαλὴ καὶ εὐάγωγος ψυχή, ἀνήκοος μὲν καὶ ἄπειρος λόγων ἐρρωμένων, ἀθεώρητος δὲ τοῦ ἀληθοῦς, ἀπερινόητος δὲ τοῦ Πατρὸς καὶ ποιητοῦ τῶν ὅλων, ἐναποσφραγίσηται ψευδεῖς περὶ αὑτῆς δόξας, οἱ περὶ τὴν ὕλην δαίμονες, λίχνοι περὶ τὰς κνίσας καὶ τὸ τῶν ἱερείων αἷμα*

19 εἰπεῖν *Wilamowitz* εἰς γῆν *Π*

---

δρος –ἄρα ὄχι ὁ Πάρις– , ἂν καὶ ἴσως ὄχι ὁ περίφημος μάγος τοῦ ὁποίου ὁ Λουκιανὸς διηγεῖται τὰ κατορθώματα εἰς τὸ ἔργον *Ἀλέξανδρος ἢ Ψευδομάντις*.

ἐνεργείας του οἱ Τρωαδεῖς θυσιάζουν εἰς τὸν ἀνδριάντα, τὸν ἀλείφουν καὶ τὸν στεφανώνουν μὲ χρυσόν. Τοῦ δὲ Ἀλεξάνδρου καὶ τοῦ Πρωτέως ὁ ἀνδριὰς (δὲν ἀγνοεῖτε δὲ τοῦτον, ὁ ὁποῖος ἐρρίφθη μόνος του εἰς τὸ πῦρ πλησίον τῆς Ὀλυμπίας), ὁ μὲν εἷς λέγεται ὅτι χρησμοδοτεῖ καὶ αὐτός, εἰς δὲ τὸν ἄλλον, τοῦ Ἀλεξάνδρου («Κακοπάρι, ὡραῖε εἰς τὴν μορφήν, γυναικομανές»), γίνονται δημόσιαι θυσίαι καὶ ἑορταὶ ὡς εἰς ἐπακούοντα Θεόν. Ποῖοι λοιπὸν εἶναι οἱ ἐνεργοῦντες ταῦτα γύρω ἀπὸ τὰ ἀγάλματα, ὁ Νερυλλῖνος, ὁ Πρωτεὺς καὶ ὁ Ἀλέξανδρος, ἢ μήπως ἡ σύστασις τῆς ὕλης των; Ἀλλ' ἡ μὲν ὕλη εἶναι χαλκός, τί δὲ δύναται νὰ ἐπιτύχη μόνος του ὁ χαλκός, τὸν ὁποῖον εἶναι δυνατὸν νὰ μεταποιήση κανεὶς πάλιν εἰς ἄλλο σχῆμα, ὅπως τὸν ποδονιπτῆρα εἰς τὸν Ἡρόδοτον ὁ Ἄμασις[83]; Ὁ δὲ Νερυλλῖνος καὶ ὁ Πρωτεὺς καὶ ὁ Ἀλέξανδρος τί περισσότερον δύνανται νὰ κάμουν εἰς τοὺς ἀσθενεῖς; Διότι ὅσα λέγεται ὅτι ἐνεργεῖ τώρα ἡ εἰκών, ἐνήργει καὶ ὅταν ἔζη ὁ Νερυλλῖνος καὶ ἦτο ἀσθενὴς ὁ ἴδιος.

27 Τί συμβαίνει λοιπόν; Πρῶτα μὲν αἱ ἄλογοι καὶ φαντασιώδεις κινήσεις τῆς ψυχῆς εἰς τὸν χῶρον τῶν δοξασιῶν προβάλλουν διαφορετικὰς ἑκάστοτε εἰκόνας, ἄλλας μὲν σύρουσαι ἀπὸ τὴν ὕλην, ἄλλας δὲ ἀναπλάττουσαι καὶ γεννῶσαι αἱ ἴδιαι. Δοκιμάζει δὲ τοῦτο ἡ ψυχὴ κυρίως ὅταν μετέχη τοῦ ὑλικοῦ πνεύματος καὶ ἀναμιγνύεται μὲ αὐτό, βλέπουσα ὄχι πρὸς τὰ οὐράνια καὶ τὸν ποιητὴν τούτων, ἀλλὰ κάτω πρὸς τὰ ἐπίγεια, γινομένη μὲ ὀλίγα λόγια μόνον αἷμα καὶ σάρξ, ὄχι καθαρὸν πνεῦμα. Αὐταὶ αἱ ἄλογοι καὶ φαντασιώδεις κινήσεις τῆς ψυχῆς γεννοῦν εἰδωλομανεῖς φαντασίας. Οὕτω μία ἁπαλὴ καὶ εὐάγωγος ψυχή, ἀνήκοος καὶ ἄπειρος στερεῶν λόγων, ἀθεώρητος τῆς ἀληθείας, χωρὶς κατανόησιν τοῦ Πατρὸς καὶ ποιητοῦ τῶν ὅλων, ἐντυπώνει ψευδεῖς δοξασίας περὶ ἑαυτῆς. Τότε οἱ γύρω ἀπὸ τὴν ὕλην

83. *Ἱστορίαι* 2, 172.

ὄντες, ἀπατηλοὶ δὲ ἀνθρώπων, προσλαβόντες τὰς ψευδοδόξους ταύτας τῶν πολλῶν τῆς ψυχῆς κινήσεις, φαντασίας αὐτοῖς ὡς ἀπὸ τῶν εἰδώλων καὶ ἀγαλμάτων ἐπιβατεύοντες αὐτῶν τοῖς νοήμασιν εἰσρεῖν παρέχουσιν, καὶ ὅσα καθ᾽ αὑτήν, ὡς ἀθάνατος οὖσα, λογικῶς κινεῖται ψυχὴ ἢ προμηνύουσα τὰ μέλλοντα ἢ θεραπεύουσα τὰ ἐνεστηκότα, τούτων τὴν δόξαν καρποῦνται οἱ δαίμονες.

28 Ἀναγκαῖον δὲ ἴσως κατὰ τὰ προειρημένα περὶ τῶν ὀνομάτων ὀλίγα εἰπεῖν. Ἡρόδοτος μὲν οὖν καὶ Ἀλέξανδρος ὁ τοῦ Φιλίππου ἐν τῇ πρὸς τὴν μητέρα ἐπιστολῇ (ἑκάτεροι δὲ ἐν τῇ Ἡλιουπόλει καὶ ἐν Μέμφιδι καὶ Θήβαις εἰς λόγους τοῖς ἱερεῦσιν ἀφῖχθαι λέγονται) φασὶ παρ᾽ ἐκείνων ἀνθρώπους αὐτοὺς γενέσθαι μαθεῖν. Ἡρόδοτος·

«ἤδη ὦν τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους ἀπεδείκνυσάν σφεας ἐόντας, θεῶν δὲ πολλὸν ἀπηλλαγμένους. Τὸ δὲ πρότερον τῶν ἀνδρῶν τούτων θεοὺς εἶναι τοὺς ἐν Αἰγύπτῳ ἄρχοντας, οἰκέοντας ἅμα τοῖς ἀνθρώποισιν, καὶ τούτων ἀεὶ ἕνα τὸν κρατέοντα εἶναι· ὕστερον δὲ αὐτῆς βασιλεῦσαι Ὧρον τὸν Ὀσίρεως παῖδα, τὸν Ἀπόλλωνα Ἕλληνες ὀνομάζουσιν· τοῦτον καταπαύσαντα Τυφῶνα βασιλεῦσαι ὕστατον Αἰγύπτου. Ὄσιρις δέ ἐστι Διόνυσος κατὰ Ἑλλάδα γλῶσσαν».

Οἵ τε οὖν ἄλλοι καὶ τελευταῖος βασιλεῖς Αἰγύπτου· παρὰ δὲ τούτων εἰς Ἕλληνας ἦλθε τὰ ὀνόματα τῶν θεῶν. [Ἀπόλλων ὁ Διονύσου καὶ Ἴσιδος] ὁ αὐτὸς Ἡρόδοτος λέγει· «Ἀπόλλωνα δὲ καὶ Ἄρτεμιν Διονύσου καὶ Ἴσιδος λέγουσιν εἶναι παῖδας, Λητὼ δὲ τροφὸν αὐτοῖσι καὶ σώτειραν γενέσθαι». Οὓς οὐρανίους γεγονότας πρώτους βασιλέας ἔσχον, τῇ μὲν ἀγνοίᾳ τῆς

22 βασιλεῖς *Schwartz* βασιλεὺς *Π*
23–24 Ἀπόλλων...Ἴσιδος *Π γλώσσημα Χρήστου*
26 αὐτοῖσι καὶ σώτειραν *Ἡρόδοτος* αὐτοῖς σωτηρίαν *B*

δαίμονες, λαίμαργοι διὰ τὴν κνίσαν καὶ τὸ αἷμα τῶν θυσιαζομένων, πλᾶνοι δὲ τῶν ἀνθρώπων, προσλαμβάνουν αὐτὰς τὰς ψευδοδόξους κινήσεις τῆς ψυχῆς τῶν πολλῶν καὶ κυριαρχοῦντες τῆς σκέψεώς των ἐνεργοῦν ὥστε νὰ εἰσρέουν εἰς αὐτοὺς φαντασίαι ὡσὰν νὰ προέρχωνται ἀπὸ τὰ εἴδωλα καὶ τὰ ἀγάλματα. Καθ' οἱονδήποτε δὲ τρόπον καὶ ἂν κινῆται ἡ ψυχὴ καθ' ἑαυτὴν λογικῶς, ἢ προμηνύουσα τὰ μέλλοντα ἢ θεραπεύουσα τὰ παρόντα, τούτων τὴν δόξαν καρποῦνται οἱ δαίμονες.

28 Ἴσως δὲ εἶναι ἀναγκαῖον, ὑπὸ τὸ φῶς τῶν προλεχθέντων, νὰ εἴπωμεν ὀλίγα περὶ τῶν ὀνομάτων. Λοιπὸν ὁ Ἡρόδοτος καὶ ὁ Ἀλέξανδρος τοῦ Φιλίππου[84] εἰς τὴν ἐπιστολὴν πρὸς τὴν μητέρα του (λέγεται δὲ ὅτι καὶ οἱ δύο εἶχον προέλθει εἰς συζητήσεις μὲ τοὺς ἱερεῖς εἰς τὴν Ἡλιούπολιν, τὴν Μέμφιδα καὶ τὰς Θήβας) λέγουν ὅτι ἔμαθον ἀπὸ ἐκείνους ὅτι οἱ θεοὶ ὑπῆρξαν ἄνθρωποι. Ὁ Ἡρόδοτος·

«Ἀπεδείκνυον ἐξ ἄλλου ὅτι ἐκεῖνοι, εἰς τοὺς ὁποίους ἀνῆκον αἱ εἰκόνες, ἦσαν ὅπως ἐνεφανίζοντο, πολὺ διαφορετικοὶ ἀπὸ θεούς. Πρὸ τῶν ἀνδρῶν τούτων δὲ οἱ εἰς τὴν Αἴγυπτον ἄρχοντες ἦσαν θεοί, κατοικοῦντες μαζὶ μὲ τοὺς ἀνθρώπους, καὶ εἷς ἐξ αὐτῶν πάντοτε ἦτο ὁ κυρίαρχος· τελευταῖος δὲ ἐβασίλευσεν αὐτῆς ὁ Ὧρος, υἱὸς τοῦ Ὀσίριδος, τὸν ὁποῖον οἱ Ἕλληνες ὀνομάζουν Ἀπόλλωνα. Ὁ δὲ Ὄσιρις εἶναι ὁ Διόνυσος εἰς τὴν ἑλληνικὴν γλῶσσαν»[85].

Καὶ οἱ ἄλλοι λοιπὸν καὶ ὁ τελευταῖος ἦσαν βασιλεῖς τῆς Αἰγύπτου, ἀπὸ αὐτοὺς δὲ ἦλθον εἰς τοὺς Ἕλληνας τὰ ὀνόματα τῶν θεῶν. Ὁ ἴδιος Ἡρόδοτος λέγει· «λέγουν δὲ ὅτι ὁ Ἀπόλλων καὶ ἡ Ἄρτεμις εἶναι παιδιὰ τοῦ Διονύσου καὶ τῆς Ἴσιδος, ἡ δὲ Λητὼ ἔγινε τροφὸς καὶ σώτειρα αὐτῶν»[86]. Τὰ οὐράνια αὐτὰ ὄντα, τὰ ὁποῖα εἶχον ὡς πρώτους βασιλεῖς, ἐθεώρησαν ὡς θεοὺς αὐτῶν μαζὶ μὲ τὰς γυναῖκας των, μερικῶς ἐξ ἀγνοίας τῆς

---

84. Τοῦ Ἀλεξάνδρου ἡ ἐπιστολὴ ἦτο πλαστούργημα τοῦ Λέοντος Πελλαίου.

85. *Ἱστορίαι* 2, 144.

86. *Ἱστορίαι* 2,156.

*ἀληθοῦς περὶ τὸ θεῖον εὐσεβείας, πῇ δὲ χάριτι τῆς ἀρχῆς θεοὺς ὁμοῦ ταῖς γυναιξὶν αὐτῶν ἦγον. «Τοὺς μέν νυν καθαροὺς βοῦς τοὺς ἔρσενας καὶ τοὺς μόσχους οἱ πάντες Αἰγύπτιοι θύουσι, τὰς δὲ θηλείας οὔ σφιν ἔξεστι θύειν, ἀλλὰ ἱραί εἰσι τῆς Ἴσιδος· τὸ γὰρ τῆς Ἴσιδος ἄγαλμα ἐὸν γυναικήιον βούκερών ἐστιν, καθάπερ οἱ Ἕλληνες τὴν Ἰοῦν γράφουσιν». Τίνες δ' ἂν μᾶλλον ταῦτα πιστευθεῖεν λέγοντες ἢ οἱ κατὰ διαδοχὴν γένους παῖς παρὰ πατρός, ὡς τὴν ἱερωσύνην καὶ τὴν ἱστορίαν διαδεχόμενοι; Οὐ γὰρ τοὺς σεμνοποιοῦντας ζακόρους τὰ εἴδωλα εἰκὸς ἀνθρώπους αὐτοὺς γενέσθαι ψεύδεσθαι.*

*Εἴ τι μὲν οὖν Ἡρόδοτος ἔλεγεν περὶ τῶν θεῶν ὡς περὶ ἀνθρώπων ἱστορεῖν Αἰγυπτίους, καὶ λέγοντι, «τὰ μέν νυν θεῖα τῶν ἀφηγημάτων, οἷα ἤκουον, οὐκ εἰμὶ πρόθυμος διηγεῖσθαι ἔξω ἢ τὰ ὀνόματα αὐτέων μοῦνα» ἐλάχιστα μὴ πιστεύειν ὡς μυθοποιῷ ἔδει. Ἐπεὶ δὲ Ἀλέξανδρος καὶ Ἑρμῆς ὁ Τρισμέγιστος ἐπικαλούμενος συνάπτων τὸ ἀΐδιον αὐτοῖς γένος καὶ ἄλλοι μυρίοι, ἵνα μὴ καθ' ἕκαστον καταλέγοιμι, οὐδὲ λόγος ἔτι καταλείπεται βασιλεῖς ὄντας αὐτοὺς μὴ νενομίσθαι θεούς. Καὶ ὅτι μὲν ἄνθρωποι, δηλοῦσιν μὲν καὶ Αἰγυπτίων οἱ λογιώτατοι, οἳ θεοὺς λέγοντες αἰθέρα, γῆν, ἥλιον, σελήνην, τοὺς ἄλλους ἀνθρώπους θνητοὺς νομίζουσιν καὶ ἱερὰ τοὺς τάφους αὐτῶν· δηλοῖ δὲ καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν.*

*Ἡρόδοτος δὲ καὶ τὰ παθήματα αὐτῶν φησι μυστήρια· «ἐν δὲ Βουσίρι πόλει ὡς ἀνάγουσι τῇ Ἴσι τὴν ἑορτήν, εἴρηται πρό-*

5 τὸ γὰρ τῆς Ἴσιδος *ἐλλείπει Π προστίθ. Schwartz ἐξ Ἡροδότου*
14 μὴν *X* μὴ *Π*
23 παθήματα *Otto* μαθήματα *Π*

---

87. *Ἱστορίαι* 2,41.
88. *Ἱστορίαι* 2,3.

ἀληθινῆς εὐσεβείας πρὸς τὸ θεῖον, μερικῶς δὲ ἀπὸ εὐγνωμοσύνην πρὸς τὴν ἐξουσίαν. «Ὅλοι οἱ Αἰγύπτιοι θυσιάζουν τοὺς καθαροὺς ἄρρενας βοῦς καὶ μόσχους, ἐνῶ δὲν ἐπιτρέπεται νὰ θυσιάζουν τὰς θηλυκάς, διότι εἶναι ἀφιερωμέναι εἰς τὴν Ἴσιδα. Πράγματι τὸ ἄγαλμα τῆς Ἴσιδος, τὸ ὁποῖον εἶναι γυναικεῖον, φέρει κέρατα βοός, ὅπως ζωγραφίζουν οἱ Ἕλληνες τὴν Ἰώ»[87]. Ποῖοι θὰ ἦσαν περισσότερον ἀξιόπιστοι ἐκ τῶν λεγόντων ταῦτα, ἀπὸ τοὺς εἰς τὴν οἰκογενειακὴν διαδοχήν, οἱ ὁποῖοι διαδέχονται παῖς ἀπὸ τὸν πατέρα τὴν ἱερωσύνην καὶ τὴν ἱστορίαν; Διότι δὲν εἶναι εὔλογον νὰ εἶναι οἱ ἱερεῖς, οἱ ὁποῖοι λατρεύουν τὰ εἴδωλα εὐσεβάστως, οἱ ἰσχυριζόμενοι ψευδῶς ὅτι οἱ θεοὶ ὑπῆρξαν ἄνθρωποι.

Ἐὰν λοιπὸν ὁ Ἡρόδοτος ἔλεγεν ὅτι οἱ Αἰγύπτιοι ἱστοροῦν τοὺς θεούς των ὡς ἀνθρώπους, ὅπως πράγματι ἔλεγε, «δὲν εἶμαι πρόθυμος νὰ διηγηθῶ τὰ περὶ τῶν θείων ἀφηγήματά των, τὰ ὁποῖα ἤκουσα, παρὰ μόνον τὰ ὀνόματα αὐτῶν»[88], θὰ ἔπρεπεν βεβαίως ἐλάχιστα νὰ τὸν πιστεύσωμεν ὡς μυθοποιόν. Ἐπειδὴ ὅμως ὁ Ἀλέξανδρος καὶ ὁ Ἑρμῆς ὁ καλούμενος Τρισμέγιστος[89], ὁ ὁποῖος ἀποδίδει εἰς αὐτοὺς ἀΐδιον γένος, καὶ ἄλλοι πολυάριθμοι, διὰ νὰ μὴ τοὺς ἀπαριθμῶ ἕνα ἕνα, δὲν μένει πλέον κανεὶς λόγος νὰ μὴ πιστεύσωμεν ὅτι ἐθεωρήθησαν θεοί, ἐνῶ προηγουμένως ἦσαν βασιλεῖς. Καὶ ὅτι μὲν ἦσαν ἄνθρωποι, μαρτυροῦν καὶ οἱ λογιώτατοι τῶν Αἰγυπτίων, οἱ ὁποῖοι λέγοντες θεοὺς τὸν αἰθέρα, τὴν γῆν, τὸν ἥλιον, τὴν σελήνην, τοὺς ὑπολοίπους θεοὺς θεωροῦν ὡς ἀνθρώπους θνητοὺς καὶ τοὺς τάφους αὐτῶν ὡς ἱερά. Τοῦτο μαρτυρεῖ καὶ ὁ Ἀπολλόδωρος εἰς τὸ *Περὶ Θεοῦ*[90].

Ὁ δὲ Ἡρόδοτος λέγει μυστήρια καὶ τὰ παθήματα αὐτῶν. «Πῶς δὲ τελοῦν τὴν ἑορτὴν πρὸς τιμὴν τῆς Ἴσιδος εἰς τὴν πό-

89. Ἀλέξανδρος εἶναι ὁ ἀνωτέρω ἀναφερθείς. Ἑρμῆς Τρισμέγιστος ὠνομάζετο ὁ αἰγυπτιακὸς θεὸς Θώθ, θεὸς τῶν γραμμάτων καὶ τεχνῶν. Ὑπετίθετο ὅτι εἶναι ὁ συγγραφεὺς τῶν Ἑρμητικῶν συγγραμμάτων περὶ τῶν ὁποίων διὰ πρώτην φορὰν γίνεται λόγος ἐδῶ.

90. Ἀγνωστικοῦ χαρακτῆρος τὸ ἔργον τοῦτο ἐχάθη, ἀλλ' ἐχρησιμοποιεῖτο συχνὰ ὑπὸ τῶν Ἀπολογητῶν. Ἐγράφη περὶ τὸ 130 π.Χ.

*τερόν μοι. Τύπτονται γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ πᾶσαι, μυριάδες κάρτα πολλαὶ ἀνθρώπων· τὸν δὲ τύπτονται τρόπον, οὔ μοι ὅσιόν ἐστιν λέγειν». Εἰ θεοί, καὶ ἀθάνατοι, εἰ δὲ τύπτονται καὶ τὰ πάθη ἐστὶν αὐτῶν μυστήρια, ἄνθρωποι, ὡς αὐτὸς Ἡρόδοτος· «εἰσὶ δὲ καὶ αἱ ταφαὶ τοῦ οὐχ ὅσιον ποιοῦμαι ἐπὶ τοιούτῳ πράγματι ἐξαγορεύειν τὸ ὄνομα, ἐν Σάϊ ἐν τῷ ἱερῷ τῆς Ἀθηναίης, ὄπισθεν τοῦ νηοῦ, παντὸς τῆς Ἀθηναίης ἐχόμενον τοίχου. Λίμνη δ' ἐστὶν ἐχομένη, λιθίνῃ κρηπῖδι κεκοσμημένη ἐν κύκλῳ, μέγεθος, ὡς ἐμοὶ δοκέει, ὅση περ ἐν Δήλῳ ἡ τροχοειδὴς καλεομένη. Ἐν δὲ τῇ λίμνῃ ταύτῃ τὰ δείκηλα τῶν παθέων αὐτοῦ νυκτὸς ποιοῦσι τὰ καλέουσι μυστήρια Αἰγύπτιοι». Καὶ οὐ μόνον ὁ τάφος τοῦ Ὀσίριδος δείκνυται, ἀλλὰ καὶ ταριχεία· «ἐπεάν σφισιν κομισθῇ νεκρός, δεικνύασι τοῖσι κομίσασι παραδείγματα νεκρῶν ξύλινα τῇ γραφῇ μεμιμημένα· καὶ τὴν μὲν σπουδαιοτάτην αὐτέων φασὶν εἶναι τοῦ οὐχ ὅσιον ποιοῦμαι οὔνομα ἐπὶ τοιούτῳ πράγματι ὀνομάζειν».*

29 *Ἀλλὰ καὶ Ἑλλήνων οἱ περὶ ποίησιν καὶ ἱστορίαν σοφοὶ περὶ μὲν Ἡρακλέους*

*«σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' οὐδὲ τράπεζαν*
*τὴν ἥν οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν»,*

*Ἴφιτον. Τοιοῦτος ὢν εἰκότως μὲν ἐμαίνετο, εἰκότως δὲ ἀνάψας πυρὰν κατέκαυσεν αὐτόν. Περὶ δὲ Ἀσκληπιοῦ Ἡσίοδος μέν,*

---

91. *Ἱστορίαι* 2,61. Ὁ Ἡρόδοτος ἔχει ἁπλῶς «τὸν δὲ τύπτονται, οὔ μοι ὅσιόν ἐστιν λέγειν», ὅπερ σημαίνει «ποῖον δὲ θρηνοῦν δὲν θεωρῶ ἐπιτρεπτὸν νὰ εἴπω». Ἐθρήνουν τὸν Ὄσιριν καὶ ὁ Ἡρόδοτος κρατεῖ τοῦτο μυστικόν. Ὁ Ἀθηναγόρας προσθέτει τὴν λέξιν «τρόπον», «τὸν δὲ τύπτονται τρόπον», ὁπότε τὸ κείμενον λαμβάνει ἄλλην ἔννοιαν.

92. *Ἱστορίαι* 2,170.

λιν Βούσιριν, τὸ ἔχω εἴπει προηγουμένως. Μετὰ τὴν θυσίαν ὅλοι καὶ ὅλαι, μυριάδες πολλαὶ ἀνθρώπων, θρηνοῦν αὐτοκτυπώμενοι, δὲν μοῦ εἶναι ὅμως ἐπιτρεπτὸν νὰ εἴπω κατὰ ποῖον τρόπον πράττουν τοῦτο»[91]. Ἐὰν εἶναι θεοί, εἶναι καὶ ἀθάνατοι· ἐὰν θρηνοῦνται καὶ τὰ παθήματα αὐτῶν εἶναι μυστήρια, εἶναι ἄνθρωποι, καθὼς λέγει ὁ ἴδιος Ἡρόδοτος· «εἶναι δὲ καὶ ὁ τάφος ἐκείνου τοῦ ὁποίου δὲν θεωρῶ ἐπιτρεπτὸν νὰ ἀνακοινώσω τὸ ὄνομα, κατὰ τὴν παροῦσαν στιγμὴν εἰς τὸ ἐν Σάϊ ἱερὸν τῆς Ἀθηνᾶς, ὄπισθεν τοῦ ναοῦ, συνεχόμενος πρὸς ὅλον τὸν τοῖχον τοῦ ναοῦ τῆς Ἀθηνᾶς. Παραπλεύρως ὑπάρχει λίμνη, στολισμένη γύρω μὲ λιθίνην κρηπῖδα, μεγέθους, καθὼς μοῦ φαίνεται, ὡσὰν τῆς λίμνης τῆς Δήλου, τὴν ὁποίαν καλοῦμεν Τροχοειδῆ. Εἰς αὐτὴν δὲ τὴν λίμνην τελοῦν οἱ Αἰγύπτιοι τὴν νύκτα ἀναπαραστάσεις τῶν παθῶν αὐτοῦ, τὰς ὁποίας καλοῦν μυστήρια»[92]. Καὶ δεικνύεται ἐκεῖ ὄχι μόνον ὁ τάφος τοῦ Ὀσίριδος ἀλλὰ καὶ τὸ ταρίχευμά του· «ὅταν προσκομισθῆ εἰς αὐτοὺς νεκρός, δεικνύουν εἰς τοὺς κομίσαντας ξυλίνας εἰκόνας μὲ ζωγραφικὴν ἀπομίμησιν ὡς πρότυπα ταριχεύσεως[93]. Ἡ σπουδαιοτέρα ἀπὸ αὐτὰς εἶναι, ὅπως λέγουν, ἐκείνου τὸν ὁποῖον δὲν θεωρῶ ἐπιτρεπτὸν νὰ ἀναφέρω τὸ ὄνομα κατὰ τὴν παροῦσαν στιγμὴν»[94].

29 Ἀλλὰ καὶ τῶν Ἑλλήνων οἱ σοφοὶ εἰς τὴν ποίησιν καὶ τὴν ἱστορίαν λέγουν περὶ τοῦ Ἡρακλέους,

«ὁ σκληρός, δὲν ἐσεβάσθη οὔτε τὴν ἐκδίκησιν τῶν
θεῶν οὔτε τὴν τράπεζαν
τὴν ὁποίαν παρέθεσεν εἰς αὐτόν· ἔπειτα ἐφόνευσε καὶ
αὐτόν»[95],

δηλαδὴ τὸν Ἴφιτον. Ἀφοῦ τοιοῦτος ἦτο εὐλόγως κατελήφθη ἀπὸ μανίαν, εὐλόγως δὲ ἧναψε πυρὰν καὶ ἔκαυσεν ἑαυτόν.

Περὶ δὲ τοῦ Ἀσκληπιοῦ ὁ μὲν Ἡσίοδος λέγει,

---

93. Κατὰ τὴν αἰγυπτιακὴν θρησκείαν ἡ ψυχή, τὸ Κᾶ, παραμένει ἐν ζωῇ, ἐφ' ὅσον διατηρεῖται καὶ τὸ σῶμα. Ἐὰν ὁ νεκρὸς ἐταριχεύετο κατὰ τὸ πρότυπον τοῦ Ὀσίριδος ἡ ψυχὴ θὰ μετέβαινεν εἰς τὴν βασιλείαν τοῦ Ὀσίριδος.

94. ΗΡΟΔΟΤΟΥ, *Ἱστορίαι* 2, 86.

95. *Ὀδύσσεια* Φ 28.

*«πατὴρ ἀνδρῶν τε θεῶν τε*
*χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ*
*ἔκτανε Λητοΐδην Φοῖβον σὺν θυμὸν ὀρίνων»·*

*Πίνδαρος δέ,*

*«ἀλλὰ κέρδει καὶ σοφία δέδεται.*
*Ἔτραπε κἀκεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶ φανείς.*
*Χερσὶ δ' ἄρα Κρονίων ῥίψας δι' ἀμφοῖν ἀμπνοὰν στέρων καθεῖλεν*
*ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκηψε μόρον».*

*Ἢ τοίνυν θεοὶ ἦσαν, καὶ οὔτε αὐτοὺς πρὸς χρυσὸν εἶχον,*

*«ὦ χρυσέ, δεξίωμαι κάλλιστον βροτοῖς,*
*ὡς οὔτε μήτηρ ἡδονὰς τοιάσδε ἔχει,*
*οὐ παῖδες»,*

*(ἀνεπιδεὲς γὰρ καὶ κρεῖττον ἐπιθυμίας τὸ θεῖον) οὔτε ἀπέθνησκον· ἢ ἄνθρωποι γεγονότες καὶ πονηροὶ δι' ἀμαθίαν ἦσαν καὶ χρημάτων ἐλάττους.*

*Τί δεῖ με πολλὰ λέγειν ἢ Κάστορος ἢ Πολυδεύκους μνημονεύοντα ἢ Ἀμφιάρεω, οἵ, ὡς εἰπεῖν λόγῳ, χθὲς καὶ πρώην ἄνθρωποι ἐξ ἀνθρώπων γεγονότες θεοὶ νομίζονται, ὁπότε καὶ Ἰνὼ μετὰ τὴν μανίαν καὶ τὰ ἐπὶ τῆς μανίας πάθη θεὸν δοξάζουσι γεγονέναι,*

*«πόντου πλάνητες Λευκοθέαν ἐπώνυμον»,*

3 Φοῖβον *Wilamowitz* φίλον *Π*
13 ὡς *προστίθ. Estienne*
18 δεῖ *προστίθ. Gesner*

---

96. *Ἀπόσπασμα* 125.
97. *Πυθιονίκαι* 3,54 ἑ. 57 ἑ.

Ὁ πατὴρ ἀνδρῶν καὶ θεῶν
ἐξωργίσθη καὶ ρίψας ἀπὸ τὸν Ὄλυμπον καπνίζοντα κεραυνὸν
ἐφόνευσε τὸν Λητοΐδην Φοῖβον μὲ ὑπερβολικὸν θυμόν»[96].

Ὁ δὲ Πίνδαρος,

«ἀλλὰ μὲ τὸ κέρδος εἶναι δεμένη καὶ ἡ σοφία.
Ὁ χρυσός, φανεὶς εἰς τὰς χεῖρας, μετέτρεψε
καὶ ἐκεῖνον μὲ τὴν ὑπόσχεσιν πλουσίου μισθοῦ.
Ἀλλ' ὁ υἱὸς τοῦ Κρόνου ρίψας κεραυνὸν μὲ τὰς δύο χεῖρας του
ἔκοψε τὴν ἀναπνοὴν τῶν πνευμόνων του ἀμέσως,
ὁ δὲ φλογισμένος κεραυνὸς ἐπέφερε τὸν θάνατον»[97].

Ἢ λοιπὸν ἦσαν θεοὶ καὶ οὔτε θὰ ἐνδιεφέροντο διὰ τὸν χρυσόν,

«ὦ χρυσέ, τὸ κάλλιστον δῶρον εἰς τοὺς ἀνθρώπους,
διότι οὔτε ἡ μήτηρ προσφέρει τοιαύτας ἡδονάς,
οὔτε τὰ παιδιά»[98],

(διότι τὸ θεῖον εἶναι ἄνευ ἀνάγκης καὶ ἀνώτερον ἐπιθυμιῶν), οὔτε θὰ ἀπέθνησκον· ἢ γενόμενοι ἄνθρωποι, ὑπῆρξαν πονηροὶ λόγω ἀγνοίας καὶ κατώτεροι χρημάτων.

Τί χρειάζεται νὰ λέγω πολλά, ἀναφέρων τὸν Κάστορα ἢ τὸν Πολυδεύκην ἢ τὸν Ἀμφιάρεων, οἱ ὁποῖοι ἐνῶ ἦσαν χθεσινοί, ποὺ λέγει ὁ λόγος, καὶ προχθεσινοὶ ἄνθρωποι ἐξ ἀνθρώπων θεωροῦνται θεοί, ἀφοῦ καὶ ἡ Ἰνὼ πιστεύουν ὅτι ἔγινε θεὰ μετὰ τὴν μανίαν καὶ τὰ ἐκ τῆς μανίας πάθη της,

«οἱ ποντοπόροι θὰ τὴν ἐπικαλοῦνται μὲ τὸ ὄνομα Λευκοθέα»[99],

98. Ἀπόσπασμα τοῦ Εὐριπίδου (*Ἀπόσπ.* 324 *Nauck*) ἴσως ἐκ τῶν *Δαναΐδων*.

99. Ἡ Ἰνώ, σύζυγος τοῦ Ἀθάμαντος, κατεδικάσθη ὑπὸ τῆς Ἥρας εἰς μανίαν, διότι ἀνέθρεψε τὸν Διόνυσον, καὶ τέλος ἐρρίφθη εἰς τὴν θάλασσαν κρατῶν τὸν υἱόν της Μελικέρτην ἢ Παλαίμωνα διὰ νὰ τὸν σώσῃ ἀπὸ τὸν πατέρα του. Οἱ ἀκολουθοῦντες δύο στίχοι εἶναι ἀγνώστου προελεύσεως.

*καὶ τὸν παῖδα αὐτῆς,*

*«σεμνὸς Παλαίμων ναυτίλοις κεκλήσεται»;*

30 *Εἰ γὰρ καὶ ὡς ἀπόπτυστοι καὶ θεοστυγεῖς δόξαν ἔσχον εἶναι θεοὶ καὶ ἡ θυγάτηρ τῆς Δερκετοῦς Σεμίραμις, λάγνος γυνὴ καὶ μιαιφόνος, ἔδοξε Συρία θεὸς καὶ διὰ τὴν Δερκετὼ τοὺς ἰχθῦς καὶ τὰς περιστερὰς διὰ τὴν Σεμίραμιν σέβουσι Σῦροι (τὸ γὰρ ἀδύνατον, εἰς περιστερὰν μετέβαλεν ἡ γυνή· ὁ μῦθος παρὰ Κτησίᾳ), τί θαυμαστὸν τοὺς μὲν ἐπὶ ἀρχῇ καὶ τυραννίδι ὑπὸ τῶν κατ' αὐτοὺς κληθῆναι θεοὺς (Σίβυλλα, μέμνηται δ' αὐτῆς καὶ Πλάτων),*

*«καὶ δὴ τότε δὴ δεκάτη γενεὴ μερόπων ἀνθρώπων,*
*ἐξ οὗ δὴ κατακλυσμὸς ἐπὶ προτέρους γένετ' ἄνδρας.*
*Καὶ βασίλευσε Κρόνος καὶ Τιτὰν Ἰαπετός τε,*
*Γαίης τέκνα φέριστα καὶ Οὐρανοῦ, οὓς ἐκάλεσσαν*
*ἄνθρωποι Γαῖάν τε καὶ Οὐρανὸν οὔνομα θέντες,*
*οὕνεκα οἱ πρώτιστοι ἔσαν μερόπων ἀνθρώπων»,*

*τοὺς δ' ἐπ' ἰσχύϊ, ὡς Ἡρακλέα καὶ Περσέα, τοὺς δ' ἐπὶ τέχνῃ, ὡς Ἀσκληπιόν; Οἷς μὲν οὖν ἢ αὐτοὶ οἱ ἀρχόμενοι τιμῆς μετεδίδοσαν ἢ αὐτοὶ οἱ ἄρχοντες, οἱ μὲν φόβῳ, οἱ δὲ καὶ αἰδοῖ μετεῖχον τοῦ ὀνόματος (καὶ Ἀντίνους φιλανθρωπίᾳ τῶν ὑμετέρων προγόνων πρὸς τοὺς ὑπηκόους ἔτυχε νομίζεσθαι θεός)· οἱ δὲ μετ' αὐτοὺς ἀβασανίστως παρεδέξαντο.*

5–37 τοὺς ἰχθῦς *προστίθ. Schwartz*

1. Ἡ Δερκετὼ (ἢ Ἀτάργατις) ἦτο θεὰ τῆς γονιμότητος, λατρευομένη εἰς τὴν Ἱεράπολιν τῆς Συρίας, καὶ ἔχουσα σύμβολον τὸν ἰχθύν, διότι πεσοῦσα εἰς τὴν θάλασσαν εἶχε μεταβληθῆ εἰς ἰχθύν. Θυγάτηρ της ἦτο ἡ Σεμίραμις, ἡ ὁποία ὡς βρέφος εἶχεν ἐκτεθῆ καὶ εὗρε περιποίησιν ἀπὸ τὰς περιστεράς. Ἀνθρώπινον ἀντίκρυσμα τῆς τελευταίας ὑπῆρξεν ἡ ὁμώνυμος βασίλισσα τῆς Ἀσσυρίας (810–805). Σχετικῶς βλ. ΚΤΗΣΙΟΥ, *Ἀπόσπασμα* 5, ΛΟΥΚΙΑΝΟΥ, *Περὶ Συρίης θεοῦ* 14 καὶ ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ, 2,4.

καθὼς καὶ ὁ υἱὸς αὐτῆς,

«θὰ ὀνομασθῇ ὑπὸ τῶν ναυτίλων σεβαστὸς Παλαίμων».

30 Ἐὰν αὐτὰ τὰ πρόσωπα, ἐνῶ ἦσαν ἀπόπτυστοι καὶ θεοστυγεῖς, ἐτιμήθησαν μὲ τὸ ἀξίωμα τοῦ Θεοῦ, καὶ ἡ θυγάτηρ τῆς Δερκετοῦς Σεμίραμις, γυνὴ λάγνος καὶ αἱμοσταγής, ἐτιμήθη ὡς Συρία θεά, οἱ δὲ Σῦροι διὰ τὴν Δερκετὼ σέβονται τοὺς ἰχθῦς καὶ διὰ τὴν Σεμίραμιν τὰς περιστερὰς (διότι κατὰ τὸν μῦθον τοῦ Κτησίου συνέβη τὸ ἀδύνατον, ἡ γυνὴ μετεβλήθη εἰς περιστεράν)[1], τί περίεργον εἶναι τὸ νὰ ἔχουν κληθῇ θεοὶ ἄλλοι δι' ἐξουσίαν καὶ κυριαρχίαν (ἡ Σίβυλλα τὴν ὁποίαν ἀναφέρει καὶ ὁ Πλάτων[1α], λέγει·

«Καὶ τότε ἀκριβῶς ἦτο ἡ δεκάτη γενεὰ τῶν ἀνθρώπων,
ἀπὸ τὴν ἔλευσιν τοῦ καταμελισμοῦ ἐπὶ τῶν προηγουμένων ἀνθρώπων.
Καὶ ἐβασίλευσεν ὁ Κρόνος, ὁ Τιτὰν καὶ ὁ Ἰαπετός,
ἐξαίρετα τέκνα τῆς Γῆς καὶ τοῦ Οὐρανοῦ, τούτους δὲ ἐκάλεσαν
μὲ τὰ ὀνόματα τῆς Γῆς καὶ τοῦ Οὐρανοῦ,
διότι ὑπῆρξαν τὰ πρῶτα γεννήματα τῶν θνητῶν ἀνθρώπων»[2]),

ἄλλοι διὰ δύναμιν, ὅπως ὁ Ἡρακλῆς καὶ ὁ Περσεύς, ἄλλοι δὲ διὰ τέχνην, ὅπως ὁ Ἀσκληπιός; Εἰς τούτους λοιπὸν ἢ οἱ ὑπήκοοι ἀπέδιδον τὴν τιμὴν ἢ οἱ ἴδιοι οἱ ἄρχοντες, ἐχρησιμοποίουν δὲ τὸ ὄνομα ἄλλοι ἀπὸ φόβον καὶ ἄλλοι ἀπὸ σεβασμὸν (καὶ ὁ Ἀντίνοος εἶχε τὴν τύχην νὰ νομισθῇ Θεός, ἀπὸ τὴν φιλανθρωπίαν τῶν προγόνων σας πρὸς τοὺς ὑπηκόους των)[3], ἐνῶ οἱ μεταγενέστεροι αὐτῶν ἐδέχθησαν τὴν λατρείαν των ἀβασανίστως.

---

1α. *Φαῖδρος* 244 Β.

2. *Σιβυλλικοὶ χρησμοὶ* 3, 108–113.

3. Ὁ Ἀντίνοος, ἐρωμένος τοῦ Ἀδριανοῦ, ἀπέθανε πνιγεὶς εἰς τὸν Νεῖλον.

*«Κρῆτες ἀεὶ ψεῦσται· καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο*
*Κρῆτες ἐτεκτήναντο· σὺ δ' οὐ θάνες».*

*Πιστεύων, Καλλίμαχε, ταῖς γοναῖς τοῦ Διὸς ἀπιστεῖς αὐτοῦ τῷ τάφῳ καὶ νομίζων ἐπισκιάσειν τἀληθὲς καὶ τοῖς ἀγνοοῦσι κηρύσσεις τὸν τεθνηκότα κἂν μὲν τὸ ἄντρον βλέπῃς, τὸν Ῥέας ὑπομιμνῄσκῃ τόκον, ἂν δὲ τὴν σορὸν ἴδῃς, ἐπισκοτεῖς τῷ τεθνηκότι, οὐκ εἰδὼς ὅτι μόνος ἀΐδιος ὁ ἀγένητος Θεός. Ἢ γὰρ ἄπιστοι οἱ ὑπὸ τῶν πολλῶν καὶ ποιητῶν λεγόμενοι μῦθοι περὶ τῶν θεῶν καὶ περισσὴ ἡ περὶ αὐτοὺς εὐσέβεια (οὐ γάρ εἰσιν ὧν ψευδεῖς οἱ λόγοι), ἢ εἰ ἀληθεῖς αἱ γενέσεις, οἱ ἔρωτες, αἱ μιαιφονίαι, αἱ κλοπαί, αἱ ἐκτομαί, οἱ κεραυνοί, οὐκέτ' εἰσίν, παυσάμενοι εἶναι, ἐπεὶ καὶ ἐγένοντο οὐκ ὄντες. Τίς γὰρ τοῖς μὲν πιστεύειν λόγος, τοῖς δὲ ἀπιστεῖν, ἐπὶ τὸ σεμνότερον περὶ αὐτῶν τῶν ποιητῶν ἱστορηκότων; Οὐ γὰρ ἂν δι' οὓς ἐνομίσθησαν θεοὶ σεμνοποιήσαντας τὴν κατ' αὐτοὺς ἱστορίαν, οὗτοι τὰ πάθη τὰ αὐτῶν ἐψεύσαντο.*

*Ὡς μὲν οὖν οὐκ ἐσμὲν ἄθεοι Θεὸν ἄγοντες τὸν ποιητὴν τοῦδε τοῦ παντὸς καὶ τὸν παρ' αὐτοῦ λόγον, κατὰ δύναμιν τὴν ἐμήν, εἰ καὶ μὴ πρὸς ἀξίαν, ἐλήλεγκται.*

## *ΑΙ ΔΥΟ ΑΛΛΑΙ ΚΑΤΗΓΟΡΙΑΙ*

*31 Ἔτι δὲ καὶ τροφὰς καὶ μίξεις λογοποιοῦσιν ἀθέους καθ' ἡμῶν, ἵνα τε μισεῖν νομίζοιεν μετὰ λόγου καὶ οἰόμενοι ἢ τῷ δεδίττεσθαι τῆς ἐνστάσεως ἀπάξειν ἡμᾶς τοῦ βίου ἢ πικροὺς καὶ ἀπαραιτήτους τῇ τῶν αἰτιῶν ὑπερβολῇ τοὺς ἄρχοντας παρασκευάσειν, πρὸς εἰδότας παίζοντες ὅτι ἄνωθέν πως ἔθος καὶ οὐκ ἐφ' ἡμῶν μόνον κατά τινα θεῖον νόμον καὶ λόγον παρηκο-*

4. ΚΑΛΛΙΜΑΧΟΥ, *Ὕμνος εἰς Δία* 8 ἑ. Βλ. *Ἐπιστολὴ πρὸς Τίτον*, 1,12.

«Οἱ Κρῆτες εἶναι πάντοτε ψεῦσται· διότι, Κύριε, τάφον σοῦ κατεσκεύασαν οἱ Κρῆτες· σὺ ὅμως δὲν ἀπέθανες»[4].

Καλλίμαχε, ἐνῶ πιστεύεις εἰς τὴν γέννησιν τοῦ Διός, ἀπιστεῖς εἰς τὸν τάφον αὐτοῦ καὶ νομίζεις ὅτι θὰ κρύψης τὴν ἀλήθειαν, καὶ διὰ τοῦτο κηρύσσεις τὸν ἀποθανόντα εἰς τοὺς ἀγνοοῦντας· καὶ ἂν μὲν βλέπῃς τὸ σπήλαιον, ἐνθυμεῖσαι τὸν τοκετὸν τῆς Ρέας, ἂν δὲ κυττάξῃς τὸν σορὸν ἀποκρύπτεις τὸν ἀποθανόντα, ἀγνοῶν ὅτι μόνος ἀΐδιος εἶναι ὁ ἀγένητος Θεός. Διότι ἢ εἶναι ἀπίστευτοι οἱ λεγόμενοι ἀπὸ τὰ πλήθη καὶ τοὺς ποιητὰς μῦθοι περὶ τῶν θεῶν καὶ περιττὴ ἡ πρὸς αὐτοὺς εὐσέβεια (ἐφ' ὅσον ἐκεῖνοι περὶ τῶν ὁποίων οἱ λόγοι εἶναι ψευδεῖς δὲν ὑπάρχουν) ἤ, ἐὰν εἶναι ἀληθινὰ αἱ γενήσεις, οἱ ἔρωτες, οἱ φόνοι, αἱ κλοπαί, οἱ εὐνουχισμοί, οἱ κεραυνοί, δὲν ὑπάρχουν πλέον, παύσαντες νὰ εἶναι, ἐπειδὴ ἔγιναν ἀπὸ τὴν ἀνυπαρξίαν. Πράγματι διὰ ποῖον λόγον εἰς ἄλλους μὲν νὰ πιστεύωμεν, εἰς ἄλλους δὲ νὰ ἀπιστοῦμεν, ἐφ' ὅσον οἱ ποιηταὶ ἔχουν διηγηθῆ αὐτοὺς διὰ νὰ ἐξυμνήσουν τούτους; Διότι ἀσφαλῶς ἐκεῖνοι οἱ ὁποῖοι ἱεροποίησαν τὴν ἱστορίαν των καὶ συνετέλεσαν ὥστε νὰ πιστευθοῦν ὡς θεοί, δὲν θὰ ἐφεύρισκον ψευδῶς τὰ πάθη των.

Ἐπομένως ὅτι δὲν εἴμεθα ἄθεοι διὰ τὸν λόγον ὅτι δεχόμεθα ὡς Θεὸν τὸν ποιητὴν τοῦ σύμπαντος τούτου καὶ τὸν παρ' αὐτοῦ Λόγον, ἔχει ἀποδειχθῆ κατὰ τὴν δύναμίν μου, ἔστω καὶ ὄχι κατ' ἀξίαν.

## ΑΙ ΔΥΟ ΑΛΛΑΙ ΚΑΤΗΓΟΡΙΑΙ

31 Προσέτι κατασκευάζουν ἐναντίον ἡμῶν ψευδῶς κατηγορίας διὰ δεῖπνα καὶ ἑνώσεις ἀνοσίους, διὰ νὰ ἔχουν τὴν συνείδησιν ὅτι μᾶς μισοῦν εὐλόγως καὶ μὲ τὴν ἰδέαν ἢ ὅτι θὰ μᾶς ἀπομακρύνουν διὰ τοῦ φόβου ἀπὸ τὸν τρόπον βίου τὸν ὁποῖον ἀκολουθοῦμεν ἢ ὅτι μὲ τὰς ὑπερβολικὰς κατηγορίας θὰ καταστήσουν τοὺς ἄρχοντας σκληροὺς καὶ δυσμενεῖς. Παίζουν ὅμως

*λούθηκε προσπολεμεῖν τὴν κακίαν τῇ ἀρετῇ. Οὕτω καὶ Πυθαγόρας μὲν ἅμα τριακοσίοις ἑταίροις κατεφλέχθη πυρί, Ἡράκλειτος δὲ καὶ Δημόκριτος, ὁ μὲν τῆς Ἐφεσίων πόλεως ἠλαύνετο, ὁ δὲ τῆς Ἀβδηριτῶν ἐπικατηγορούμενος μεμηνέναι, καὶ Σωκράτους Ἀθηναῖοι θάνατον κατέγνωσαν. Ἀλλ᾽ ὡς ἐκεῖνοι οὐδὲν χείρους εἰς ἀρετῆς λόγον διὰ τὴν τῶν πολλῶν δόξαν, οὐδ᾽ ἡμῖν οὐθὲν ἐπισκοπεῖ πρὸς ὀρθότητα βίου ἡ παρά τινων ἄκριτος βλασφημία· εὐδοξοῦμεν γὰρ παρὰ τῷ Θεῷ.*

*Πλὴν ἀλλὰ καὶ πρὸς ταῦτα ἀπαντήσω τὰ ἐγκλήματα. Ὑμῖν μὲν οὖν καὶ δι᾽ ὧν εἴρηκα εὖ οἶδα ἀπολελογῆσθαι ἐμαυτόν. Συνέσει γὰρ πάντας ὑπερφρονοῦντες, οἷς ὁ βίος ὡς πρὸς στάθμην τὸν Θεὸν κανονίζεται, ὅπως ἀνυπαίτιος καὶ ἀνεπίληπτος ὁ ἔσω ἡμῶν ἄνθρωπος αὐτῷ γένοιτο, ἴστε τούτους μηδ᾽ εἰς ἔννοιάν ποτε τοῦ βραχυτάτου ἐλευσομένους ἁμαρτήματος. Εἰ μὲν γὰρ ἕνα τὸν ἐνταῦθα βίον βιώσεσθαι ἐπεπείσμεθα, κἂν ὑποπτεύειν ἐνῆν δουλεύοντας σαρκὶ καὶ αἵματι ἢ κέρδους ἢ ἐπιθυμίας ἐλάττους γενομένους ἁμαρτεῖν· ἐπεὶ δὲ ἐφεστηκέναι μὲν οἷς ἐννοοῦμεν καὶ λαλοῦμεν καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν τὸν Θεὸν οἴδαμεν, πάντα δὲ φῶς αὐτὸν ὄντα καὶ τὰ ἐν τῇ καρδίᾳ ἡμῶν ὁρᾶν, πεπείσμεθα δὲ τοῦ ἐνταῦθα ἀπαλλαγέντες βίου βίον ἕτερον βιώσεσθαι ἀμείνονα ἢ κατὰ τὸν ἐνθάδε καὶ ἐπουράνιον, οὐκ ἐπίγειον, ὡς ἂν μετὰ Θεοῦ καὶ σὺν Θεῷ ἀκλινεῖς καὶ ἀπαθεῖς τὴν ψυχὴν οὐχ ὡς σάρκες κἂν ἔχωμεν, ἀλλ᾽ ὡς οὐράνιον πνεῦμα μένωμεν, ἢ συγκαταπίπτοντες τοῖς λοιποῖς χείρονα καὶ διὰ πυρὸς (οὐ γὰρ καὶ ἡμᾶς ὡς πρόβατα ἢ ὑποζύγια, πάρεργον καὶ*

13 ὁ ἔσω *X* ἑκάστου *Π* ἕκαστος *Gesner*
18 καὶ *X* οἷς *Π*

---

5. Κατὰ παράδοσιν ἐκάη εἰς ἓν ἀπὸ τὰ οἰκήματά του ὑπὸ τῶν πολιτικῶν του ἐχθρῶν, βλ. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ 8,1,3.

6. Οἱ τέσσαρες αὐτοὶ στοχασμοὶ εἶναι ἐκ τῶν συνηθέστατα ἀναφερομένων

παιγνίδιον ἐνώπιον ἀνθρώπων οἱ ὁποῖοι γνωρίζουν ὅτι ἀπὸ παλαιά, καὶ ὄχι μόνον εἰς τὴν ἐποχήν μας, ἔχει ἐπικρατήσει ἔθιμον, κατὰ κάποιον θεῖον νόμον καὶ λόγον, ἡ κακία νὰ πολεμῇ τὴν ἀρετήν. Οὕτω καὶ ὁ Πυθαγόρας μαζὶ μὲ τριακοσίους συντρόφους ἐκάη μὲ πῦρ[5], ὁ Ἡράκλειτος καὶ ὁ Δημόκριτος ἐξωρίσθησαν, ὁ πρῶτος ἀπὸ τὴν Ἔφεσον, ὁ δεύτερος ἀπὸ τὰ Ἄβδηρα μὲ τὴν κατηγορίαν τῆς μανίας, ἐνῶ οἱ Ἀθηναῖοι κατεδίκασαν τὸν Σωκράτην εἰς θάνατον[6]. Καὶ ὅπως ἐκεῖνοι δὲν ἦσαν καθόλου χειρότεροι εἰς τὴν κλίμακα τῆς ἀρετῆς ἐξ αἰτίας τῆς περὶ αὐτῶν γνώμης τῶν πολλῶν, οὕτω καὶ ἡμᾶς κατὰ τίποτε δὲν σκοτίζει τὴν ὀρθότητα βίου ἡ ἄκριτος ἐναντίον μας βλασφημία μερικῶν· διότι ἔχομεν καλὴν φήμην πλησίον τοῦ Θεοῦ.

Ἀλλὰ πάντως θὰ ἀπαντήσω καὶ εἰς αὐτὰς τὰς κατηγορίας. Βεβαίως γνωρίζω καλῶς ὅτι πρὸς σᾶς τοὺς ἰδίους ἔχω ἀπολογηθῆ καὶ μὲ ὅσα ἔχω εἴπει. Διότι σεῖς, ὑπερβάλλοντες ὅλους εἰς φρόνησιν, γνωρίζετε ὅτι ἐκεῖνοι τῶν ὁποίων ὁ βίος κανονίζεται μὲ στάθμην τὸν Θεόν, διὰ νὰ γίνῃ ἄψογος καὶ ἀνεπίληπτος ὁ ἐσωτερικὸς ἡμῶν ἄνθρωπος πρὸς αὐτόν, δὲν θὰ φθάσουν ποτὲ οὔτε νὰ διανοηθοῦν τὸ παραμικρὸν ἁμάρτημα. Ἐὰν βέβαια εἴμεθα πεπεισμένοι ὅτι θὰ ζήσωμεν μίαν μόνον ζωήν, τὴν ἐδῶ κάτω, θὰ ἦτο δυνατὸν νὰ μᾶς ὑποπτευθοῦν ὅτι ἁμαρτάνομεν, δουλεύοντες εἰς σάρκα καὶ αἷμα ἢ καταλαμβανόμενοι ἀπὸ φιλοκέρδειαν ἢ ἐπιθυμίαν. Ἐπειδὴ δὲ γνωρίζομεν ὅτι ὁ Θεὸς εἶναι παρὼν εἰς ὅλα ὅσα σκεπτόμεθα καὶ λέγομεν νύκτα καὶ ἡμέραν, ὅτι βλέπει ὅλα τὰ μυστικὰ τῆς καρδίας ἡμῶν διότι εἶναι φῶς, ἔχομεν δὲ τὴν πεποίθησιν ὅτι, ὅταν ἀπαλλαγῶμεν ἀπὸ τὸν ἐδῶ βίον, θὰ ζήσωμεν ἄλλον βίον ἀνώτερον ἀπὸ τὸν παρόντα καὶ ἐπουράνιον, ὄχι ἐπίγειον, οὕτως ὥστε νὰ μένωμεν πλησίον τοῦ Θεοῦ καὶ μαζὶ μὲ τὸν Θεὸν ἀμετακίνητοι καὶ ἀπαθεῖς κατὰ τὴν ψυχήν, ὄχι ὡς σάρκες, ἔστω καὶ ἂν ἔχωμεν σάρκας, ἀλλ' ὡς οὐράνιον πνεῦμα, ἢ ἐὰν καταπέσωμεν μαζὶ μὲ τοὺς ἄλλους, χειρότερον βίον εἰς τὸ πῦρ (διότι ὁ Θεὸς δὲν ἔπλασε καὶ ἡμᾶς ὡς παρέργως καὶ πρὸς ἀπώλειαν καὶ ἀφανισμόν, ὡσὰν πρόβατα καὶ

ὑπὸ τῶν Ἀπολογητῶν.

*ἵνα ἀπολοίμεθα καὶ ἀφανισθείημεν, ἔπλασεν ὁ Θεός), ἐπὶ τούτοις οὐκ εἰκὸς ἡμᾶς ἐθελοκακεῖν οὐδ' αὐτοὺς τῷ μεγάλῳ παραδιδόναι κολασθησομένους δικαστῇ.*

### *ΑΙ ΑΠΟΔΙΔΟΜΕΝΑΙ ΟΙΔΙΠΟΔΕΙΟΙ ΜΙΞΕΙΣ*

32 *Τοὺς μὲν οὖν θαυμαστὸν οὐδὲν λογοποιεῖν περὶ ἡμῶν ἃ περὶ τῶν σφετέρων λέγουσι θεῶν (καὶ γὰρ τὰ πάθη αὐτῶν δεικνύουσι μυστήρια· χρῆν δ' αὐτούς, εἰ δεινὸν τὸ ἐπ' ἀδείας καὶ ἀδιαφόρως μίγνυσθαι κρίνειν ἔμελλον, ἢ τὸν Δία μεμισηκέναι, ἐκ μητρὸς μὲν Ῥέας θυγατρὸς δὲ Κόρης πεπαιδοποιημένον, γυναικὶ δὲ ἰδίᾳ ἀδελφῇ χρώμενον, ἢ τὸν τούτων ποιητὴν Ὀρφέα, ὅτι καὶ ἀνόσιον ὑπὲρ τὸν Θυέστην καὶ μιαρὸν ἐποίησε τὸν Δία· καὶ γὰρ οὗτος τῇ θυγατρὶ κατὰ χρησμὸν ἐμίγη, βασιλεῦσαι θέλων καὶ ἐκδικηθῆναι)· ἡμεῖς δὲ τοσοῦτον διάφοροι εἶναι ἀπέχομεν, ὡς μηδὲ ἰδεῖν ἡμῖν πρὸς ἐπιθυμίαν ἐξεῖναι· «ὁ γὰρ βλέπων», φησί, «γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη μεμοίχευκεν ἐν τῇ καρδίῃ αὐτοῦ». Οἷς οὖν μηδὲν πλέον ἔξεστιν ὁρᾶν ἢ ἐφ' ἃ ἔπλασε τοὺς ὀφθαλμοὺς ὁ Θεός, ἡμῖν φῶς αὐτοὺς εἶναι, καὶ οἷς τὸ ἰδεῖν ἡδέως μοιχεία, ἐφ' ἕτερα τῶν ὀφθαλμῶν γεγονότων, μέχρις ἐννοίας κριθησομένοις, πῶς ἂν οὗτοι ἀπιστηθεῖεν σωφρονεῖν;*

*Οὐ γὰρ πρὸς ἀνθρωπικοὺς νόμους ὁ λόγος ἡμῖν, οὓς ἄν τις γενόμενος πονηρὸς καὶ λάθοι (ἐν ἀρχῇ δὲ ὑμῖν, δεσπόται, θεοδίδακτον εἶναι τὸν καθ' ἡμᾶς λόγον ἐπιστούμην), ἀλλ' ἔστιν*

8–9 γυναικὶ δὲ ἰδίᾳ ἀδελφῇ *X* γυναικιδιαδελφῇ *Π* γυναικὶ δὲ τῇ ἰδίᾳ ἀδελφῇ *Schwartz*

11 βασιλεῦσαι θέλων καὶ *Dechair* βασιλεὺς ἐθέλων καὶ Θυέστης *Π*

ὑποζύγια). Ἐν ὄψει αὐτῶν δὲν εἶναι εὔλογον νὰ ἐπιδιδώμεθα ἐθελουσίως εἰς τὸ κακὸν καὶ νὰ παραδώσωμεν ἑαυτοὺς εἰς τὸν μέγαν δικαστὴν πρὸς τιμωρίαν.

## ΑΙ ΑΠΟΔΙΔΟΜΕΝΑΙ ΟΙΔΙΠΟΔΕΙΟΙ ΜΙΞΕΙΣ

32 Δὲν εἶναι καθόλου περίεργον ὅτι οἱ κατήγοροι πλάσσουν δι' ἡμᾶς τοὺς ἰδίους μύθους, τοὺς ὁποίους λέγουν διὰ τοὺς θεοὺς αὐτῶν (διότι τὰ πάθη των παρουσιάζουν ὡς μυστήρια· ἐνῶ δὲ ἔπρεπε, ἐὰν πράγματι ἐθεώρουν φοβερὰν τὴν ἀναίσχυντον καὶ ἀδιάκριτον σαρκικὴν μῖξιν, ἢ τὸν Δία νὰ ἔχουν μισήσει, ἀφοῦ εἶχε τεκνοποιήσει ἀπὸ τὴν μητέρα Ρέαν καὶ τὴν θυγατέρα Κόρην, εἶχε δὲ σύζυγον ἀδελφήν του, ἢ τὸν ποιητὴν τούτων Ὀρφέα, καθ' ὅσον καὶ ἀνόσιον καὶ μιαρὸν ὑπεράνω τοῦ Θυέστου παρουσίασε τὸν Δία· διότι οὗτος συνουσιάσθη μὲ τὴν θυγατέρα συμφώνως μὲ χρησμόν, θέλων νὰ βασιλεύσῃ καὶ νὰ ἐκδικηθῇ)· ἡμεῖς δὲ εἴμεθα τόσον διαφορετικοί, ὥστε νὰ μὴ ἐπιτρέπεται οὔτε νὰ ἴδωμεν μὲ κακὴν ἐπιθυμίαν. «Διότι», λέγει, «ὁ βλέπων γυναῖκα μὲ ἐπιθυμίαν αὐτῆς, ἔχει ἤδη μοιχεύσει αὐτὴν μὲ τὴν καρδίαν του»[7]. Πῶς εἶναι λοιπὸν δυνατὸν νὰ ἀρνηθῇ κανεὶς ὅτι σωφρονοῦμεν ἡμεῖς, εἰς τοὺς ὁποίους δὲν ἐπιτρέπεται νὰ βλέπωμεν τίποτε περισσότερον ἀπὸ ἐκεῖνα διὰ τὰ ὁποῖα ὁ Θεὸς ἔπλασε τοὺς ὀφθαλμούς, ὥστε οὗτοι νὰ εἶναι τὸ φῶς ἡμῶν, καὶ διὰ τοὺς ὁποίους τὸ ἡδονικὸν βλέμμα εἶναι μοιχεία, ἐφ' ὅσον οἱ ὀφθαλμοὶ ἔχουν γίνει δι' ἄλλα, καὶ οἱ ὁποῖοι θὰ κριθοῦν ἀκόμη καὶ διὰ τὰς μυχίας σκέψεις των;

Ὁ ἀπολογισμὸς ἡμῶν δὲν θὰ δοθῇ βάσει ἀνθρωπίνων νόμων, τοὺς ὁποίους εἷς πονηρὸς ἄνθρωπος θὰ ἠδύνατο νὰ παραβιάσῃ χωρὶς νὰ γίνῃ ἀντιληπτὸς (εἰς τὴν ἀρχήν, μεγαλειότατοι,

7. Ματθ. 5,28.

*ἡμῖν νόμος ἡ δικαιοσύνη ἧς μέτρον ἐποίησεν αὐτοῖς καὶ τοῖς πέλας ἔχειν. Διὰ τοῦτο καὶ καθ' ἡλικίαν τοὺς μὲν υἱοὺς καὶ θυγατέρας νοοῦμεν, τοὺς δὲ ἀδελφοὺς ἔχομεν καὶ ἀδελφὰς καὶ τοῖς προβεβηκόσι τὴν τῶν πατέρων καὶ μητέρων τιμὴν ἀπονέμομεν. Οὓς οὖν ἀδελφοὺς καὶ ἀδελφὰς καὶ τὰ λοιπὰ τοῦ γένους νοοῦμεν ὀνόματα, περὶ πολλοῦ ἡμῖν ἀνύβριστα καὶ ἀδιάφθορα αὐτῶν τὰ σώματα μένειν, πάλιν ἡμῖν λέγοντος τοῦ λόγου, «ἐάν τις διὰ τοῦτο ἐκ δευτέρου καταφιλήσῃ, ὅτι ἤρεσεν αὐτῷ» καὶ ἐπιφέροντος .... οὕτως οὖν ἀκριβώσασθαι τὸ φίλημα μᾶλλον δὲ τὸ προσκύνημα δεῖ, ὡς, εἴ που μικρὸν τῇ διανοίᾳ παραθολωθείη, ἔξω ἡμᾶς τῆς αἰωνίου τιθέντος ζωῆς.*

33 *Ἐλπίδα οὖν ζωῆς αἰωνίου ἔχοντες, τῶν ἐν τούτῳ τῷ βίῳ καταφρονοῦμεν μέχρι καὶ τῶν τῆς ψυχῆς ἡδέων, γυναῖκα μὲν ἕκαστος ἡμῶν ἣν ἠγάγετο κατὰ τοὺς ὑφ' ἡμῶν τεθειμένους νόμους νομίζων καὶ ταύτην μέχρι τοῦ παιδοποιήσασθαι. Ὡς γὰρ ὁ γεωργὸς καταβαλὼν εἰς γῆν τὰ σπέρματα ἄμητον περιμένει οὐκ ἐπισπείρων, καὶ ἡμῖν μέτρον ἐπιθυμίας ἡ παιδοποιΐα. Εὕροις δ' ἂν πολλοὺς τῶν παρ' ἡμῖν καὶ ἄνδρας καὶ γυναῖκας καταγηράσκοντας ἀγάμους ἐλπίδι τοῦ μᾶλλον συνέσεσθαι τῷ Θεῷ. Εἰ δὲ τὸ ἐν παρθενίᾳ καὶ ἐν εὐνουχίᾳ μεῖναι μᾶλλον παρίστησι τῷ Θεῷ, τὸ δὲ μέχρις ἐννοίας καὶ ἐπιθυμίας ἐλθεῖν ἀπάγει, ὧν τὰς ἐννοίας φεύγομεν, πολὺ πρότερον τὰ ἔργα παραιτούμεθα. Οὐ γὰρ μελέτῃ λόγων ἀλλ' ἐπιδείξει καὶ διδασκαλίᾳ ἔργων τὰ ἡμέτερα· ἢ οἷός τις ἐτέχθη μένειν ἢ ἐφ' ἑνὶ γάμῳ· ὁ γὰρ δεύτερος εὐπρεπής ἐστι μοιχεία. «Ὃς γὰρ ἂν ἀπολύσῃ», φησί, «τὴν γυ-*

1 ἡ δικαιοσύνη ἧς *Χρήστου* ἣ δικαιοσύνης *Π* αὐτοῖς καὶ τοῖς *Χρήστου* αὐτοὺς καὶ τοὺς *Π*

8–9 *μετὰ* ἐπιφέροντος *κενὸν Π*

8. Πρόκειται περὶ ἐντολῆς ἡ ὁποία πιθανῶς περιείχετο εἰς κυκλοφοροῦν τότε, ἄγνωστον δὲ τώρα, ἐγχειρίδιον λατρευτικῶν καὶ ἠθικῶν διατάξεων.

σᾶς διεβεβαίωσα ὅτι ἡ διδασκαλία ἡμῶν εἶναι θεοδίδακτος), ἀλλὰ νόμος εἰς ἡμᾶς εἶναι ἡ δικαιοσύνη, τῆς ὁποίας ὥρισε νὰ τηροῦμεν μέτρον μεταξὺ τῶν ἑαυτῶν μας καὶ τῶν πλησίον. Διὰ τοῦτο κατὰ ἡλικίαν ἄλλους μὲν θεωροῦμεν υἱοὺς καὶ θυγατέρας, ἄλλους δὲ ἔχομεν ἀδελφοὺς καὶ ἀδελφάς, ἐνῶ εἰς τοὺς προχωρημένους ἀπονέμομεν τὴν τιμὴν τῶν πατέρων καὶ μητέρων. Αὐτῶν λοιπόν, τοὺς ὁποίους θεωροῦμεν ἀδελφοὺς καὶ ἀδελφὰς καὶ τὰ παρόμοια, φροντίζομεν ἐπιμελῶς νὰ μένουν τὰ σώματα ἀμόλυντα καὶ ἀδιάφορα, καθ' ὅσον πάλιν μᾶς λέγει ὁ λόγος, «ἐὰν κανεὶς φιλήση διὰ δευτέραν φορὰν διὰ τοῦτο, ὅτι τοῦ ἤρεσε»[8] καὶ μᾶς κατηγορεῖ... Πρέπει λοιπὸν νὰ προσέχωμεν τὸ φίλημα, μᾶλλον δὲ τὸν θρησκευτικὸν χαιρετισμόν[9], τόσον πολύ, ὡσὰν νὰ μᾶς τοποθετῇ ἔξω ἀπὸ τὴν αἰώνιον ζωήν, ἐὰν θολωθῇ διὰ τῆς παραμικρᾶς πονηρᾶς σκέψεως.

33 Ἔχοντες λοιπὸν τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς, καταφρονοῦμεν τὰ ἀγαθὰ τοῦ βίου τούτου, μέχρι καὶ τῶν ἡδονῶν τῆς ψυχῆς. Οὕτως ἕκαστος ἀπὸ ἡμᾶς θεωρεῖ γυναῖκα του αὐτὴν τὴν ὁποίαν ἔλαβε συμφώνως πρὸς τοὺς ἰσχύοντας εἰς ἡμᾶς νόμους, καὶ αὐτὴν μόνον μὲ σκοπὸν τὴν παιδοποιΐαν. Διότι ὅπως ὁ γεωργός, ἀφοῦ καταβάλῃ εἰς τὴν γῆν τὰ σπέρματα περιμένει τὸν θερισμὸν χωρὶς νὰ συνεχίζῃ τὴν σπορὰν ἐπ' αὐτῶν, οὕτω καὶ εἰς ἡμᾶς μέτρον τῆς ἐπιθυμίας εἶναι ἡ παιδοποιΐα. Θὰ ἦτο δὲ δυνατὸν νὰ εὕρετε πολλοὺς μεταξὺ ἡμῶν, ἄνδρας καὶ γυναῖκας, γηράζοντας ἀγάμους μὲ τὴν ἐλπίδα ὅτι θὰ εὑρεθοῦν πλησιέστερον τοῦ Θεοῦ. Ἐὰν δὲ τὸ νὰ μένῃ κανεὶς ἐν παρθενίᾳ καὶ ἐν ἐγκρατείᾳ φέρῃ πλησίον τοῦ Θεοῦ, τὸ δὲ νὰ φθάσῃ κανεὶς εἰς ἐπιθυμίαν καὶ κατὰ διάνοιαν ἀκόμη ἀπομακρύνῃ, τῶν πραγμάτων τῶν ὁποίων ἀποφεύγομεν τὰς σκέψεις πολὺ περισσότερον ἐγκαταλείπομεν τὰ ἔργα· διότι ἡ διαγωγὴ ἡμῶν δὲν εἶναι λογοκοπία, ἀλλὰ ἐπίδειξις καὶ σχολεῖον ἔργων. Ἑπομένως ἢ νὰ μένῃ κανεὶς ὅπως ἐγεννήθη ἢ νά κάμῃ ἕνα μόνον γάμον· διότι ὁ δεύ-

---

9. Προφανῶς ὁ λόγος ἐδῶ εἶναι περὶ τοῦ φιλήματος εἰρήνης κατὰ τὴν λειτουργίαν.

*ναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται», οὔτε ἀπολύειν ἐπιτρέπων ἧς ἔπαυσέ τις τὴν παρθενίαν οὔτε ἐπιγαμεῖν. Ὁ γὰρ ἀποστερῶν ἑαυτὸν τῆς προτέρας γυναικός, καὶ εἰ τέθνηκεν, μοιχός ἐστιν παρακεκαλυμμένος, παραβαίνων μὲν τὴν χεῖρα τοῦ Θεοῦ, ὅτι ἐν ἀρχῇ ὁ Θεὸς ἕνα ἄνδρα ἔπλασε καὶ μίαν γυναῖκα, λύων δὲ τῆς σαρκὸς πρὸς σάρκα κατὰ τὴν ἕνωσιν πρὸς αὔξησιν τοῦ γένους κοινωνίαν.*

*34* *Ἀλλ' οἱ τοιοῦτοι (ὥστε ἂν εἴποιμι τὰ ἀπόρρητα;) ἀκούομεν τὰ τῆς παροιμίας «ἡ πόρνη τὴν σώφρονα». Οἱ γὰρ ἀγορὰν στήσαντες πορνείας καὶ καταγωγὰς ἀθέσμους πεποιημένοι τοῖς νέοις πάσης αἰσχρᾶς ἡδονῆς καὶ μηδὲ τῶν ἀρσένων φειδόμενοι, «ἄρσενες ἐν ἄρσεσι τὰ δεινὰ κατεργαζόμενοι», ὅσων σεμνότερα καὶ εὐειδέστερα σώματα, παντοίως αὐτὰ ὑβρίζοντες, ἀτιμοῦντες καὶ τὸ ποιητὸν τοῦ Θεοῦ καλὸν (οὐ γὰρ αὐτοποίητον ἐπὶ γῆς τὸ κάλλος, ἀλλὰ ὑπὸ χειρὸς καὶ γνώμης πεμπόμενον τοῦ Θεοῦ), οὗτοι δὲ ἃ συνίσασιν αὐτοῖς καὶ τοὺς σφετέρους λέγουσι θεούς, ἐπ' αὐτῶν ὡς σεμνὰ καὶ τῶν θεῶν ἄξια αὐχοῦντες, ταῦτα ἡμᾶς λοιδοροῦνται, κακίζοντες οἱ μοιχοὶ καὶ παιδερασταὶ τοὺς εὐνούχους καὶ μονογάμους, οἱ δίκην ἰχθύων ζῶντες (καὶ γὰρ οὗτοι καταπίνουσι τὸν ἐμπεσόντα, ἐλαύνοντες ὁ ἰσχυρότερος τὸν ἀσθενέστερον, καὶ τοῦτό ἐστι σαρκῶν ἅπτεσθαι ἀνθρωπικῶν, τὸ κειμένων νόμων, οὓς ὑμεῖς καὶ οἱ ὑμέτεροι πρόγονοι πρὸς πᾶσαν δικαιοσύνην ἐξετάσαντες ἐθήκατε, παρὰ τούτους αὐτοὺς βιάζεσθαι, ὡς μηδὲ τοὺς ὑφ' ὑμῶν καταπεμπομένους ἡγεμόνας*

6 αὔξησιν *X* μῖξιν *Π*
8 ὥστε *X* ὅτι *Π* *χεὶρ Βαάνους* ὦ τί *χεὶρ Ἀρέθα* καὶ τί *Wilamowitz*
17 ἄξια *Schwartz* αὐτὰ *Π*

---

10. Κατὰ τοὺς χρόνους τοῦ Ἀθηναγόρου, λόγῳ τῆς ἐπιρροῆς τοῦ Μοντανισμοῦ, παρετηρεῖτο μεγάλη αὐστηρότης εἰς τὸ θέμα τοῦ γάμου.

11. Ματθ. 19,9.

τερος εἶναι εὐπρεπὴς μοιχεία[10]. Διότι, λέγει, «ὅποιος ἀπολύση τὴν γυναῖκα αὐτοῦ καὶ νυμφευθῆ ἄλλην, μοιχεύει»[11], μὴ ἐπιτρέπων οὔτε νὰ ἀπολύῃ ἐκείνην τῆς ὁποίας ἔπαυσε τὴν παρθενίαν οὔτε νὰ νυμφευθῆ ἄλλην· ὁ ἀποστερῶν ἑαυτὸν τῆς πρώτης γυναικός, καὶ ἐὰν ἀκόμη ἔχῃ ἀποθάνει αὕτη, εἶναι πράγματι μοιχὸς κεκαλυμμένος, ἀφ' ἑνὸς μὲν ἀποκρούων τὴν χεῖρα τοῦ Θεοῦ, ἀφοῦ ἐν ἀρχῇ ὁ Θεὸς ἔπλασεν ἕνα ἄνδρα καὶ μίαν γυναῖκα, διαλύων δὲ τὴν κοινωνίαν σαρκὸς πρὸς σάρκα κατὰ τὴν ἕνωσιν πρὸς αὔξησιν τοῦ ἀνθρωπίνου γένους.

34 Ἀλλ' ἐνῶ εἴμεθα τόσον αὐστηροὶ (ὥστε χρειάζεται νὰ εἴπω πράγματα ἀνεπίτρεπτα;), ἀκούομεν τὰ τῆς παροιμίας «ἡ πόρνη κατηγορεῖ τὴν σώφρονα»[12]. Διότι αὐτοὶ οἱ ὁποῖοι ὠργάνωσαν ἀγορὰν πορνείας καὶ ἵδρυσαν ἁμαρτωλοὺς οἴκους πάσης αἰσχρᾶς ἡδονῆς διὰ τοὺς νέους, μὴ φειδόμενοι οὔτε τῶν ἀρρένων, «διαπράττοντες φοβερὰ πράγματα ἄρρενες εἰς ἄρρενας»[13], ὅσοι ἔχουν λαμπρότερα καὶ ὡραιότερα σώματα προβάλλουν αὐτά, καὶ συγχρόνως ἀτιμάζουν τὸ καλὸν δημιούργημα τοῦ Θεοῦ (διότι τὸ ἐπὶ τῆς γῆς κάλλος δὲν εἶναι αὐτοδημιούργητον, ἀλλὰ προέρχεται ἀπὸ τὴν χεῖρα καὶ γνώμην τοῦ Θεοῦ), οὗτοι ἀκριβῶς κατηγοροῦν ἡμᾶς δι' ὅσα ἔχουν τὴν συνείδησιν ὅτι πράττουν οἱ ἴδιοι καὶ ὅσα λέγουν ὅτι καὶ οἱ θεοί των ἐνεργοῦν, καυχώμενοι δι' αὐτὰ ὡς σεμνὰ καὶ ἄξια τῶν θεῶν. Οἱ μοιχοὶ καὶ παιδερασταὶ κακίζουν τοὺς ἐγκρατεῖς καὶ μονογάμους, οἱ ζῶντες ὡς ἰχθύες (διότι οὗτοι καταπίνουν ὅ,τι πέσῃ ἐμπρός των, διώκοντες ὁ ἰσχυρότερος τὸν ἀσθενέστερον, καὶ τοῦτο εἶναι ἡ βρῶσις ἀνθρωπίνων σαρκῶν· ἐνῶ ὑπάρχουν νόμοι, τοὺς ὁποίους σεῖς καὶ οἱ πρόγονοί σας ἔχετε ἐκδώσει μετὰ προσεκτικὴν ἐξέτασιν πρὸς ἐπιβολὴν τῆς δικαιοσύνης, αὐτοὶ παρὰ τούτους χρησιμοποιοῦν βίαν, ὥστε οὔτε οἱ ἀποστελλόμενοι ἀπὸ σᾶς διοικηταὶ τῶν ἐπαρχιῶν νὰ μὴ ἀρκοῦν εἰς τὴν ἐπιβολὴν τῆς τάξεως μὲ τὰς δίκας) κακίζουν ἡμᾶς εἰς τοὺς ὁποίους δὲν ἐπι-

12. Ἄγνωστος ἄλλοθεν ἡ παροιμία.
13. Ρωμ. 1,27.

*τῶν ἐθνῶν ἐξαρκεῖν ταῖς δίκαις) οἷς οὐδὲ παιομένοις μὴ παρέχειν ἑαυτοὺς οὐδὲ κακῶς ἀκούουσιν μὴ εὐλογεῖν ἔξεστιν· οὐ γὰρ ἀπαρκεῖ δίκαιον εἶναι (ἔστι δὲ δικαιοσύνη ἴσα ἴσοις ἀμείβειν), ἀλλ' ἀγαθοῖς καὶ ἀνεξικάκοις εἶναι πρόκειται.*

### *ΤΑ ΑΠΟΔΙΔΟΜΕΝΑ ΘΥΕΣΤΕΙΑ ΔΕΙΠΝΑ*

*35* *Τίς οὖν εὖ φρονῶν εἴποι τοιούτους ὄντας ἡμᾶς ἀνδροφόνους εἶναι; Οὐ γὰρ ἔστι πάσασθαι κρεῶν ἀνθρωπικῶν μὴ πρότερον ἀποκτείνασί τινα. Τὸ πρότερον οὖν ψευδόμενοι, ψεύδονται καὶ τὸ δεύτερον. Κἂν μέν τις αὐτοὺς ἔρηται εἰ ἑωράκασιν ἃ λέγουσιν, οὐδείς ἐστιν οὕτως ἀπηρυθριασμένος ὡς εἰπεῖν ἰδεῖν. Καίτοι καὶ δοῦλοί εἰσιν ἡμῖν, τοῖς μὲν καὶ πλείους τοῖς δὲ ἐλάττους, οὓς οὐκ ἔστι λαθεῖν· ἀλλὰ καὶ τούτων οὐδεὶς καθ' ἡμῶν τὰ τηλικαῦτα οὐδὲ κατεψεύσατο. Οὓς γὰρ ἴσασιν οὐδ' ἰδεῖν κἂν δικαίως φονευόμενον ὑπομένοντας, τούτων τίς ἂν κατείποι ἢ ἀνδροφονίαν ἢ ἀνθρωποβορίαν; Τίς οὐχ ἧττον περὶ σπουδῆς τὰς δι' ὅπλων ἀγωνίας καὶ διὰ θηρίων καὶ μάλιστα τὰς ὑφ' ὑμῶν ἀγομένας ἔχει; Ἀλλ' ἡμεῖς πλησίον εἶναι τὸ ἰδεῖν φονευόμενον τοῦ ἀποκτεῖναι νομίζοντες, ἀπηγορεύσαμεν τὰς τοιαύτας θέας. Πῶς οὖν οἱ μηδὲ ὁρῶντες ἵνα μὴ ἑαυτοῖς ἄγος καὶ μίασμα προστριψαίμεθα, φονεύειν δυνάμεθα; Καὶ οἳ τὰς τοῖς ἀμβλωθριδίοις χρωμένας ἀνδροφονεῖν τε καὶ λόγον ὑφέξειν τῆς ἐξαμβλώσεως*

8 ψεύδονται καὶ *προστίθ. X* ψεύδονται *προστίθ. Gesner* κατελέγχουσι *προστίθ. Schwartz*

15 τίς οὐχ ἧττον περὶ σπουδῆς *X* τίς οὐχ ἡ τῶν περὶ σπουδῆς *Π* τίς οὐχ ὑμῶν περισπούδαστος *Gesner* τίς οὐχ ἡδυπαθῶν σπουδὰς περὶ *Geffeken*

---

14. Ὁ Ἀθηναγόρας δὲν εἶχεν ἀναγνώσει τὸ Μαρτύριον τῶν εἰς τὴν Λυῶνα καὶ Βίενναν, κατὰ τὸ ὁποῖον δοῦλοι βασανισθέντες ἐπέρριψαν τοιαύτην ψευδῆ

τρέπεται νὰ μὴ στρέφωμεν τὴν παρειὰν ὅταν κτυπώμεθα καὶ νὰ μὴ εὐλογῶμεν ὅταν ὑβριζώμεθα. Διότι δὲν ἀρκεῖ εἰς ἡμᾶς νὰ εἴμεθα δίκαιοι (εἶναι δὲ δικαιοσύνη τὸ νὰ ἀποδίδωνται ἴσα εἰς τὰ ἴσα), ἀλλὰ πρέπει νὰ εἴμεθα ἀγαθοὶ καὶ ἀνεξίκακοι.

## ΤΑ ΑΠΟΔΙΔΟΜΕΝΑ ΘΥΕΣΤΕΙΑ ΔΕΙΠΝΑ

35 Ποῖος λογικὸς λοιπὸν θὰ ἠδύνατο νὰ εἴπη ὅτι εἴμεθα ἀνθρωποκτόνοι, ἐνῶ εἴμεθα τοιαύτης διαγωγῆς; Διότι δὲν εἶναι δυνατὸν νὰ φάγωμεν ἀνθρώπινα κρέατα, ἐὰν δὲν φονεύσωμεν προηγουμένως κάποιον. Ψευδόμενοι λοιπὸν εἰς τὸ προηγούμενον, ψεύδονται καὶ εἰς τὸ δεύτερον. Καὶ ἂν ἐρωτήση κανεὶς αὐτούς, ἐὰν ἔχουν ἴδει ὅσα λέγουν, κανεὶς δὲν εἶναι τόσον ἀδιάντροπος ὥστε νὰ εἴπη ὅτι εἶδε. Καὶ ὅμως ὑπάρχουν εἰς ἡμᾶς καὶ δοῦλοι, εἰς ἄλλους περισσότεροι εἰς ἄλλους ὀλιγώτεροι, τῶν ὁποίων δὲν εἶναι δυνατὸν νὰ διαφύγωμεν τὴν προσοχήν· κανεὶς δὲ ἀπὸ αὐτοὺς δὲν ἐπέρριψεν ἐναντίον ἡμῶν τοιαύτας ψευδεῖς κατηγορίας[14]. Ἐναντίον αὐτῶν, διὰ τοὺς ὁποίους γνωρίζουν ὅτι δὲν ἀνέχονται οὔτε κἂν ἕνα δικαίως φονευόμενον, ποῖος θὰ ἠδύνατο νὰ καταγγείλη δι' ἀνθρωποφονίαν ἢ ἀνθρωποφαγίαν; Ποῖος ἐνδιαφέρεται ἐξ ἴσου μὲ αὐτοὺς διὰ ὁπλομαχίας καὶ θηριομαχίας, καὶ μάλιστα τὰς ὀργανουμένας ἀπὸ σᾶς; Ἡμεῖς ὅμως, ἐπειδὴ νομίζομεν ὅτι τὸ νὰ ἴδωμεν φονευόμενον εἶναι πλησίον τοῦ φόνου, ἀπηγορεύσαμεν τὰς τοιαύτας θέας. Πῶς λοιπὸν δυνάμεθα νὰ φονεύσωμεν ἡμεῖς, οἱ ὁποῖοι οὔτε κἂν βλέπωμεν τοιαῦτα θεάματα διὰ νὰ μὴ προσάψωμεν εἰς ἑαυτοὺς ἄγος καὶ μίασμα; Καὶ κατὰ ποίαν λογικὴν ἀνθρωποφονοῦμεν ἡμεῖς οἱ ὁποῖοι λέγομεν ὅτι αἱ γυναῖκες αἱ χρησιμοποιοῦσαι ὄργανα ἀμβλωτικὰ εἶναι ἀνθρωποφόνοι καὶ θὰ δώσουν λόγον εἰς τὸν Θεὸν διὰ τὴν ἄμβλωσιν; Ἀσφαλῶς δὲν εἶναι δυνατὸν ὁ

---

κατηγορίαν, ΕΥΣΕΒΙΟΥ, *Ἐκκλ. Ἱστορία* 5,1,14. Τοῦτο ἐγράφη περίπου τὴν ἰδίαν ἐποχὴν μετὰ τῆς *Πρεσβείας*.

τῷ Θεῷ φαμεν, κατὰ ποῖον ἀνδροφονοῦμεν λόγον; Οὐ γὰρ τοῦ αὐτοῦ νομίζειν καὶ τὸ κατὰ γαστρὸς ζῶον εἶναι καὶ διὰ τοῦτο αὐτοῦ μέλειν τῷ Θεῷ, καὶ τὰ παρεληλυθότα εἰς τὸν βίον φονεύειν, καὶ μὴ ἐκτιθέναι μὲν τὸ γεννηθέν, ὡς τῶν ἐκτιθέντων τεκνοκτονούντων, πάλιν δὲ τὸ τραφὲν ἀναιρεῖν· ἀλλ' ἐσμὲν πάντα πανταχοῦ ὅμοιοι καὶ ἴσοι, δουλεύοντες τῷ λόγῳ καὶ οὐ κρατοῦντες αὐτοῦ.

36 Τίς ἂν οὖν ἀνάστασιν πεπιστευκὼς ἐπὶ σώμασιν ἀναστησομένοις ἑαυτὸν παράσχοι τάφον; Οὐ γὰρ τῶν αὐτῶν καὶ ἀναστήσεσθαι ἡμῶν πεπεῖσθαι τὰ σώματα καὶ ἐσθίειν αὐτὰ ὡς οὐκ ἀναστησόμενα, καὶ ἀποδώσειν μὲν νομίζειν τὴν γῆν τοὺς ἰδίους νεκρούς, οὓς δέ τις αὐτὸς ἐγκατέθαψεν αὑτῷ, μὴ ἀπαιτήσεσθαι. Τοὐναντίον μὲν οὖν εἰκὸς τοὺς μὲν μήτε λόγον ὑφέξειν τοῦ ἐνταῦθα ἢ πονηροῦ ἢ χρηστοῦ βίου μήτε ἀνάστασιν εἶναι οἰομένους συναπόλλυσθαι δὲ τῷ σώματι καὶ τὴν ψυχὴν καὶ οἷον ἐναποσβέννυσθαι λογιζομένους, μηδενὸς ἂν ἀποσχέσθαι τολμήματος· τοὺς δὲ μηδὲν ἀνεξέταστον ἔσεσθαι παρὰ τῷ Θεῷ, συγκολασθήσεσθαι δὲ καὶ τὸ ὑπουργῆσαν σῶμα ταῖς ἀλόγοις ὁρμαῖς τῆς ψυχῆς καὶ ἐπιθυμίας πεπεισμένους, οὐδεὶς λόγος ἔχει οὐδὲ τῶν βραχυτάτων τι ἁμαρτεῖν.

Εἰ δέ τῳ λῆρος πολὺς δοκεῖ τὸ σαπὲν καὶ διαλυθὲν καὶ ἀφανισθὲν σῶμα συστῆναι πάλιν, κακίας μὲν οὐκ ἂν εἰκότως δόξαν ἀποφεροίμεθα διὰ τοὺς οὐ πιστεύοντας ἀλλ' εὐηθείας· οἷς γὰρ ἀπατῶμεν ἑαυτοὺς λόγοις ἀδικοῦμεν οὐδένα. Ὅτι μέντοι οὐ καθ' ἡμᾶς μόνον ἀναστήσεται τὰ σώματα, ἀλλὰ καὶ κατὰ πολλοὺς τῶν φιλοσόφων, περίεργον ἐπὶ τοῦ παρόντος δεικνύειν, ἵνα μὴ ἐξαγωνίους τοῖς προκειμένοις ἐπεισάγειν δοκῶμεν λόγους, ἢ περὶ νοητῶν καὶ αἰσθητῶν καὶ τῆς τούτων συστάσεως λέγοντες ἢ ὅτι πρεσβύτερα τὰ ἀσώματα τῶν σωμάτων καὶ τὰ νοητὰ προ-

ἴδιος ἄνθρωπος νὰ πιστεύῃ ὅτι τὸ ἔμβρυον εἰς τὴν κοιλίαν εἶναι ζωντανὸν καὶ διὰ τοῦτο εἶναι ἀντικείμενον φροντίδος εἰς τὸν Θεὸν καὶ συγχρόνως νὰ φονεύῃ τὰ ἐλθόντα ἤδη εἰς τὴν ζωὴν ὄντα, ὁ ἴδιος ἄνθρωπος καὶ νὰ μὴ ἐκθέτῃ τὸ γεννηθέν, καθ' ὅσον φρονεῖ ὅτι οἱ ἐκθέτοντες τεκνοκτονοῦν, καὶ συγχρόνως νὰ φονεύῃ τὸ ἀνατραφέν· ἀλλ' εἴμεθα πάντοτε καθ' ὅλα ὅμοιοι καὶ ἴσοι, ὑπηρέται τοῦ λόγου καὶ ὄχι κυρίαρχοι αὐτοῦ.

36 Ἄλλωστε ποῖος ἄνθρωπος, πιστεύων εἰς τὴν ἀνάστασιν, θὰ καταστήσῃ ἑαυτὸν τάφον διὰ σώματα τὰ ὁποῖα θὰ ἀναστηθοῦν; Διότι δὲν ἁρμόζει εἰς τὰ ἴδια πρόσωπα καὶ νὰ πιστεύουν ὅτι θὰ ἀναστηθοῦν τὰ σώματα ἡμῶν καὶ νὰ τρώγουν ὡσὰν νὰ μὴ πρόκειται νὰ ἀναστηθοῦν, νὰ νομίζουν ὅτι ἡ μὲν γῆ θὰ ἀποδώσῃ τοὺς νεκρούς της, ὅσους δὲ ἔθαψεν κάποιος μέσα του δὲν θὰ ζητηθοῦν. Τὸ ἀντίθετον βεβαίως εἶναι εὔλογον νὰ συμβῇ· αὐτοί, οἱ ὁποῖοι νομίζουν ὅτι οὔτε λόγον θὰ δώσουν διὰ τὸν ἐδῶ βίον, εἴτε πονηρὸν εἴτε ἀγαθόν, οὔτε ἀνάστασις θὰ ὑπάρχῃ, ἀλλὰ φρονοῦν ὅτι θὰ συγκαταστραφῇ μὲ τὸ σῶμα καὶ ἡ ψυχή, δὲν πρόκειται νὰ ἀπόσχουν ἀπὸ κανὲν τόλμημα· αὐτοὶ δέ, οἱ ὁποῖοι εἶναι πεπεισμένοι ὅτι τίποτε δὲν θὰ μείνῃ ἀνεξέταστον ἀπὸ τὸν Θεόν, θὰ τιμωρηθῇ δὲ μαζὶ καὶ τὸ σῶμα τὸ ὁποῖον ὑπηρέτησε τὰς ἀλόγους ὁρμὰς τῆς ψυχῆς καὶ ἐπιθυμίας, δὲν ἔχουν κανένα λόγον νὰ διαπράξουν τὴν μικροτέραν ἁμαρτίαν.

Ἐὰν δὲ φαίνεται εἰς κάπιον ἀνόητος φλυαρία τὸ νὰ ανασυσταθῇ πάλιν τὸ σαπὲν καὶ διαλυθὲν καὶ ἀφανισθὲν σῶμα, δὲν εἶναι εὔλογον νὰ κατηγορώμεθα ἀπὸ τοὺς ἀπίστους διὰ κακίαν ἀλλὰ δι' ἀφέλειαν. Διότι μὲ τοὺς λόγους διὰ τῶν ὁποίων ἀπατῶμεν τοὺς ἑαυτούς μας δὲν ἀδικοῦμεν κανένα. Ὅτι ὅμως δὲν εἴμεθα μόνον ἡμεῖς οἱ κηρύσσοντες ὅτι θὰ ἀναστηθοῦν τὰ σώματα, ἀλλ' εἶναι καὶ πολλοὶ φιλόσοφοι, θὰ ἦτο ἐκτὸς θέσεως νὰ ἐκθέσωμεν τοῦτο ἐπὶ τοῦ παρόντος, διὰ νὰ μὴ φανῇ ὅτι εἰσάγωμεν θέματα ἄσχετα πρὸς τὸ ἀντικείμενον τῆς πραγματείας ταύτης, εἴτε ὁμιλοῦντες περὶ νοητῶν καὶ αἰσθητῶν καὶ τῆς δημιουργίας τούτων εἴτε ἀναπτύσσοντες ὅτι τὰ ἀσώματα εἶναι παλαιότερα τῶν σωμάτων καὶ τὰ νοητὰ προηγοῦνται τῶν αἰ-

*ἄγει τῶν αἰσθητῶν κἂν πρώτοις περιπίπτωμεν τοῖς αἰσθητοῖς συνισταμένων ἐκ μὲν τῶν ἀσωμάτων κατὰ τὴν ἐπισύνθεσιν τῶν νοητῶν σωμάτων, ἐκ δὲ τῶν νοητῶν τῶν αἰσθητῶν. Οὐ γὰρ κωλύει κατὰ τὸν Πυθαγόραν καὶ τὸν Πλάτωνα γενομένης τῆς διαλύσεως τῶν σωμάτων ἐξ ὧν τὴν ἀρχὴν συνέστη, ἀπὸ τῶν αὐτῶν αὐτὰ καὶ πάλιν συστῆναι.*

## *ΕΠΙΛΟΓΟΣ*

*37* *Ἀλλ' ἀνακείσθω μὲν ὁ περὶ τῆς ἀναστάσεως λόγος. Ὑμεῖς δέ, ὦ πάντα ἐν πᾶσι φύσει καὶ παιδείᾳ χρηστοὶ καὶ μέτριοι καὶ φιλάνθρωποι καὶ τῆς βασιλείας ἄξιοι, διαλελυμένῳ μὲν τὰ ἐγκλήματα, ἐπιδεδειχότι δὲ ὅτι καὶ θεοσεβεῖς καὶ ἐπιεικεῖς καὶ τὰς ψυχὰς κεκοσμημένοι, τὴν βασιλικὴν κεφαλὴν ἐπινεύσατε. Τίνες γὰρ καὶ δικαιότεροι ὧν δέονται τυχεῖν ἢ οἵτινες περὶ μὲν τῆς ἀρχῆς τῆς ὑμετέρας εὐχόμεθα ἵνα παῖς μὲν παρὰ πατρὸς κατὰ τὸ δικαιότατον διαδέχησθε τὴν βασιλείαν, αὔξην δὲ καὶ ἐπίδοσιν καὶ ἡ ἀρχὴ ὑμῶν, πάντων ὑποχειρίων γιγνομένων, λαμβάνῃ; Τοῦτο δ' ἔστι καὶ πρὸς ἡμῶν, «ὅπως ἤρεμον καὶ ἡσύχιον βίον διάγοιμεν», αὐτοὶ δὲ πάντα τὰ κεκελευσμένα προθύμως ὑπηρετοῖμεν.*

3 τῶν αἰσθητῶν *προστίθ. Suffridus Petrus*
12 κεκοσμημένοι *Χ* κεκολασμένοι *Π*

σθητῶν, ἔστω καὶ ἂν κατὰ πρῶτον λαμβάνωμεν ἐμπειρίαν τῶν αἰσθητῶν εἴτε περιγράφοντες τὴν σύστασιν τῶν νοητῶν σωμάτων διὰ συνθέσεως ἀπὸ τὰ ἀσώματα, τῶν δὲ αἰσθητῶν ἀπὸ τὰ νοητά. Διότι κατὰ τὸν Πυθαγόραν καὶ τὸν Πλάτωνα τίποτε δὲν ἐμποδίζει, ὅταν τὰ σώματα διαλυθοῦν, νὰ συσταθοῦν πάλιν τὰ ἴδια ἀπὸ τὰ αὐτὰ μόρια, ἀπὸ τὰ ὁποῖα συνεκροτήθησαν εἰς τὴν ἀρχήν.

## ΕΠΙΛΟΓΟΣ

37 Ἀλλ' ἡ διαπραγμάτευσις περὶ ἀναστάσεως ἂς ἀναβληθῇ[15]. Σεῖς δέ, οἱ ὁποῖοι εἶσθε πάντοτε εἰς ὅλα κατὰ φύσιν καὶ παιδείαν ἀγαθοί, μετριοπαθεῖς φιλάνθρωποι καὶ ἄξιοι τῆς βασιλείας, ἀφοῦ ἀνεσκεύασα τὰς κατηγορίας, ἀπέδειξα δὲ ὅτι εἴμεθα θεοσεβεῖς καὶ σεμνοὶ καὶ στολισμένοι εἰς τὰς ψυχάς, δώσατέ μου τὴν βασιλικὴν ἔγκρισιν. Διότι ποῖοι δικαιοῦνται νὰ ἐπιτύχουν ὅσα ζητοῦν περισσότερον ἀπὸ ἡμᾶς, οἱ ὁποῖοι περὶ μὲν τῆς ἐξουσίας σας εὐχόμεθα νὰ διαδέχεσθε τὴν βασιλείαν υἱὸς ἀπὸ τὸν πατέρα, ὅπως εἶναι δικαιότατον, νὰ λαμβάνῃ δὲ ἡ ἐξουσία σας αὔξησιν καὶ ἐπίδοσιν, καὶ ὅλοι νὰ ὑποτάσσωνται εἰς αὐτήν; Τοῦτο εἶναι ἐπίσης πρὸς τὸ συμφέρον ἡμῶν, «ὥστε νὰ διάγωμεν ἤρεμον καὶ ἥσυχον βίον»[16], καὶ νὰ ἐκτελῶμεν προθύμως ὅλας τὰς διαταγάς σας.

---

15. Ὑπαινιγμὸς περὶ τῆς προθέσεως τοῦ Ἀθηναγόρου νὰ συντάξῃ τὸ ἔργον *Περὶ ἀναστάσεως νεκρῶν*.

16. Α΄ Τιμ. 2,2.

# ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ ΝΕΚΡΩΝ

## ΚΕΙΜΕΝΟΝ – ΜΕΤΑΦΡΑΣΙΣ

# *ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ ΝΕΚΡΩΝ*

## *ΠΡΟΛΟΓΟΣ*

*Παντὶ δόγματι καὶ λόγῳ τῆς ἐν τόποις ἀληθείας ἐχομένῳ παραφύεταί τι ψεῦδος· παραφύεται δὲ οὐκ ἐξ ὑποκειμένης τινὸς ἀρχῆς κατὰ φύσιν ὁρμώμενον ἢ τῆς κατ' αὐτὸ ὅπερ ἐστὶν ἕκαστον αἰτίας, ἀλλ' ὑπὸ τῶν τὴν ἔκθεσμον σπορὰν ἐπὶ διαφθορᾷ τῆς ἀληθείας τετιμηκότων σπουδαζόμενον. Τοῦτο δ' ἔστιν εὑρεῖν πρῶτον μὲν ἐκ τῶν πάλαι ταῖς περὶ τούτων φροντίσιν ἐσχολακότων καὶ τῆς ἐκείνων πρός τε τοὺς ἑαυτῶν πρεσβυτέρους καὶ τοὺς ὁμοχρόνους γενομένης διαφορᾶς, οὐχ ἥκιστα δὲ ἐξ αὐτῆς τῆς τῶν ἐν μέσῳ στρεφομένων ταραχῆς. Οὐδὲν γὰρ τῶν ἀληθῶν οἱ τοιοῦτοι κατέλιπον ἀσυκοφάντητον, οὐ τὴν οὐσίαν τοῦ Θεοῦ, οὐ τὴν γνῶσιν, οὐ τὴν ἐνέργειαν, οὐ τὰ τούτοις ἐφεξῆς καθ' εἱρμὸν ἑπόμενα καὶ τὸν τῆς εὐσεβείας ἡμῖν ὑπογράφοντα λόγον· ἀλλ' οἱ μὲν πάντῃ καὶ καθάπαξ ἀπογινώσκουσι τὴν περὶ τούτων ἀλήθειαν, οἱ δὲ πρὸς τὸ δοκοῦν αὐτοῖς διαστρέφουσιν, οἱ δὲ καὶ περὶ τῶν ἐμφανῶν ἀπορεῖν ἐπιτηδεύουσιν.*

1 τόποις *X* τούτοις *B* τοῖς οὖσιν *Bigotianus*

---

1. Ἡ διόρθωσις ἡμῶν «ἐν τόποις» ἀντὶ τοῦ ἀσυντάκτου «ἐν τούτοις» δίδει ἔννοιαν ἀριστοτελικὴν εἰς τὸ χωρίον τοῦτο.

# ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ ΝΕΚΡΩΝ

## ΠΡΟΛΟΓΟΣ

1 Εἰς πᾶν δόγμα καὶ σύστημα, τὸ ὁποῖον[1] ἐγείρει ἀξιώσεις ἐπὶ τῆς ἀληθείας τῶν γενικῶν ἀρχῶν παραφύεται κάποιον ψεῦδος· παραφύεται δὲ ὄχι ἐκκινοῦν ἀπὸ κάποιαν ὑποκειμένην ἀρχὴν κατὰ τρόπον φυσικὸν ἢ ἀπὸ τὴν αἰτίαν ἡ ὁποία περικλείεται εἰς ἕκαστον ἐξ αὐτῶν καθ' ἑαυτό, ἀλλὰ ἐπιδιωκόμενον μὲ ζῆλον ἀπὸ ἐκείνους οἱ ὁποῖοι ἔχουν ἐκτιμήσει τὴν παράνομον σπορὰν πρὸς διαφθορὰν τῆς ἀληθείας. Εἶναι δὲ δυνατὸν νὰ εὕρῃ κανεὶς τοῦτο ἀπὸ τοὺς ἀσχοληθέντας παλαιὰ μὲ τὰς φροντίδας περὶ τούτων καὶ ἀπὸ τὴν ὑφισταμένην διαφορὰν ἐκείνων πρὸς τοὺς ἀρχαιοτέρους αὐτῶν καὶ τοὺς συγχρόνους ἡμῶν, ὄχι δὲ ὀλιγώτερον καὶ ἀπὸ αὐτὴν ταύτην τὴν σύγχυσιν τῶν εἰς τὸ μεταξὺ χρονικὸν διάστημα ἀσχοληθέντων. Πράγματι οἱ τοιοῦτοι ἄνθρωποι δὲν ἄφησαν ἀσυκοφάντητον καμμίαν ἀλήθειαν, οὔτε τὴν οὐσίαν τοῦ Θεοῦ οὔτε τὴν γνῶσιν αὐτοῦ οὔτε τὴν ἐνέργειαν οὔτε τὰ ἐφεξῆς μὲ συνέπειαν ἀκολουθοῦντα ταῦτα καὶ τὰ ὁποῖα ὑποδεικνύουν εἰς ἡμᾶς τὸν λόγον τῆς ἀληθείας. 'Αλλ' ἄλλοι μὲν ἀπορρίπτουν τελείως καὶ ἐφ' ἅπαξ τὴν περὶ τούτων ἀλήθειαν, ἄλλοι δὲ διαστρέφουν αὐτὴν κατὰ τὸ δοκοῦν, ἄλλοι δὲ ὑποκρίνονται ὅτι ἀμφιβάλλουν καὶ περὶ τῶν ἐμφανῶν πραγμάτων.

*Ὅθεν οἶμαι δεῖν τοῖς περὶ ταῦτα πονουμένοις λόγων διττῶν, τῶν μὲν ὑπὲρ τῆς ἀληθείας, τῶν δὲ περὶ τῆς ἀληθείας· καὶ τῶν μὲν ὑπὲρ τῆς ἀληθείας πρὸς τοὺς ἀπιστοῦντας ἢ τοὺς ἀμφιβάλλοντας, τῶν δὲ περὶ τῆς ἀληθείας πρὸς τοὺς εὐγνωμονοῦντας καὶ μετ' εὐνοίας δεχομένους τὴν ἀλήθειαν. Ὧν ἕνεκεν χρὴ τοὺς περὶ τούτων ἐξετάζειν ἐθέλοντας τὴν ἑκάστοτε προκειμένην χρείαν σκοπεῖν καὶ ταύτῃ τοὺς λόγους μετρεῖν τήν τε περὶ τούτων τάξιν μεθαρμόζειν πρὸς τὸ δέον καὶ μὴ τῷ δοκεῖν δεῖν τὴν αὐτὴν πάντοτε φυλάττειν ἀρχὴν ἀμελεῖν τοῦ προσήκοντος καὶ τῆς ἐπιβαλλούσης ἑκάστῳ χώρας. Ὡς μὲν γὰρ πρὸς ἀπόδειξιν καὶ τὴν φυσικὴν ἀκολουθίαν, πάντοτε πρωτοστατοῦσιν οἱ περὶ αὐτῆς λόγοι τῶν ὑπὲρ αὐτῆς, ὡς δὲ πρὸς τὸ χρειωδέστερον, ἀναστραμμένως οἱ ὑπὲρ αὐτῆς τῶν περὶ αὐτῆς. Οὔτε γὰρ γεωργὸς δύναιτ' ἂν προσηκόντως καταβάλλειν τῇ γῇ τὰ σπέρματα, μὴ προεξελὼν τὰ τῆς ἀγρίας ὕλης καὶ τὰ τοῖς καταβαλλομένοις ἡμέροις σπέρμασιν λυμαινόμενα, οὔτε ἰατρὸς ἐνεῖναί τι τῶν ὑγιεινῶν φαρμάκων τῷ δεομένῳ θεραπείας σώματι, μὴ τὴν ἐνοῦσαν κακίαν προκαθήρας ἢ τὴν ἐπιρρέουσαν ἐπισχών· οὔτε μὴν ὁ τὴν ἀλήθειαν διδάσκειν ἐθέλων περὶ τῆς ἀληθείας λέγων πεῖσαι δύναιτ' ἄν τινα ψευδοδοξίας τινὸς ὑποικουρούσης τῇ τῶν ἀκουόντων διανοίᾳ καὶ τοῖς λόγοις ἀντιστατούσης.*

*Διὸ πρὸς τὸ χρειωδέστερον ἀφορῶντες καὶ ἡμεῖς προτάσσομεν ἔσθ' ὅτε τοὺς ὑπὲρ τῆς ἀληθείας λόγους τῶν περὶ τῆς ἀληθείας· κατὰ τὸν αὐτὸν δὲ τρόπον ποιῆσαι καὶ νῦν ἐπὶ τῶν τῆς ἀναστάσεως λόγων οὐκ ἀχρεῖον φαίνεται σκοποῦσι τὸ δέον. Καὶ γὰρ ἐν τούτοις εὑρίσκομεν τοὺς μὲν ἀπιστοῦντας πάντη, τινὰς δὲ ἀμφιβάλλοντας καὶ τῶν γε τὰς πρώτας ὑποθέσεις δεξαμένων τινὰς ἐπ' ἴσης τοῖς ἀμφιβάλλουσιν ἀποροῦντας· τὸ δὲ*

---

2. Προφανῶς οὗτοι εἶχον δεχθῆ τὴν χριστιανικὴν μονοθεΐαν καὶ τὴν εὐσέβειαν, ἀλλ' ἠδυνάτουν νὰ δεχθοῦν ἀνεπιφυλάκτως τὸ δόγμα τῆς ἀναστάσεως.

Ὅθεν νομίζω ὅτι οἱ περὶ αὐτὰ κοπιάζοντες χρειάζονται δύο εἰδῶν λόγους, τοὺς ὑπὲρ τῆς ἀληθείας καὶ τοὺς περὶ τῆς ἀληθείας· τοὺς μὲν ὑπὲρ τῆς ἀληθείας πρὸς τοὺς ἀπιστοῦντας ἢ τοὺς ἀμφιβάλλοντας, τοὺς δὲ περὶ τῆς ἀληθείας πρὸς τοὺς καλογνώμονας καὶ εὐχαρίστως δεχομένους τὴν ἀλήθειαν. Διὰ τοῦτο οἱ θέλοντες νὰ προβοῦν εἰς τὴν ἐξέτασιν τῶν πραγμάτων τούτων πρέπει νὰ λαμβάνουν ὑπ' ὄψιν τὴν ἑκάστοτε χρείαν καὶ σύμφωνα μὲ αὐτὴν νὰ μετροῦν τὰ ἐπιχειρήματα, νὰ κανονίζουν τὴν τάξιν αὐτῶν καὶ τὰς ἀνάγκας καὶ νὰ μὴ ἀδιαφοροῦν διὰ τὸ ταιριαστὸν καὶ τὸ ἐπιβαλλόμενον εἰς ἑκάστην περίστασιν μὲ τὴν γνώμην ὅτι πρέπει νὰ τηροῦν πάντοτε τὴν ἰδίαν σειράν. Πράγματι ἀπὸ τῆς ἀπόψεως τῆς μεθόδου ἐκθέσεως καὶ τῆς φυσικῆς σειρᾶς πάντοτε προηγοῦνται οἱ περὶ αὐτῆς λόγοι τῶν ὑπὲρ αὐτῆς, ἀπὸ ἀπόψεως δὲ ἀναγκαιότητος ἀντιστρόφως προηγοῦνται οἱ ὑπὲρ αὐτῆς τῶν περὶ αὐτῆς. Διότι οὔτε ὁ γεωργὸς θὰ ἠδύνατο νὰ ρίψη τοὺς σπόρους εἰς τὴν γῆν καταλλήλως, ἂν δὲν ἐξαγάγη προηγουμένως τὰ ἀγριόχορτα καὶ τὰ βότανα τὰ ὁποῖα καταστρέφουν τοὺς εἰς τὴν γῆν ριπτομένους ἡμέρους σπόρους, οὔτε ἰατρὸς ἐπιτρέπεται νὰ ἐγχύση κάποιο ἀπὸ τὰ θεραπευτικὰ φάρμακα εἰς τὸ σῶμα τὸ ὁποῖον ἔχει ἀνάγκην θεραπείας, ἐὰν δὲν καθαρίση προηγουμένως τὸ ἐνυπάρχον ἢ ἐπιπλέον εἰς τὸ σῶμα πύον· οὕτω λοιπὸν οὔτε ὁ θέλων νὰ διδάσκη τὴν ἀλήθειαν θὰ ἠδύνατο λέγων νὰ πείση κάποιον περὶ τῆς ἀληθείας, ἐὰν εἰς τὴν διάνοιαν τῶν ἀκουόντων ἐμφωλεύη κάποια ψευδοδοξία καὶ ἀντιτίθεται εἰς τοὺς λόγους του.

Διὰ τοῦτο καὶ ἡμεῖς, ἀποβλέποντες εἰς τὸ ἀναγκαιότερον προτάσσομεν ἐνίοτε τοὺς ὑπὲρ ἀληθείας λόγους τῶν περὶ τῆς ἀληθείας· καὶ τώρα δὲν φαίνεται εἰς ἡμᾶς ἀνωφελὲς νὰ ἐφαρμόσωμεν τὴν ἰδίαν μέθοδον εἰς τὴν πραγματείαν περὶ τοῦ προβλήματος τῆς ἀναστάσεως, ἐφ' ὅσον ἐπιδιώκομεν τὸ δέον. Διότι εἰς αὐτὸ εὑρίσκομεν ἄλλους μὲν τελείως ἀπιστοῦντας, μερικοὺς δὲ ἀμφιβάλλοντας καὶ ἐξ ἐκείνων οἱ ὁποῖοι ἐδέχθησαν τὰς πρώτας ἀρχὰς ἡμῶν[2] ἀποροῦντας ἐξ ἴσου μὲ τοὺς ἀμφιβάλλοντας· τὸ παραλογώτατον ὅλων δὲ εἶναι ὅτι εὑρίσκονται εἰς τοιαύτην

πάντων παραλογώτατον ὅτι ταῦτα πάσχουσιν οὐδ' ἥντιναοῦν ἔχοντες ἐκ τῶν πραγμάτων ἀπιστίας ἀφορμὴν οὐδ' αἰτίαν εὑρίσκοντες εἰπεῖν εὔλογον, δι' ἣν ἀπιστοῦσιν ἢ διαποροῦσιν.

2 Σκοπῶμεν δὲ οὑτωσί. Πᾶσα ἀπιστία μὴ προχείρως καὶ κατά τινα δόξαν ἄκριτον ἐγγινομένη τισὶν ἀλλὰ μετά τινος αἰτίας ἰσχυρᾶς καὶ τῆς κατὰ τὴν ἀλήθειαν ἀσφαλείας τότε τὸν εἰκότα σώζει λόγον, ὅταν αὐτὸ τὸ πρᾶγμα περὶ οὗ ἀπιστοῦσιν ἄπιστον εἶναι δοκῇ· τὸ γάρ τοι τοῖς οὐκ οὖσιν ἀπίστοις ἀπιστεῖν ἀνθρώπων ἔργον οὐχ ὑγιαινούσῃ κρίσει περὶ τὴν ἀλήθειαν χρωμένων. Οὐκοῦν χρὴ καὶ τοὺς περὶ τῆς ἀναστάσεως ἀπιστοῦντας ἢ διαποροῦντας μὴ πρὸς τὸ δοκοῦν αὐτοῖς ἀκρίτως καὶ τὸ τοῖς ἀκολάστοις κεχαρισμένον τὴν περὶ ταύτης ἐκφέρειν γνώμην, ἀλλ' ἢ μηδεμιᾶς αἰτίας ἐξάπτειν τὴν τῶν ἀνθρώπων γένεσιν (ὃ δὴ καὶ λίαν ἐστὶν εὐεξέλεγκτον) ἢ τῷ Θεῷ τὴν τῶν ὄντων ἀνατιθέντας αἰτίαν εἰς τὴν τοῦδε τοῦ δόγματος ἀποβλέπειν ὑπόθεσιν καὶ διὰ ταύτης δεικνύναι τὴν ἀνάστασιν οὐδαμόθεν ἔχουσαν τὸ πιστόν. Τοῦτο δὲ ποιήσουσιν, ἐὰν δεῖξαι δυνηθῶσιν ἢ ἀδύνατον ὂν τῷ Θεῷ ἢ ἀβούλητον τὰ νεκρωθέντα τῶν σωμάτων ἢ καὶ πάντῃ διαλυθέντα πάλιν ἑνῶσαι καὶ συναγαγεῖν πρὸς τὴν τῶν αὐτῶν ἀνθρώπων σύστασιν. Ἐὰν δὲ τοῦτο μὴ δύνωνται, παυσάσθωσαν τῆς ἀθέου ταύτης ἀπιστίας καὶ τοῦ βλασφημεῖν ἃ μὴ θέμις· ὅτι γὰρ οὔτε τὸ ἀδύνατον λέγοντες ἀληθεύουσιν οὔτε τὸ ἀβούλητον, ἐκ τῶν ῥηθησομένων γενήσεται φανερόν.

Τὸ ἀδύνατόν τινι γινώσκεται κατ' ἀλήθειαν τοιοῦτον ἢ ἐκ τοῦ μὴ γινώσκειν τὸ γενησόμενον ἢ ἐκ τοῦ δύναμιν ἀρκοῦσαν μὴ ἔχειν πρὸς τὸ ποιῆσαι καλῶς τὸ ἐγνωσμένον. Ὅ τε γὰρ ἀγνοῶν τι τῶν γενέσθαι δεόντων οὐκ ἂν οὔτ' ἐγχειρῆσαι οὔτε ποιῆσαι δυνηθείη τὸ παράπαν ὅπερ ἀγνοεῖ, ὅ τε γινώσκων καλῶς τὸ ποιηθησόμενον καὶ πόθεν γένοιτ' ἂν καὶ πῶς, δύναμιν

ἀμηχανίαν χωρὶς νὰ ἔχουν καμμίαν ἀφορμὴν ἀπιστίας ἀπὸ τὰ πράγματα καὶ χωρὶς νὰ εὑρίσκουν καμμίαν εὔλογον αἰτίαν, διὰ τὴν ὁποίαν ἀπιστοῦν ἢ ἀμφιβάλλουν.

2 Δυνάμεθα νὰ θέσωμεν τὸ ζήτημα ὡς ἑξῆς. Πᾶσα ἀπιστία ἡ ὁποία καταλαμβάνει μερικοὺς ἀνθρώπους ὄχι προχείρως καὶ μὲ ἄκριτον γνώμην, ἀλλὰ μὲ κάποιαν ἰσχυρὰν αἰτίαν καὶ μὲ τὴν ἀσφάλειαν ἡ ὁποία προέρχεται ἀπὸ τὴν ἀλήθειαν, τότε εἶναι ἱκανὴ νὰ διατηρήση εὔλογον δικαιολογίαν, ὅταν φαίνεται ἀπίστευτον αὐτὸ τοῦτο τὸ πρᾶγμα περὶ τοῦ ὁποίου ἀπιστοῦν· διότι τὸ νὰ ἀπιστῆ κανεὶς εἰς πράγματα τὰ ὁποῖα δὲν εἶναι ἀπίστευτα εἶναι γνώρισμα ἀνθρώπων οἱ ὁποῖοι χρησιμοποιοῦν ὄχι ὑγιῆ κρίσιν διὰ τὴν ἀλήθειαν. Ἑπομένως οἱ ἀπιστοῦντες ἢ ἀμφιβάλλοντες διὰ τὴν ἀνάστασιν δὲν πρέπει νὰ ἐκφέρουν τὴν γνώμην των περὶ αὐτῆς ἀκρίτως, ὅπως τοὺς ἔρχεται καὶ ὅπως ἀρέσει εἰς τοὺς ἀκολάστους, ἀλλ' ἢ νὰ μὴ ἀποδίδουν τὴν γένεσιν τοῦ ἀνθρωπίνου γένους εἰς κάποιαν αἰτίαν (θέσις ἡ ὁποία εὐκόλως ἀνασκευάζεται) ἢ ἀποδίδοντες τὴν αἰτίαν τῶν ὄντων εἰς τὸν Θεὸν νὰ συγκεντρώνουν τὴν προσοχήν των εἰς τὴν βάσιν ἐπὶ τῆς ὁποίας στηρίζεται τὸ δόγμα τοῦτο καὶ δι' αὐτῆς νὰ δεικνύουν ὅτι ἡ ἀνάστασις δὲν εἶναι κατὰ κανένα τρόπον πιστευτή. Θὰ πράξουν δὲ τοῦτο, ἐὰν δυνηθοῦν νὰ δείξουν ὅτι τὸ νὰ ἑνώση πάλιν καὶ συναγάγη τὰ νεκρωθέντα σώματα ἢ καὶ ἐντελῶς διαλυθέντα πρὸς συγκρότησιν τῶν ἰδίων ἀνθρώπων εἶναι ἢ ἀδύνατον ἢ ἀθέλητον εἰς τὸν Θεόν. Ἐὰν δὲ δὲν δυνηθοῦν νὰ τὸ κάμουν, ἂς παύσουν αὐτὴν τὴν ἄθεον ἀπιστίαν καὶ τὴν βλάσφημον ἐκφορὰν ἀνεπιτρέπτων λόγων. Τὸ ὅτι δὲ δὲν ἀληθεύουν ὅταν λέγουν εἴτε τὸ ἀδύνατον εἴτε τὸ ἀβούλητον, θὰ γίνη φανερὸν ἀπὸ ὅσα θὰ λεχθοῦν κατωτέρω.

Τὸ ἀδύνατον εἰς κάποιον ὂν εἶναι πράγματι τοιοῦτον ἢ ἐκ τοῦ ὅτι δὲν γνωρίζει τὸ μέλλον νὰ γίνη ἢ ἐκ τοῦ ὅτι δὲν ἔχει δύναμιν ἀρκετὴν διὰ νὰ κάμη καλῶς τὸ γνωριζόμενον. Διότι καὶ ὁ ἀγνοῶν κάτι ἐξ ἐκείνων τὰ ὁποῖα πρέπει νὰ γίνουν δὲν θὰ ἠδύνατο καθόλου οὔτε νὰ ἐπιχειρήση οὔτε νὰ ἐκτελέση ὅ,τι ἀγνοεῖ, καὶ ὁ γνωρίζων καλῶς τὸ μέλλον νὰ γίνη καὶ ἀπὸ ποῦ θὰ ἠδύνα-

*δὲ ἢ μηδ' ὅλως ἔχων πρὸς τὸ ποιῆσαι τὸ γινωσκόμενον ἢ μὴ ἀρκοῦσαν ἔχων, οὐκ ἂν ἐγχειρήσειε τὴν ἀρχήν, εἰ σωφρονοῖ καὶ τὴν ἰδίαν ἐπισκέψαιτο δύναμιν, ἐγχειρήσας δὲ ἀπερισκέπτως οὐκ ἂν ἐπιτελέσειεν τὸ δόξαν.*

*Ἀλλ' οὔτε ἀγνοεῖν τὸν Θεὸν δυνατὸν τῶν ἀναστησομένων σωμάτων τὴν φύσιν κατά τε μέρος ὅλον καὶ μόριον οὔτε μὴν ὅποι χωρεῖ τῶν λυομένων ἕκαστον καὶ ποῖον τοῦ στοιχείου μέρος δέδεκται τὸ λυθὲν καὶ χωρῆσαν πρὸς τὸ συγγενές, κἂν πάνυ παρ' ἀνθρώποις ἀδιάκριτον εἶναι δοκῇ τὸ τῷ ἑκάστου συστάσεως οὔτε τῶν γενησομένων στοιχείων ἡ φύσις, ἐξ ὧν τὰ τῶν ἀνθρώπων σώματα, οὔτε τὰ μέρη τούτων, ἐξ ὧν ἔμελλεν λήψεσθαι τὸ δόξαν πρὸς τὴν τοῦ ἀνθρωπείου σώματος σύστασιν, εὔδηλον, ὡς οὐδὲ μετὰ τὸ διαλυθῆναι τὸ πᾶν ἀγνοηθήσεται ποῦ κεχώρηκεν ἕκαστον ὧν εἴληφεν πρὸς τὴν ἑκάστου συμπλήρωσιν. Ὅσον μὲν γὰρ κατὰ τὴν νῦν κρατοῦσαν παρ' ἡμῖν τῶν πραγμάτων τάξιν καὶ τὴν ἐφ' ἑτέρων κρίσιν, μεῖζον τὸ τὰ μὴ γενόμενα προγινώσκειν· ὅσον δὲ πρὸς τὴν ἀξίαν τοῦ Θεοῦ καὶ τὴν τούτου σοφίαν, ἀμφότερα κατὰ φύσιν καὶ ῥᾴδιον ἐπ' ἴσης τῷ τὰ μὴ γενόμενα προγινώσκειν τὸ καὶ διαλυθέντα γινώσκειν.*

## ΑΝΑΙΡΕΣΙΣ ΠΡΩΤΗΣ ΑΝΤΙΡΡΗΣΕΩΣ ΠΕΡΙ ΑΔΥΝΑΤΟΥ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ

320 *Καὶ μὴν καὶ τὴν δύναμιν ὡς ἔστιν ἀρκοῦσα πρὸς τὴν τῶν σωμάτων ἀνάστασιν, δείκνυσιν ἡ τούτων αὐτῶν γένεσις. Εἰ γὰρ μὴ ὄντα κατὰ τὴν πρώτην σύστασιν ἐποίησε τὰ τῶν ἀνθρώπων*

το νὰ γίνη καὶ πῶς, ἀλλὰ μὴ ἔχων δύναμιν νὰ ἐκτελέση τὸ γνωριζόμενον εἴτε καθόλου εἴτε ἐπαρκῶς, δὲν θὰ τὸ ἐπεχείρει κατ' ἀρχήν, ἐὰν δὲ τὸ ἐπεχείρει ἀπὸ ἀπερισκεψίαν, δὲν θὰ ἐξετέλει τὸ σχεδιασθέν.

'Αλλὰ δὲν εἶναι δυνατὸν νὰ ἀγνοῇ οὔτε τὴν φύσιν τῶν ἀναστηθησομένων σωμάτων ὁ Θεός, συγχρόνως ὡς ὅλον καὶ ὡς μόρια, οὔτε βεβαίως ποῦ μεταβαίνει ἕκαστον τῶν διαλυομένων μορίων, οὔτε ποῖον ἐπὶ μέρους στοιχεῖον ἔχει δεχθῇ τὸ διαλυθὲν καὶ προχωρῆσαν πρὸς τὸ συγγενὲς στοιχεῖον, ἂν καὶ εἰς τοὺς ἀνθρώπους φαίνεται ὅτι εἶναι ἐντελῶς ἀδιάκριτον τὸ καταλλήλως ἑνωθὲν πάλιν πρὸς τὸ σύνολον στοιχεῖον. Ἐκεῖνος ὁ ὁποῖος δὲν ἠγνόει πρὸ τῆς ἀντιστοίχου συστάσεως οὔτε τὴν φύσιν τῶν μελλόντων νὰ συγκροτηθοῦν στοιχείων, ἀπὸ τὰ ὁποῖα ἀποτελοῦνται τὰ ἀνθρώπινα σώματα, οὔτε τὰ μέρη τούτων, ἐκ τῶν ὁποίων ἐπρόκειτο νὰ λάβη κατὰ βούλησιν πρὸς σύστασιν τοῦ ἀνθρωπίνου σώματος, εἶναι φανερὸν ὅτι οὔτε μετὰ τὴν διάλυσιν τοῦ ὅλου σώματος θὰ ἀγνοῇ ποῦ ἔχει μεταβῇ ἕκαστον μέρος ἀπὸ ἐκεῖνα τὰ ὁποῖα ἔλαβε πρὸς συμπλήρωσιν ἑκάστου ἀτόμου. Διότι ἀπὸ τῆς ἀπόψεως τῆς τώρα ἐπικρατούσης πλησίον ἡμῶν τάξεως πραγμάτων καὶ τῆς ἀπὸ ἄλλας ἀναλόγους περιπτώσεις σχηματιζομένης κρίσεως, εἶναι ἀνώτερον τὸ νὰ μὴ προγινώσκη κανεὶς τὰ μὴ γενόμενα· ἀπὸ τῆς ἀπόψεως δὲ τῆς ἀξίας τοῦ Θεοῦ καὶ τῆς σοφίας αὐτοῦ, εἶναι ἀμφότερα φυσικὰ δι' αὐτὸν καὶ ἐξ ἴσου εὔκολον τὸ νὰ γνωρίζη τὰ διαλυθέντα μὲ τὸ νὰ προγινώσκη τὰ μὴ γενόμενα.

## ΑΝΑΙΡΕΣΙΣ ΠΡΩΤΗΣ ΑΝΤΙΡΡΗΣΕΩΣ ΠΕΡΙ ΑΔΥΝΑΤΟΥ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ

3 Ἄλλωστε ἡ γένεσις τῶν ἰδίων τῶν σωμάτων δεικνύει ὅτι καὶ ἡ δύναμις αὐτοῦ εἶναι ἀρκετὴ διὰ τὴν ἀνάστασιν τῶν σωμάτων. Διότι, ἐὰν ἔπλασε τὰ ἀνθρώπινα σώματα καὶ τὰ συστατικὰ

*σώματα καὶ τὰς τούτων ἀρχάς, καὶ διαλυθέντα καθ' ὃν ἂν τύχῃ τρόπον, ἀναστήσει μετὰ τῆς ἴσης εὐμαρείας· ἐπ' ἴσης γὰρ αὐτῷ καὶ τοῦτο δυνατόν. Καὶ τῷ λόγῳ βλάβος οὐδέν, κἂν ἐξ ὕλης ὑποθῶνταί τινες τὰς πρώτας ἀρχάς, κἂν ἐκ σπερμάτων. Ἧς γάρ ἐστι δυνάμεως καὶ τὴν παρ' αὐτοῖς νενομισμένην ἄμορφον οὐσίαν μορφῶσαι καὶ τὴν ἀνείδεον καὶ ἀδιακόσμητον πολλοῖς καὶ διαφόροις εἴδεσιν κοσμῆσαι καὶ τὰ μέρη τῶν στοιχείων εἰς ἓν συναγαγεῖν καὶ τὸ σπέρμα ἓν ὂν καὶ ἁπλοῦν εἰς πολλὰ διελεῖν καὶ τὸ ἀδιάρθρωτον διαρθρῶσαι καὶ τῷ μὴ ζῶντι δοῦναι ζωήν, τῆς αὐτῆς ἐστιν καὶ τὸ διαλελυμένον ἑνῶσαι καὶ τὸ κείμενον ἀναστῆσαι καὶ τὸ τεθνηκὸς ζωοποιῆσαι πάλιν καὶ τὸ φθαρτὸν μεταβαλεῖν εἰς ἀφθαρσίαν. Τοῦ αὐτοῦ δ' ἂν εἴη καὶ τῆς αὐτῆς δυνάμεως καὶ σοφίας καὶ τὸ διατεθρυμμένον εἰς πλήθη ζώων παντοδαπῶν ὁπόσα τοῖς τοιούτοις σώμασιν ἐπιτρέχειν εἴωθεν καὶ τὸν ἐκ τούτων ἀγείρειν κόρον, διακρῖναι μὲν ἐκεῖθεν, ἑνῶσαι δὲ πάλιν τοῖς οἰκείοις μέρεσι καὶ μορίοις, κἂν εἰς ἓν ἐξ ἐκείνων χωρήσῃ ζῶον, κἂν εἰς πολλά, κἂν ἐντεῦθεν εἰς ἕτερα, κἂν αὐτοῖς ἐκείνοις συνδιαλυθὲν ἐπὶ τὰς πρώτας ἀρχὰς ἐνεχθῇ κατὰ τὴν φυσικὴν εἰς ταύτας ἀνάλυσιν· ὃ δὴ καὶ μάλιστα ταράττειν ἔδοξέ τινας καὶ τῶν ἐπὶ σοφίᾳ θαυμαζομένων, ἰσχυρὰς οὐκ οἶδ' ὅπως ἡγησαμένων τὰς παρὰ τῶν πολλῶν φερομένας διαπορήσεις.*

4 *Οὗτοι δέ γέ φασιν πολλὰ μὲν σώματα τῶν ἐν ναυαγίοις καὶ ποταμοῖς δυσθανάτων ἰχθύσιν γενέσθαι τροφήν, πολλὰ δὲ τῶν ἐν πολέμοις θνησκότων ἢ κατ' ἄλλην τινὰ τραχυτέραν αἰτίαν καὶ πραγμάτων περίστασιν ταφῆς ἀμοιρούντων τοῖς προστυγχάνουσιν ζώοις προκεῖσθαι βοράν. Τῶν οὖν οὕτως ἀναλισκομέ-*

3. Προφανῶς ἐννοεῖ τὴν πρώτην φάσιν τῆς δημιουργίας. Ὁ ἄνθρωπος ἐπλάσθη κατὰ τὴν δευτέραν φάσιν. Βλ. Γεν. 1,27, ἀλλὰ ΠΛΑΤΩΝΟΣ, *Τίμαιον* 39 e.

των, ἐνῶ ταῦτα ἦσαν ἀνύπαρκτα κατὰ τὴν πρώτην σύστασιν[3], καὶ ὅταν ταῦτα διαλυθοῦν καθ' οἱονδήποτε τρόπον, θὰ τὰ ἀναστήσῃ μὲ ἴσην εὐκολίαν· διότι καὶ τοῦτο εἶναι ἐξ ἴσου δυνατὸν δι' αὐτόν. Καὶ τὸ ἐπιχείρημα δὲν ζημιώνεται καθόλου καὶ ἂν ἀκόμη μερικοὶ φιλόσοφοι ὑποθέτουν ὅτι ἐξ ὕλης ἢ ὅτι τὰ ἀνθρώπινα σώματα προέρχονται ἐκ τῶν στοιχείων ὡς πρώτων καταβολῶν ἢ ἐκ σπερμάτων[4]. Εἰς τὴν δύναμιν, τῆς ὁποίας ἔργον εἶναι τὸ νὰ δώσῃ μορφὴν καὶ τὴν ὑπ' αὐτῶν θεωρουμένην ἄμορφον οὐσίαν, νὰ διακοσμήσῃ τὴν ἀνείδεον καὶ ἀδιακόσμητον μὲ πολλὰ καὶ διάφορα εἴδη, νὰ συγκεντρώσῃ τὰ μέρη τῶν στοιχείων εἰς ἕν, νὰ διαιρέσῃ εἰς πολλὰ τὸ ἓν καὶ ἁπλοῦν σπέρμα, νὰ διαρθρώσῃ τὸ ἀδιάρθρωτον καὶ νὰ δώσῃ ζωὴν εἰς τὸ μὴ ζῶν, ἀνήκει ἐπίσης τὸ νὰ ἑνώσῃ τὸ διαλελυμένον, νὰ ἀναστήσῃ τὸ κατακείμενον, νὰ ζωοποιήσῃ πάλιν τὸ νεκρόν, νὰ μεταβάλῃ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν. Τοῦ ἰδίου δὲ Θεοῦ, καθὼς καὶ τῆς ἰδίας δυνάμεως καὶ σοφίας, ἔργον θὰ ἦτο ἐπίσης, τὸ κομματιασμένον εἰς σμήνη ζωϋφίων τὰ ὁποῖα συνηθίζουν νὰ συρρέουν εἰς τὰ τοιαῦτα σώματα καὶ νὰ συλλέγουν ἀπὸ αὐτὰ χορτασμόν, νὰ διαχωρίζῃ ἀπὸ ἐκεῖ καὶ νὰ ἑνώσῃ πάλιν μὲ τὰ συγγενικὰ μέρη καὶ μόρια, εἴτε εἰς ἓν ἀπὸ τὰ ζῶα ἐκεῖνα εἴτε εἰς πολλὰ μεταβῇ, εἴτε ἀκόμη ἀπὸ ἐκεῖνα εἰς ἄλλα εἴτε ἀκόμη διαλυθὲν μαζὶ μὲ ἐκεῖνα μεταφερθῇ εἰς τὰ ἀρχικὰ συστατικὰ κατὰ τὴν φυσικὴν εἰς αὐτὰ ὁδὸν ἀναλύσεως. Τοῦτο δὲ ἀκριβῶς ἐφάνη ὅτι ἐτάραξε μερικοὺς ἐκ τῶν θαυμαζομένων διὰ σοφίαν, οἱ ὁποῖοι δὲν γνωρίζω πῶς ἐθεώρησαν ἰσχυρὰς τὰς ὑπὸ τῶν πολλῶν προβαλλομένας ἀπορίας.

4 Λέγουν δὲ οὗτοι ὅτι πολλὰ σώματα τῶν εὑρόντων κακὸν θάνατον εἰς ναυάγια καὶ ποταμοὺς ἔγιναν τροφὴ τῶν ἰχθύων, πολλὰ δὲ τῶν ἀποθνησκόντων εἰς τοὺς πολέμους ἢ παραμενόντων ἀτάφων ἀπὸ ἄλλην σκληρὰν αἰτίαν καὶ περίστασιν προσφέρονται ὡς βορὰ τῶν ζώων τὰ ὁποῖα τὰ συναντοῦν. Λέγουν λοι-

---

4. Ὁ Ἀναξίμανδρος ἀπὸ πηλώδη ὕλην, ὁ Ἀναξαγόρας ἀπὸ τὰ στοιχεῖα, ὁ Γαληνὸς ἀπὸ τὸ σπέρμα.

*νων σωμάτων καὶ τῶν ταῦτα συμπληρούντων μερῶν καὶ μορίων εἰς πολὺ πλῆθος ζώων διαθρυπτομένων καὶ διὰ τῆς τροφῆς τοῖς τῶν τρεφομένων σώμασιν ἑνουμένων, πρῶτον μὲν τὴν διάκρισιν τούτων φασὶν ἀδύνατον, πρὸς δὲ ταύτῃ τὸ δεύτερον ἀπορώτερον. Τῶν γὰρ τὰ σώματα τῶν ἀνθρώπων ἐκβοσκηθέντων ζώων, ὁπόσα πρὸς τροφὴν ἀνθρώποις ἐπιτήδεια, διὰ τῆς τούτων γαστρὸς ἰόντων καὶ τοῖς τῶν μετειληφότων σώμασιν ἑνουμένων, ἀνάγκην εἶναι πᾶσαν τὰ μέρη τῶν ἀνθρώπων, ὁπόσα τροφὴ γέγονεν τοῖς μετειληφόσι ζώοις, πρὸς ἕτερα τῶν ἀνθρώπων μεταχωρεῖν σώματα, τῶν μεταξὺ τούτοις τραφέντων ζώων τὴν ἐξ ὧν ἐτράφησαν τροφὴν διαπορθμευόντων εἰς ἐκείνους τοὺς ἀνθρώπους ὧν ἐγένετο τροφή. Εἶτα τούτοις ἐπιτραγῳδοῦσιν τὰς ἐν λιμοῖς καὶ μανίαις τολμηθείσας τεκνοφαγίας καὶ τοὺς κατ᾽ ἐπιβουλὴν ἐχθρῶν ὑπὸ τῶν γεννησαμένων ἐδηδεμένους παῖδας καὶ τὴν Μηδικὴν τράπεζαν ἐκείνην καὶ τὰ τραγικὰ δεῖπνα Θυέστου καὶ τοιαύτας δή τινας ἐπισυνείρουσι παρ᾽ Ἕλλησι καὶ βαρβάροις καινουργηθείσας συμφορὰς ἔκ τε τούτων κατασκευάζουσιν, ὡς νομίζουσιν, ἀδύνατον τὴν ἀνάστασιν, ὡς οὐ δυναμένων τῶν αὐτῶν μερῶν ἑτέροις τε καὶ ἑτέροις συναναστῆναι σώμασιν, ἀλλ᾽ ἤτοι τὰ τῶν προτέρων συστῆναι μὴ δύνασθαι, μετεληλυθότων τῶν ταῦτα συμπληρούντων μερῶν πρὸς ἑτέρους, ἢ τούτων ἀποδοθέντων τοῖς προτέροις ἐνδεῶς ἕξειν τὰ τῶν ὑστέρων.*

5 *Ἐμοὶ δὲ δοκοῦσιν οἱ τοιοῦτοι πρῶτον μὲν τὴν τοῦ δημιουργήσαντος καὶ διοικοῦντος τόδε τὸ πᾶν ἀγνοεῖν δύναμίν τε καὶ σοφίαν, ἑκάστου ζώου φύσει καὶ γένει τὴν προσφυῆ καὶ κατάλληλον συναρμόσαντος τροφὴν καὶ μήτε πᾶσαν φύσιν πρὸς ἕνωσιν ἢ κρᾶσιν παντὸς σώματος ἰέναι δικαιώσαντος μήτε πρὸς*

---

5. Ὁ βίος τῆς Μηδείας εἶναι γεμᾶτος φόνους. Ἐφόνευσε καὶ ἐτεμάχισε τὸν ἀδελφόν της, φεύγουσα μὲ τὸν Ἰάσωνα ἀπὸ τὴν χώραν της, ἔπειτα τὰ τέκνα της.

πόν, ἀφοῦ τὰ σώματα ἀφανίζονται μὲ αὐτὸν τὸν τρόπον καὶ τὰ ἀποτελοῦντα αὐτὰ μέρη καὶ μόρια κομματιάζονται εἰς τόσον πλῆθος ζωϋφίων καὶ ἑνώνονται διὰ τῆς τροφῆς μὲ τὰ σώματα τῶν τρεφομένων, πρῶτον μὲν ὅτι εἶναι ἀδύνατος ἡ διάκρισις τούτων· φέρουν δὲ καὶ μίαν δευτέραν ἀντίρρησιν. Δηλαδή, ἀφοῦ τὰ καταβροχθίζοντα τὰ ἀνθρώπινα σώματα ζῶα, ὅσα εἶναι κατάλληλα διὰ τροφὴν τῶν ἀνθρώπων, διερχόμενα διὰ τοῦ στομάχου τούτων καὶ ἑνούμενα μὲ τὰ σώματα αὐτῶν τὰ ὁποῖα τὰ τρώγουν, κατὰ πᾶσαν ἀνάγκην τὰ μέρη τῶν ἀνθρώπων τὰ ὁποῖα ἔχουν γίνει τροφὴ τῶν μεταλαβόντων ζώων μεταβιβάζονται εἰς ἄλλα σώματα ἀνθρώπων, καθὼς τὰ ἐξ αὐτῶν τραφέντα ζῶα διαπορθμεύουν τὴν ληφθεῖσαν τροφὴν εἰς ἐκείνους τοὺς ἀνθρώπους τῶν ὁποίων ἔγιναν μὲ τὴν σειράν των τροφή. Ἔπειτα διεκτραγωδοῦν τὰς τεκνοφαγίας αἱ ὁποῖαι διεπράχθησαν εἰς λιμοὺς καὶ εἰς μανιακὰς καταστάσεις καὶ τὰ παιδιὰ τὰ ὁποῖα ἐφαγώθησαν ἀπὸ τοὺς γονεῖς των κατὰ ραδιουργίαν ἐχθρῶν των, ἐκείνην τὴν τράπεζαν τῆς Μηδείας καὶ τὸ τραγικὸν δεῖπνον τοῦ Θυέστου[5], ἐπισυνάπτουν μάλιστα μερικὰς συμφορὰς αἱ ὁποῖαι συνέβησαν εἰς τὸ μέσον Ἑλλήνων καὶ βαρβάρων καὶ μὲ αὐτὰ ἀποδεικνύουν, ὅπως νομίζουν, ἀδύνατον τὴν ἀνάστασιν, διότι τάχα δὲν δύνανται τὰ ἴδια μέρη νὰ ἀναστοῦν μαζὶ μὲ ἄλλα καὶ ἄλλα σώματα, ἀλλὰ ἢ τὰ προηγούμενα σώματα δὲν δύνανται νὰ συστηθοῦν, ἐφ' ὅσον τὰ ἀποτελοῦντα ταῦτα μέρη μετέβησαν εἰς ἄλλους ἤ, ἐφ' ὅσον ταῦτα ἀποδοθοῦν εἰς τὰ προηγούμενα, τὰ ὕστερα θὰ στερηθοῦν αὐτῶν.

5 Οἱ τοιοῦτοι στοχασταὶ μοῦ φαίνεται ὅτι ἀγνοοῦν τὴν δύναμιν καὶ σοφίαν τοῦ δημιουργήσαντος καὶ διοικοῦντος τὸ σύμπαν τοῦτο, ὁ ὁποῖος ἐκανόνισε τὴν ταιριαστὴν καὶ κατάλληλον τροφὴν δι' ἕκαστον ζῶον κατὰ φύσιν καὶ γένος καὶ οὔτε ἔκρινεν ὀρθὸν πᾶσα φύσις νὰ πηγαίνη πρὸς ἕνωσιν ἢ κρᾶσιν μὲ πᾶν

---

Αὐτὰ προφανῶς ὑπαινίσσεται ὁ Ἀθηναγόρας, ἂν καὶ ἡ παράδοσις δὲν ὁμιλεῖ σχετικῶς περὶ τεκνοφαγίας. Περὶ τῶν Θυεστείων δείπνων βλ. *Πρεσβεία* 32 καὶ τὴν ἐκεῖ ὑποσημείωσιν.

διάκρισιν τῶν ἑνωθέντων ἀπόρως ἔχοντος, ἀλλὰ καὶ τῇ καθ' ἕκαστον φύσει τῶν γενομένων τὸ δρᾶν ἢ πάσχειν ἃ πέφυκεν ἐπιτρέποντος ἄλλοτε καὶ κωλύοντος καὶ πᾶν ὃ βούλεται καὶ πρὸς ὃ βούλεται συγχωροῦντος ἢ μεταστρέφοντος, πρὸς δὲ τοῖς εἰρημένοις μηδὲ τὴν ἑκάστου τῶν τρεφόντων ἢ τρεφομένων ἐπεσκέφθαι δύναμίν τε καὶ φύσιν. Ἦ γὰρ ἂν ἔγνωσαν ὅτι μὴ πᾶν ὃ προσφέρεταί τις ὑπενδόσει τῆς ἔξωθεν ἀνάγκης, τοῦτο γίνεται τῷ ζώῳ τροφὴ προσφυής· ἀλλὰ τὰ μὲν ἅμα τῷ προσομιλῆσαι τοῖς περιπτυσσομένοις τῆς κοιλίας μέρεσι φθείρεσθαι πέφυκεν ἐμούμενά τε καὶ διαχωρούμενα ἢ τρόπον ἕτερον διαφορούμενα, ὡς μηδὲ κατὰ βραχὺ τὴν πρώτην καὶ κατὰ φύσιν ὑπομεῖναι πέψιν, ἤ πού γε τὴν εἰς τὸ τρεφόμενον σύγκρασιν, ὥσπερ οὖν οὐδὲ πᾶν τὸ πεφθὲν καὶ τὴν πρώτην δεξάμενον μεταβολὴν τοῖς τρεφομένοις μορίοις προσπελάζει πάντως, τινῶν μὲν κατ' αὐτὴν τὴν γαστέρα τῆς θρεπτικῆς δυνάμεως ἀποκρινομένων, τῶν δὲ κατὰ τὴν δευτέραν μεταβολὴν καὶ τὴν ἐν ἥπατι γινομένην πέψιν διακρινομένων καὶ πρὸς ἕτερόν τι μεταχωρούντων ὃ τὴν τοῦ τρέφειν ἐκβέβηκε δύναμιν, καὶ αὐτῆς γε τῆς ἐν ἥπατι γινομένης μεταβολῆς οὐ πάσης εἰς τροφὴν ἀνθρώποις χωρούσης, ἀλλ' εἰς ἃ πέφυκε περιττώματα διακρινομένης τῆς τε καταλειφθείσης τροφῆς ἐν αὐτοῖς ἔσθ' ὅτε τοῖς τρεφομένοις μέρεσι καὶ μορίοις πρὸς ἕτερόν τι μεταβαλλούσης κατὰ τὴν ἐπικράτειαν τοῦ πλεονάζοντος ἢ περιττεύοντος καὶ φθείρειν πως ἢ πρὸς ἑαυτὸ τρέπειν τὸ πλησιάσαν εἰωθότος.

6 Πολλῆς οὖν οὔσης ἐν πᾶσι τοῖς ζώοις τῆς φυσικῆς διαφορᾶς καὶ αὐτῆς γε τῆς κατὰ φύσιν τροφῆς ἑκάστῳ γένει ζώων καὶ τῷ τρεφομένῳ σώματι συνεξαλλαττομένης, τριττῆς δὲ κατὰ τὴν ἑκάστου ζώου τροφὴν γινομένης καθάρσεως καὶ διακρίσεως, δεῖ πάντως φθείρεσθαι μὲν καὶ διαχωρεῖν ᾗ πέφυκεν ἢ πρὸς ἕτερόν τι μεταβάλλειν πᾶν ὁπόσον ἀλλότριον εἰς τὴν τοῦ ζώου

σῶμα οὔτε δυσκολεύεται νὰ διακρίνη τὰ ἑνωθέντα, ἀλλὰ ἐπιτρέπει εἰς ἑκάστην φύσιν ἐκ τῶν δημιουργημάτων νὰ ἐνεργῆ ἢ πάσχη ὅσα τῆς εἶνα φυσικά, ἄλλοτε δὲ ἐμποδίζει καὶ προωθεῖ πᾶν ὅ,τι θέλει ἢ μεταστρέφει πρὸς ὅ,τι θέλει. Ἐπὶ πλέον δὲ μοῦ φαίνεται ὅτι δὲν ἔχουν ἐξετάσει τὴν δύναμιν καὶ φύσιν ἑκάστου τῶν τρεφόντων καὶ τρεφομένων. Ἀσφαλῶς ἄλλως θὰ ἐγνώριζον ὅτι δὲν γίνεται καταλλήλως τροφὴ εἰς τὸ ζῶον πᾶν ὅ,τι τρώγει ἀπὸ πίεσιν τῆς ἐξωτερικῆς ἀνάγκης· ἄλλαι μὲν τροφαὶ προορίζονται νὰ φθαροῦν μόλις ἐγγίσουν τὰς πτυχὰς τοῦ στομάχου, εἴτε μὲ ἐμετὸν καὶ διάρροιαν εἴτε μὲ ἔκκρισιν κατ' ἄλλον τρόπον, ὥστε νὰ μὴ ὑποστοῦν οὔτε βραχέως τὴν πρώτην φυσικὴν πέψιν, πολὺ περισσότερον νὰ μὴ ὑποστοῦν τὴν ἀφομοίωσιν μὲ τὸ τρεφόμενον σῶμα. Ἄλλωστε βέβαια οὔτε πᾶν ὅ,τι ἔχει ὑποστῆ πέψιν καὶ ἐδέχθη τὴν πρώτην μεταβολὴν δὲν ἀφομοιώνεται ὁπωσδήποτε μὲ τὰ τρεφόμενα μόρια, διότι μερικαὶ μὲν τροφαὶ ἀπαλλάσσονται τῆς θρεπτικῆς δυνάμεως εἰς αὐτὸν τοῦτον τὸν στόμαχον, ἄλλαι δὲ διαχωρίζονται κατὰ τὴν δευτέραν μεταβολὴν καὶ τὴν πέψιν ἡ ὁποία γίνεται εἰς τὸ ἧπαρ καὶ μεταμορφώνονται εἰς κάτι ἄλλο τὸ ὁποῖον ἔχει χάσει τὴν θρεπτικὴν δύναμιν, ἐνῶ πάλιν καὶ αὐτὰ τὰ εἰς τὸ ἧπαρ μεταβαλλόμενα δὲν γίνονται ὅλα τροφὴ εἰς τοὺς ἀνθρώπους· μέρος αὐτῆς διαλύεται φυσικῶς εἰς περιττώματα καὶ ὅση κατακαθήση κατὰ καιροὺς εἰς τὰ τρεφόμενα μέρη καὶ μόρια μεταβάλλεται εἰς κάτι ἄλλο συμφώνως πρὸς τὴν ἐπικράτησιν τοῦ πλεονάζοντος ἢ περιττεύοντος στοιχείου, τὸ ὁποῖον συνηθίζει κάπως νὰ φθείρη ἢ νὰ μετατρέπη πρὸς ἑαυτὸ τὸ πλησιάζον εἰς αὐτό.

6 Ἀφοῦ λοιπὸν ὑπάρχει μεγάλη φυσικὴ ποικιλία εἰς ὅλα τὰ ζῶα καὶ ἡ κατὰ φύσιν τροφὴ εἰς ἕκαστον γένος ζώων καὶ τρεφόμενον σῶμα ποικίλει, γίνεται δὲ τριπλῆ κάθαρσις καὶ διάλυσις κατὰ τὴν θρέψιν ἑκάστου ζώου, πρέπει ὁπωσδήποτε πᾶσα ποσότης ὑλικοῦ ξένη πρὸς τὴν θρέψιν τοῦ ζώου νὰ φθείρεται καὶ νὰ διαχωρίζεται πρὸς ὅ,τι προορίζεται ἢ νὰ μεταβάλλεται εἰς κάτι ἄλλο ὡς μὴ δυνάμενον νὰ ἀφομοιωθῆ· ὅταν ὅμως ἡ δύναμις τοῦ τρέφοντος σώματος ἁρμόζει φυσικῶς εἰς τὰς δυνά-

*τροφὴν ὡς συγκραθῆναι μὴ δυνάμενον, συμβαίνουσαν δὲ καὶ κατὰ φύσιν εἶναι τὴν τοῦ τρέφοντος σώματος δύναμιν ταῖς τοῦ τρεφομένου ζώου δυνάμεσι καὶ ταύτην ἐλθοῦσαν δι' ὧν πέφυκε κριτηρίων καὶ καθαρθεῖσαν ἀκριβῶς τοῖς φυσικοῖς καθαρσίοις εἰλικρινεστάτην γενέσθαι πρόσληψιν εἰς οὐσίαν· ἣν δὴ καὶ μόνην ἐπαληθεύων ἄν τις τοῖς πράγμασιν ὀνομάσειεν τροφὴν ὡς ἀποβαλοῦσαν πᾶν ὁπόσον ἀλλότριον καὶ βλαβερὸν εἰς τὴν τοῦ τρεφομένου ζώου σύστασιν καὶ τὸν πολὺν ἐκεῖνον ὄγκον ἐπεισαχθέντα πρὸς τὴν τῆς γαστρὸς ἀποπλήρωσιν καὶ τὴν τῆς ὀρέξεως θεραπείαν.*

*Ἀλλὰ ταύτην μὲν οὐκ ἄν τις ἀμφισβητήσειεν ἑνοῦσθαι τῷ τρεφομένῳ σώματι συνδιαπλεκομένην τε καὶ περιπλαττομένην πᾶσι τοῖς τούτου μέρεσι καὶ μορίοις· τὴν δ' ἑτέρως ἔχουσαν καὶ παρὰ φύσιν φθείρεσθαι μὲν ταχέως, ἣν ἐρρωμενεστέρᾳ συμμίξῃ δυνάμει, φθείρειν δὲ σὺν εὐμαρείᾳ τὴν κρατηθεῖσαν εἴς τε μοχθηροὺς ἐκτρέπεσθαι χυμοὺς καὶ φαρμακώδεις ποιότητας ὡς μηδὲν οἰκεῖον ἢ φίλον τῷ τρεφομένῳ σώματι φέρουσαν. Καὶ τούτου τεκμήριον μέγιστον τὸ πολλοῖς τῶν τρεφομένων ζώων ἐκ τούτων ἐπακολουθεῖν ἄλγος ἢ κίνδυνον ἢ θάνατον, ἣν ὑπὸ σφοδροτέρας ὀρέξεως τῇ τροφῇ καταμεμιγμένον συνεφελκύσηταί τι φαρμακῶδες καὶ παρὰ φύσιν· ὃ δὴ καὶ πάντως φθαρτικὸν ἂν εἴη τοῦ τρεφομένου σώματος, εἴ γε τρέφεται μὲν τὰ τρεφόμενα τοῖς οἰκείοις καὶ κατὰ φύσιν, φθείρεται δὲ τοῖς ἐναντίοις.*

*Εἴπερ οὖν τῇ διαφορᾷ τῶν τῇ φύσει διαφερόντων ζώων ἡ κατὰ φύσιν συνδιῄρηται τροφὴ καὶ ταύτης γε αὐτῆς οὔτε πᾶν ὅπερ ἂν προσενέγκηται τὸ ζῷον οὔτε τὸ τυχὸν ἐκ τούτου τὴν πρὸς τὸ τρεφόμενον σῶμα δέχεται σύγκρασιν, ἀλλ' αὐτὸν μόνον τὸ διὰ πάσης πέψεως κεκαθαρμένον καὶ μεταβεβληκὸς εἰλικρινῶς πρὸς τὴν τοῦ ποιοῦ σώματος ἕνωσιν καὶ τοῖς τρεφομένοις*

---

6. Αἱ ἰατρικαὶ γνώσεις τοῦ Ἀθηναγόρου εἶναι πολὺ προχωρημέναι, ὡς βλέ-

μεις τοῦ τρεφομένου ζώου, αὕτη, ἀφοῦ διέλθη διὰ τῶν καθωρισμένων διυλιστηρίων καὶ καθαρθῆ ἀκριβῶς διὰ τῶν φυσικῶν καθαρτηρίων, πρέπει νὰ καθίσταται ἐξαίρετος προσθήκη εἰς τὸν ὀργανισμόν. Μάλιστα μόνον αὐτὴν θὰ ἠδύνατο κατ' ἀκριβολογίαν νὰ ὀνομάση κανεὶς τροφήν, διότι ἀπέβαλε πᾶσαν ποσότητα ξένην καὶ βλαβερὰν εἰς τὸν ὀργανισμὸν τοῦ τρεφομένου ζώου, καθὼς καὶ τὸν πολὺν ἐκεῖνον ὄγκον ὁ ὁποῖος εἰσήχθη σωρηδὸν διὰ τὴν γέμισιν τοῦ στομάχου καὶ τὴν ἱκανοποίησιν τῆς ὀρέξεως[6].

Ἀλλὰ κανεὶς δὲν θὰ ἠδύνατο νὰ ἀμφισβητήση ὅτι αὕτη ἑνώνεται μὲ τὸ τρεφόμενον σῶμα συγχωνευομένη καὶ προσαρμοζομένη μὲ ὅλα τὰ μέρη καὶ μόρια τούτου, ἐνῶ ἡ διαφορετικὴ καὶ παρὰ φύσιν τροφὴ φθείρεται ταχέως, ἐὰν ἀναμιχθῆ μὲ ἰσχυροτέραν δύναμιν, φθείρει δὲ εὐκόλως τὴν νικηθεῖσαν καὶ μετατρέπεται εἰς βλαβεροὺς χυμοὺς καὶ δηλητηριώδεις οὐσίας, διότι δὲν φέρει εἰς τὸ τρεφόμενον σῶμα τίποτε τὸ κατάλληλον καὶ εὐχάριστον. Βασικὴ δὲ ἀπόδειξις τούτου εἶναι ὅτι εἰς πολλὰ τρεφόμενα ζῶα ἀκολουθεῖ ἀπὸ αὐτὰς πόνος ἢ κίνδυνος ἢ θάνατος, ἐὰν λόγω ὑπερβολικῆς ὀρέξεως ἑλκύση κάτι φαρμακερὸν καὶ ἀφύσικον, ἀνάμικτον μὲ τὴν τροφήν· τὸ ὁποῖον ὁπωσδήποτε θὰ εἶναι φθαρτικὸν τοῦ τρεφομένου σώματος, ἐὰν βεβαίως τὰ διατρεφόμενα τρέφονται μὲ τὰ κατάλληλα καὶ κατὰ φύσιν, φθείρονται δὲ μὲ τὰ ἀντίθετα.

Ἐὰν λοιπὸν ἡ κατὰ φύσιν τροφὴ διαιρῆται ἀντιστοίχως πρὸς τὴν ποικιλίαν τῶν φυσικῶς διαφερόντων ζώων καὶ τὸ διατρεφόμενον σῶμα δὲν ἀφομοιώνη ἀπὸ αὐτὴν τὴν ἰδίαν οὔτε πᾶν ὅ,τι προσφερθῆ εἰς τὸ ζῶον οὔτε ἓν τυχαῖον τμῆμα αὐτοῦ ἀλλὰ μόνον ἐκεῖνο τὸ τμῆμα τὸ ὁποῖον ἔχει καθαρισθῆ δι' ὁλοκλήρου τῆς πορείας τῆς πέψεως καὶ μεταβληθῆ πραγματικὰ διὰ τὴν ἕνωσιν μὲ τὸ συγκεκριμένον σῶμα καὶ ταιριαστὸν μὲ τὰ τρεφόμενα μέρη, εἶναι φανερὸν ὅτι δὲν ἠμπορεῖ κανὲν ἀπὸ τὰ παρὰ φύσιν νὰ ἑνωθῆ ποτὲ μὲ αὐτὰ εἰς τὰ ὁποῖα δὲν εἶναι τροφὴ ται-

---

πομεν εἰς τὰ κεφάλαια ταῦτα τοῦ ἔργου, κατὰ τα κριτήρια τῆς ἐποχῆς ἐκείνης φυσικά.

*μέρεσιν εὐάρμοστον, εὔδηλον ὡς οὐδὲν τῶν παρὰ φύσιν ἑνωθείη ποτ' ἂν τούτοις οἷς οὐκ ἔστιν τροφὴ προσφυὴς καὶ κατάλληλος, ἀλλ' ἤτοι κατ' αὐτὴν τὴν κοιλίαν διαχωρεῖ πρὶν ἕτερόν τινα γεννῆσαι χυμὸν ὠμὸν ἢ διεφθαρμένον, ἢ συστὰν ἐπὶ πλεῖον τίκτει πάθος ἢ νόσον δυσίατον, συνδιαφθείρουσαν καὶ τὴν κατὰ φύσιν τροφὴν ἢ καὶ αὐτὴν τὴν τῆς τροφῆς δεομένην σάρκα. Ἀλλὰ κἂν ἀπωσθῇ ποτε φαρμάκοις τισὶν ἢ σιτίοις βελτίοσιν ἢ ταῖς φυσικαῖς δυνάμεσι νικηθέν, μετ' οὐκ ὀλίγης ἐξερρύη τῆς βλάβης ὡς μηδὲν φέρον τοῖς κατὰ φύσιν εἰρηνικὸν διὰ τὸ πρὸς τὴν φύσιν ἀσύγκρατον.*

7 *Ὅλως δέ, κἂν συγχωρήσῃ τις τὴν ἐκ τούτων εἰσιοῦσαν τροφὴν (προσειρήσθω δὲ τοῦτο συνηθέστερον), καίπερ οὖσαν παρὰ φύσιν, διακρίνεσθαι καὶ μεταβάλλειν εἴς ἕν τι τῶν ὑγραινόντων ἢ ξηραινόντων ἢ θερμαινόντων ἢ ψυχόντων, οὐδ' οὕτως ἐκ τῶν συγχωρηθέντων αὐτοῖς γενήσεταί τι προὔργου, τῶν μὲν ἀνισταμένων σωμάτων ἐκ τῶν οἰκείων μερῶν πάλιν συνισταμένων, οὐδενὸς δὲ τῶν εἰρημένων μέρους ὄντος οὐδὲ τὴν ὡς μέρους ἐπέχοντος σχέσιν ἢ τάξιν, οὐ μὴν οὐδὲ παραμένοντος πάντοτε τοῖς τρεφομένοις τοῦ σώματος μέρεσιν ἢ συνανισταμένου τοῖς ἀνισταμένοις, οὐδὲν συντελοῦντος ἔτι πρὸς τὸ ζῆν οὐχ αἵματος, οὐ φλέγματος, οὐ χολῆς, οὐ πνεύματος. Οὐδὲ γὰρ ὧν ἐδεήθη ποτὲ τὰ τρεφόμενα σώματα, δεηθήσεται καὶ τότε, συνανῃρημένης τῇ τῶν τρεφομένων ἐνδείᾳ καὶ φθορᾷ τῆς ἐξ ὧν ἐτρέφετο χρείας.*

*Ἔπειτ' εἰ καὶ μέχρι σαρκὸς φθάνειν τὴν ἐκ τῆς τοιαύτης τροφῆς μεταβολὴν ὑποθοῖτό τις, οὐδ' οὕτως ἀνάγκη τις ἔσται τὴν νεωστὶ μεταβληθεῖσαν ἐκ τῆς τοιᾶσδε τροφῆς σάρκα προσπελάσασαν ἑτέρου τινὸς ἀνθρώπου σώματι πάλιν ὡς μέρος εἰς τὴν ἐκείνου τελεῖν συμπλήρωσιν, τῷ μήτε αὐτὴν τὴν προσλαμβάνουσαν σάρκα πάντοτε φυλάττειν ἣν προσείληφεν, μήτε τὴν ἑνωθεῖσαν ταύτην μόνιμον εἶναι καὶ παραμένειν ᾗ προσετέθη,*

ριαστὴ καὶ κατάλληλος, ἀλλὰ εἴτε διαπερᾶ τὴν κοιλίαν πρὶν γεννήση κάποιον ἄλλον χυμὸν ἀνώριμον ἢ σάπιον εἴτε παραμένον ἐκεῖ περισσότερον γεννᾶ πάθος ἢ δυσθεράπευτον νόσον ἡ ὁποία καταστρέφει μαζὶ καὶ τὴν κατὰ φύσιν τροφὴν ἢ καὶ τὴν ἀπαιτοῦσαν τροφὴν σάρκα. Ἀλλὰ καὶ ἂν κάποτε ἀπομακρυνθῆ νικηθὲν ἀπὸ φάρμακα ἢ καλυτέρας τροφὰς ἢ τὰς φυσικὰς δυνάμεις, ἐξέρχεται μὲ ὄχι ὀλίγην βλάβην, καθ' ὅσον δὲν φέρει τίποτε τὸ εἰρηνικὸν εἰς τὴν φυσικὴν κατάστασιν τῶν σωμάτων λόγω τῆς ἀδυναμίας ἀφομοιώσεως πρὸς τὴν φύσιν.

7 Εἰς τὴν πραγματικότητα, καὶ ἂν συμφωνήση κανεὶς ὅτι ἡ ἐκ τῶν πηγῶν τούτων εἰσαχθεῖσα τροφὴ (ἂς χαρακτηρισθῆ δὲ τοῦτο οἰκειότερον), μολονότι εἶναι παρὰ φύσιν, διασπᾶται καὶ μεταβάλλεται εἰς ἓν ἀπὸ τὰ ὑγρὰ ἢ ξηρὰ ἢ θερμὰ ἢ ψυχρὰ στοιχεῖα, οὔτε μὲ αὐτὴν τὴν ὑποχώρησιν δὲν θὰ προέλθη εἰς αὐτοὺς κάποιον πλεονέκτημα· διότι τὰ ἀνιστάμενα σώματα συγκροτοῦνται πάλιν ἀπὸ τὰ οἰκεῖα μέρη, ἐνῶ τὰ μνημονευθέντα στοιχεῖα δὲν εἶναι μέρος οὔτε ἐπέχει τὴν ποιότητα ἢ τὴν τάξιν μέρους, οὔτε παραμένει πάντοτε εἰς τὰ διατρεφόμενα μέρη τοῦ σώματος ἢ συνανίσταται μὲ τὰ ἀνιστάμενα μέρη, διότι εἰς τὴν κατάστασιν ἐκείνην αἷμα, φλέγμα, χολή, πνοὴ δὲν συμβάλλουν πλέον καθόλου πρὸς τὴν ζωήν. Τὰ διατρεφόμενα σώματα δὲν θὰ χρειάζονται καὶ τότε ὅσα ἐχρειάσθησαν κάποτε, διότι μαζὶ μὲ τὴν ἔλλειψιν καὶ τὴν φθορὰν θὰ ἐκλείψη καὶ ἡ χρεία τῶν τροφῶν.

Ἔπειτα, καὶ ἂν ὑπέθετε κανεὶς ὅτι ἡ τοιαύτη μεταβολὴ τῆς τροφῆς φθάνει μέχρις ἐπηρεασμοῦ τῆς σαρκός, οὔτε τότε δὲν θὰ εἶναι ἀνάγκη ἡ προσφάτως προκύψασα ἀπὸ τὸν μεταβολισμὸν τοιαύτης τροφῆς σάρξ, προσεγγίσασα εἰς τὸ σῶμα ἑνὸς ἄλλου ἀνθρώπου πάλιν, νὰ ἀποτελέση μέρος πρὸς σύστασιν αὐτοῦ. Διότι ἡ ἰδία ἡ προσλαμβάνουσα σὰρξ δὲν φυλάττει πάντοτε ἐκείνην τὴν ὁποίαν προσέλαβεν οὔτε ἡ ἑνωθεῖσα μὲ αὐτὴν εἶναι μόνιμος καὶ παραμένει ὅπου προσετέθη, ἀλλὰ δέχεται πολλὴν μεταβολὴν πρὸς ἀμφοτέρας τὰς κατευθύνσεις, ἄλλοτε

*πολλὴν δὲ καὶ τὴν ἐπὶ θάτερα δέχεσθαι μεταβολήν, ποτὲ μὲν πόνοις ἢ φροντίσι διαφορουμένην, ἄλλοτε δὲ λύπαις ἢ καμάτοις ἢ νόσοις συντηκομένην, καὶ ταῖς ἐξ ἐγκαύσεως ἢ περιψύξεως ἐπιγινομέναις δυσκρασίαις, μὴ συμμεταβαλλομένων σαρκὶ καὶ πιμελῇ τῶν δημῶν ἐν τῷ μένειν ἅπερ ἐστὶ τὴν τροφὴν δεχομένων.*

*Τοιούτων δὲ γενομένων ἐπὶ πάσης σαρκὸς παθημάτων, πολύ γ' ἔτι μᾶλλον εὕροι τις ἂν ταῦτα πάσχουσαν τὴν ἐξ ἀνοικείων τρεφομένην σάρκα, νῦν μὲν εἰς ὄγκον προϊοῦσαν καὶ πιαινομένην ἐξ ὧν προσείληφεν, εἶτα πάλιν ἀποπτύουσαν ὃν ἂν τύχῃ τρόπον καὶ μειουμένην ἢ μιᾷ τινι τῶν ἔμπροσθεν ῥηθεισῶν αἰτιῶν ἢ πλείοσιν· μόνην δὲ παραμένειν τοῖς μέρεσιν ἃ συνδεῖν ἢ στέγειν ἢ θάλπειν πέφυκε, τὴν ὑπὸ τῆς φύσεως ἐξειλεγμένην καὶ τούτοις προσπεφυκυῖαν οἷς τὴν κατὰ φύσιν συνεξέπλησε ζωὴν καὶ τοὺς ἐν τῇ ζωῇ πόνους. Ἀλλ' (οὔτε γὰρ καθ' ὃ δεῖ κρινομένων τῶν ἔναγχος ἐξητασμένων οὔτε κατὰ συγχώρησιν παραδεχθέντων τῶν ἐπ' ἐκείνοις γεγυμνασμένων ἀληθὲς δεικνύναι δυνατὸν τὸ πρὸς αὐτῶν λεγόμενον) οὔτ' ἂν συγκραθείη ποτὲ τὰ τῶν ἀνθρώπων σώματα τοῖς τῆς αὐτῆς οὖσι φύσεως, κἂν ὑπ' ἀγνοίας ποτὲ κλαπῶσι τὴν αἴσθησιν δι' ἑτέρου τινὸς μετασχόντες τοιούτου σώματος, κἂν αὐτόθεν ὑπ' ἐνδείας ἢ μανίας ὁμοειδοῦς τινος μιανθῶσι σώματι· εἴ γε μὴ λελήθασιν ἡμᾶς ἀνθρωποειδεῖς τινες ὄντες θῆρες ἢ μικτὴν ἔχοντες φύσιν ἐξ ἀνθρώπων καὶ θηρίων, οἵους πλάττειν εἰώθασιν οἱ τολμηρότεροι τῶν ποιητῶν.*

8 *Καὶ τί δεῖ λέγειν περὶ τῶν μηδενὶ ζώῳ πρὸς τροφὴν ἀποκληρωθέντων σωμάτων μόνην δὲ τὴν εἰς γῆν ταφὴν ἐπὶ τιμῇ τῆς φύσεως μεμοιραμένων, ὅπου γε μηδ' ἄλλο τι τῶν ζώων τοῖς ἐκ τοῦ αὐτοῦ εἴδους εἰς τροφὴν ἀπεκλήρωσεν ὁ ποιήσας, κἂν ἐν ἄλλοις τισὶ τῶν ἑτερογενῶν τροφὴ γίνηται κατὰ φύσιν; Εἰ μὲν οὖν ἔχουσι δεικνύναι σάρκας ἀνθρώπων ἀνθρώποις εἰς*

ἐκκρινομένη ἀπὸ κόπους ἢ φροντίδας, ἄλλοτε δὲ διαλυομένη ἀπὸ λύπας ἢ καμάτους ἢ νόσους καὶ ἀπὸ τὰς δυσκρασίας αἱ ὁποῖαι προέρχονται ἐκ φλογώσεως ἢ ψύξεως, χωρὶς νὰ συμμεταβάλλωνται μὲ τὴν σάρκα καὶ τὸ πάχος τὰ λίπη, τὰ ὁποῖα δεχόμενα τὴν τροφὴν μένουν ὅπως ἔχουν.

Ἐπειδὴ τοιαῦτα παθήματα ὑφίσταται πᾶσα σάρξ, θὰ εὕρη κανεὶς ὅτι πάσχει ταῦτα πολὺ περισσότερον ἡ τρεφομένη ἀπὸ ἀκατάλληλον τροφήν, ὥστε ἄλλοτε νὰ αὐξάνεται καὶ νὰ παχύνεται ἀπὸ ὅσα προσλαμβάνει, ἄλλοτε πάλιν ἀποβάλλουσα κατὰ κάποιον τρόπον καὶ μειουμένη ἢ ἀπὸ μίαν ἢ ἀπὸ περισσοτέρας τῶν προηγουμένως μνημονευθεισῶν αἰτιῶν. Μόνον δὲ ἐκείνη ἡ τροφὴ παραμένει εἰς τὰ μέρη τὰ ὁποῖα εἶναι προωρισμένη νὰ συνδέη ἢ νὰ στεγάζη ἢ νὰ θερμαίνη, ἡ ἐπιλεγεῖσα ἀπὸ τὴν φύσιν καὶ ἐφαρμοσθεῖσα εἰς αὐτὰ τῶν ὁποίων ὁλοκληρῶνει τὴν ζωὴν καὶ τοὺς εἰς τὴν ζωὴν κόπους. Ἀλλὰ δὲν εἶναι δυνατὸν νὰ ἀποδείξη κανεὶς τὴν ἀλήθειαν τοῦ ὑπὸ τῶν ἀντιφρονούντων λεγομένου, εἴτε τὰ πρὸ ὀλίγου ἐξετασθέντα κριθοῦν ὅπως πρέπει εἴτε χάριν συγκαταβάσεως δεχθῶμεν τὰ κατ' αὐτῶν προσαχθέντα ἐπιχειρήματα· τὰ σώματα τῶν ἀνθρώπων δὲν θὰ ἠδύναντο ποτὲ νὰ ἀφομοιωθοῦν μὲ ἄλλα σώματα τῆς αὐτῆς φύσεως, ἀκόμη καὶ ἂν καμμίαν φοράν, παραπλανηθέντες κατὰ τὰς αἰσθήσεις, μετάσχουν τοιούτου σώματος, ἀκόμη καὶ ἂν ἀπὸ στέρησιν ἢ μανίαν μιανθοῦν εἰς τὸ σῶμα μὲ τὴν βρῶσιν κάποιου ὁμοειδοῦς, ἐὰν δὲν διαφεύγη τὴν προσοχὴν ἡμῶν ἡ ὕπαρξις θηρίων ἀνθρωποειδῶν ἢ ὄντων μὲ μικτὴν φύσιν ἀνθρώπων καὶ θηρίων, ὡσὰν αὐτοὶ τοὺς ὁποίους συνηθίζουν νὰ πλάττουν οἱ τολμηρότεροι τῶν ποιητῶν.

8 Καὶ τί χρειάζεται νὰ εἴπωμεν περὶ τῶν σωμάτων τὰ ὁποῖα δὲν κατέληξαν εἰς τροφὴν κανενὸς ζώου ἀλλ' εὗρον μόνον τὴν ταφὴν εἰς τὴν γῆν χάριν τιμῆς τῆς φύσεώς των, καθ' ὅσον μάλιστα οὔτε κανὲν ἄλλο ζῶον δὲν ὥρισεν ὁ δημιουργὸς εἰς τροφὴν τῶν ὁμοειδῶν αὐτοῦ, ἔστω καὶ ἂν εἰς ἄλλα ἑτερογενῆ γίνεται τροφὴ κατὰ φύσιν; Ἐὰν λοιπὸν δύνανται νὰ δείξουν ὅτι σάρκες

*βρῶσιν ἀποκληρωθείσας, οὐδὲν κωλύσει τὰς ἀλληλοφαγίας εἶναι κατὰ φύσιν, ὥσπερ ἄλλο τι τῶν τῇ φύσει συγκεχωρημένων, καὶ τούς γε τὰ τοιαῦτα λέγειν τολμῶντας τοῖς τῶν φιλτάτων ἐντρυφᾶν σώμασιν ὡς οἰκειοτέροις ἢ καὶ τοὺς εὐνουστάτους σφίσιν τούτοις αὐτοῖς ἑστιᾶν.*

*Εἰ δὲ τοῦτο μὲν οὐδ᾽ εἰπεῖν εὐαγές, τὸ δὲ σαρκῶν ἀνθρώπων ἀνθρώπους μετασχεῖν ἔχθιστόν τι καὶ παμμίαρον καὶ πάσης ἐκθέσμου καὶ παρὰ φύσιν βρώσεως ἢ πράξεως ἐναγέστερον, τὸ δὲ παρὰ φύσιν οὐκ ἄν ποτε χωρήσειεν εἰς τροφὴν τοῖς ταύτης δεομένοις μέρεσι καὶ μορίοις, τὸ δὲ μὴ χωροῦν εἰς τροφὴν οὐκ ἂν ἑνωθείη τούτοις ἃ μηδὲ τρέφειν πέφυκεν, οὐδὲ τὰ τῶν ἀνθρώπων σώματα συγκραθείη ποτ᾽ ἂν τοῖς ὁμοίοις σώμασιν, οἷς ἐστιν εἰς τροφὴν παρὰ φύσιν, κἂν πολλάκις διὰ τῆς τούτων ἴῃ γαστρὸς κατά τινα πικροτάτην συμφοράν· ἀποχωροῦντα δὲ τῆς θρεπτικῆς δυνάμεως καὶ σκιδνάμενα πρὸς ἐκεῖνα πάλιν ἐξ ὧν τὴν πρώτην ἔσχε σύστασιν, ἑνοῦται μὲν τούτοις ἐφ᾽ ὅσον ἂν ἕκαστον τύχῃ χρόνον, ἐκεῖθεν δὲ διακριθέντα πάλιν σοφίᾳ καὶ δυνάμει τοῦ πᾶσαν ζώου φύσιν σὺν ταῖς οἰκείαις δυνάμεσι συγκρίναντος ἑνοῦται προσφυῶς ἕκαστον ἑκάστῳ, κἂν πυρὶ καυθῇ, κἂν ὕδατι κατασαπῇ, κἂν ὑπὸ θηρίων ἢ τῶν ἐπιτυχόντων ζώων καταδαπανηθῇ, κἂν τοῦ παντὸς σώματος ἐκκοπὲν προδιαλυθῇ τῶν ἄλλων μερῶν· ἑνωθέντα δὲ πάλιν ἀλλήλοις τὴν αὐτὴν ἴσχει χώραν πρὸς τὴν τοῦ αὐτοῦ σώματος ἁρμονίαν τε καὶ σύστασιν καὶ τὴν τοῦ νεκρωθέντος ἢ καὶ πάντῃ διαλυθέντος ἀνάστασιν καὶ ζωήν. Ταῦτα μὲν οὖν ἐπὶ πλεῖον μηκύνειν οὐκ εὔκαιρον· ὁμολογουμένην γὰρ ἔχει τὴν ἐπίκρισιν τοῖς γε μὴ μιξοθήροις.*

9 *Πολλῶν δὲ ὄντων τῶν εἰς τὴν προκειμένην ἐξέτασιν χρησι-*

---

7. Αἱ διηγήσεις περὶ ὑπάρξεως ἀνθρωποφάγων ἦσαν εὐρέως διαδεδομέναι μεταξὺ τῶν Ἑλλήνων καὶ ἀπηχοῦνται πλὴν ἄλλων καὶ εἰς τὰς *Πράξεις* Ἀνδρέου

ἀνθρώπων ἔχου ὁρισθῆ εἰς βρῶσιν ἀνθρώπων, τίποτε δὲν θὰ ἐμποδίσῃ νὰ εἶναι κατὰ φύσιν αἱ ἀλληλοφαγίαι, ὅπως πᾶν ἄλλο φυσικὸν φαινόμενον, καὶ αὐτοὶ οἱ ὁποῖοι τολμοῦν νὰ λέγουν τὰ τοιαῦτα νὰ ἐντρυφοῦν εἰς τὰ σώματα τῶν φιλτάτων ὡς οἰκειότερα ἢ καὶ νὰ φιλοξενοῦν μὲ αὐτὰ τοὺς φίλους των.

Ἐὰν δὲ τοῦτο εἶναι ἀσεβὲς καὶ νὰ τὸ εἴπουν[7], τὸ νὰ μετάσχουν δὲ οἱ ἄνθρωποι σαρκῶν ἀνθρώπων εἶναι κάτι τὸ ἔχθιστον καὶ μιαρώτατον καὶ ἀσεβέστερον ἀπὸ πᾶσαν παράνομον καὶ παρὰ φύσιν βρῶσιν καὶ πρᾶξιν, τὸ δὲ παρὰ φύσιν δὲν θὰ ἠδύνατο νὰ μεταβληθῆ εἰς τροφὴν τῶν μερῶν καὶ μορίων τὰ ὁποῖα τὴν χρειάζονται, τὸ δὲ μὴ μεταβαλλόμενον εἰς τροφὴν δὲν θὰ ἠδύνατο νὰ ἑνωθῆ μὲ αὐτὰ τὰ ὁποῖα δὲν προορίζεται νὰ διατρέφῃ, τότε οὔτε τῶν ἀνθρώπων τὰ σώματα θὰ ἠδύναντο νὰ συγκραθοῦν ποτὲ μὲ ὅμοια σώματα, εἰς τὰ ὁποῖα δίδονται εἰς τροφὴν παρὰ φύσιν, καὶ ἂν ἀκόμη πολλάκις διέρχονται ἀπὸ τὸν στόμαχον αὐτῶν λόγῳ κάποιας πικρᾶς συμφορᾶς. Ἀφοῦ δὲ ταῦτα ἀπαλλαγοῦν τῆς θρεπτικῆς δυνάμεως καὶ διασπασθοῦν πάλιν εἰς τὰ στοιχεῖα ἐκεῖνα ἀπὸ τὰ ὁποῖα ἔλαβον τὴν πρώτην σύστασιν, τὰ μόρια ἑνώνονται μὲ αὐτὰ ἐπὶ ὅσον χρόνον χρειάζεται, ἀπὸ ἐκεῖ δὲ διαχωριζόμενα πάλιν μὲ τὴν σοφίαν καὶ δύναμιν ἐκείνου ὁ ὁποῖος ἀνασυνθέτει τὴν φύσιν παντὸς ζώου μὲ τὰς οἰκείας δυνάμεις της ἑνώνονται ταιριαστὰ ἕκαστον πρὸς ἕκαστον, ἔστω καὶ ἂν καυθῆ μὲ πῦρ καὶ ἂν κατασαπῆ μὲ ὕδωρ καὶ ἂν καταφαγωθῆ ὑπὸ θηρίων ἢ τῶν τυχόντων ἄλλων ζώων, καὶ ἂν ἀποκοπὲν τοῦ λοιποῦ σώματος διαλυθῆ πρὶν ἀπὸ τὰ ἄλλα μέρη. Ἀφοῦ δὲ ἑνωθοῦν πάλιν πρὸς ἄλληλα, καταλαμβάνουν τὴν ἰδίαν θέσιν διὰ τὴν ἐναρμόνισιν καὶ συγκρότησιν τοῦ ἰδίου σώματος, καὶ τὴν ἀνάστασιν καὶ ζωὴν τοῦ νεκρωθέντος ἢ καὶ ἐντελῶς διαλυθέντος. Δὲν ὑπάρχει λόγος νὰ ἐπιμηκύνω τὴν ἔκθεσιν ἐπὶ τοῦ θέματος τούτου, διότι ἐπ' αὐτοῦ εἶναι σύμφωνοι τουλάχιστον ὅσοι δὲν εἶναι κατὰ τὸ ἥμισυ ζῶα.

9 Ἐπειδὴ ὑπάρχουν πολλὰ χρησιμώτατα σημεῖα εἰς τὴν πα-

---

καὶ Ματθαίου. Ὁ Ἡρόδοτος, *Ἱστορία* 4,18,3, ὁμιλεῖ περὶ ἀνδροφάγων ζώντων εἰς τὴν Ρωσίαν πέραν τῶν Σκυθῶν.

*μωτέρων, παραιτοῦμαι δὴ νῦν τοὺς καταφεύγοντας ἐπὶ τὰ τῶν ἀνθρώπων ἔργα καὶ τοὺς τούτων δημιουργοὺς ἀνθρώπους, οἳ τὰ συντριβέντα τῶν ἔργων ἢ χρόνῳ παλαιωθέντα ἢ καὶ ἄλλως διαφθαρέντα καινουργεῖν ἀδυνατοῦσιν, εἶτα ἐξ ὁμοίου τοῖς κεραμεῦσι καὶ τέκτοσι δεικνύναι πειρωμένους τὸ καὶ τὸν Θεὸν μήτ' ἂν βουληθῆναι μήτε βουληθέντα δυνηθῆναι νεκρωθὲν ἢ καὶ διαλυθὲν ἀναστῆσαι σῶμα, καὶ μὴ λογιζομένους ὅτι διὰ τούτων ἐπ' ἴσης τοῖς χειρίστοις ἐξυβρίζουσιν εἰς Θεόν, συνεξισοῦντες τῶν πάντη διεστηκότων τὰς δυνάμεις, μᾶλλον δὲ καὶ τῶν ταύταις χρωμένων τὰς οὐσίας καὶ τὰ τεχνητὰ τοῖς φυσικοῖς.*

*Περὶ μὲν οὖν τούτων σπουδάζειν οὐκ ἀνεπιτίμητον· ἠλίθιον γὰρ ὡς ἀληθῶς τὸ τοῖς ἐπιπολαίοις καὶ ματαίοις ἀντιλέγειν. Μακρῷ γε μὴν ἐνδοξότερον καὶ πάντων ἀληθέστατον τὸ φῆσαι τὸ παρ' ἀνθρώποις ἀδύνατον παρὰ Θεῷ δυνατόν. Εἰ δὲ δι' αὐτῶν τούτων ὡς ἐνδόξων καὶ διὰ πάντων τῶν μικρῷ πρόσθεν ἐξητασμένων δείκνυσιν ὁ λόγος δυνατόν, εὔδηλον ὡς οὐκ ἀδύνατον· ἀλλὰ μὴν οὐδ' ἀβούλητον.*

### *ΑΝΑΙΡΕΣΙΣ ΔΕΥΤΕΡΑΣ ΑΝΤΙΡΡΗΣΕΩΣ ΠΕΡΙ ΑΘΕΛΗΤΟΥ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ*

*10 Τὸ γὰρ ἀβούλητον ἢ ὡς ἄδικον αὐτό ἐστιν ἀβούλητον ἢ ὡς ἀνάξιον. Καὶ πάλιν τὸ ἄδικον ἢ περὶ αὐτὸν θεωρεῖται τὸν ἀναστησόμενον ἢ περὶ ἄλλον τινὰ παρ' αὐτόν. Ἀλλ' ὅτι μὲν οὐδεὶς ἀδικεῖται τῶν ἔξωθεν καὶ τῶν ἐν τοῖς οὖσιν ἀριθμουμένων, πρόδηλον. Οὔτε γὰρ αἱ νοηταὶ φύσεις ἐκ τῆς τῶν ἀνθρώπων*

8. Τὰ πλάσματα τοῦ ἀνθρώπου δὲν εἶναι τῆς αὐτῆς ποιότητος μετὰ τοῦ Θεοῦ, διότι ταῦτα εἶναι ἐξ ὕλης ὑπαρχούσης, τὰ τοῦ Θεοῦ ἐκ τοῦ μηδενός, καὶ διότι τὸ δημιούργημα «ἄνθρωπος» δὲν δύναται νὰ συγκριθῇ μὲ τίποτε ἄλλο.

ροῦσαν ἐξέτασιν, παραμερίζω τὰ ἐπιχειρήματα τῶν καταφευγόντων εἰς τὰ ἔργα τῶν ἀνθρώπων καὶ πρὸς τοὺς δημιουργοὺς αὐτῶν ἀνθρώπους οἱ ὁποῖοι ἀδυνατοῦν νὰ ἀνανεώσουν τὰ συντριβέντα ἢ παλαιωθέντα ἀπὸ τὸν χρόνον ἢ κατ' ἄλλον τρόπον διαφθαρέντα ἔργα, ἔπειτα προσπαθούντων ἀπὸ τὸ παράλληλον τῶν κεραμέων καὶ τῶν τεκτόνων νὰ δείξουν ὅτι καὶ τὸ θεῖον οὔτε θὰ ἤθελεν οὔτε ἂν ἤθελε θὰ ἠδύνατο νὰ ἀναστήση σῶμα νεκρωθὲν ἢ καὶ διαλυθέν, χωρὶς νὰ σκεφθοῦν ὅτι μὲ αὐτὰ ἐξυβρίζουν τὸν Θεὸν ὡσὰν οἱ χείριστοι τῶν ἀνθρώπων, θέτοντες εἰς τὴν ἰδίαν μοῖραν τὰς δυνάμεις τῶν ἐντελῶς ἀφισταμένων ὄντων, μᾶλλον δὲ καὶ τὰς φύσεις τῶν χρησιμοποιούντων αὐτάς, καὶ τὰ τεχνητὰ μὲ τὰ φυσικά[8].

Τὸ νὰ λαμβάνη κανεὶς σοβαρῶς ὑπ' ὄψιν τοιαῦτα ἐπιχειρήματα δὲν εἶναι ἀπηλλαγμένον ἐπιτιμήσεως· διότι εἶναι πράγματι ἠλίθιον τὸ νὰ ἀντιλέγη κανεὶς εἰς τὰ ἐπιπόλαια καὶ μάταια. Πολὺ δὲ εὐλογοφανέστερον καὶ ἀληθέστερον ὅλων εἶναι τὸ νὰ εἴπη ὅτι τὸ εἰς τοὺς ἀνθρώπους ἀδύνατον εἶναι δυνατὸν εἰς τὸν Θεόν[9]. Ἐὰν δὲ ἡ διαπραγμάτευσις ἡμῶν μὲ αὐτὰς τὰς πιθανολογίας καὶ μὲ ὅλα τὰ ὀλίγον προηγουμένως ἐξετασθέντα δεικνύει ὅτι εἶναι δυνατόν, τότε καθίσταται φανερὸν ὅτι δὲν εἶναι ἀδύνατον· ἀλλὰ βεβαίως οὔτε ἀθέλητον.

## ΑΝΑΙΡΕΣΙΣ ΔΕΥΤΕΡΑΣ ΑΝΤΙΡΡΗΣΕΩΣ ΠΕΡΙ ΑΘΕΛΗΤΟΥ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ

10 Διότι τὸ ἀθέλητον εἶναι ἀθέλητον εἴτε ὡς ἄδικον εἴτε ὡς ἀνάξιον. Καὶ πάλιν τὸ ἄδικον παρατηρεῖται εἴτε ὡς πρὸς τὸν μέλλοντα νὰ ἀναστηθῆ εἴτε ὡς πρὸς κάποιον ἄλλον ἐκτὸς αὐτοῦ. Ἀλλ' ὅτι κανεὶς δὲν ἀδικεῖται ἀπὸ τοὺς ἔξω καὶ τοὺς ὑπολογιζομένους μεταξὺ τῶν ζώντων εἶναι πρόδηλον. Διότι οὔτε αἱ νοηταὶ φύσεις θὰ ἠδύναντο νὰ ἀδικηθοῦν ἀπὸ τὴν ἀνάστασιν

9. Ματθ. 19,24.

*ἀναστάσεως ἀδικηθεῖεν ἄν· οὐδὲ γὰρ ἐμπόδιόν τι ταύταις πρὸς τὸ εἶναι, οὐ βλάβος, οὐχ ὕβρις ἡ τῶν ἀνθρώπων ἀνάστασις· οὐ μὴν οὐδὲ τῶν ἀλόγων ἡ φύσις οὐδὲ τῶν ἀψύχων· οὐδὲ γὰρ ἔσται μετὰ τὴν ἀνάστασιν, περὶ δὲ τὸ μὴ ὂν οὐδὲν ἄδικον. Εἰ δὲ καὶ εἶναί τις ὑποθοῖτο διὰ παντός, οὐκ ἂν ἀδικηθείη ταῦτα τῶν ἀνθρωπίνων σωμάτων ἀνανεωθέντων· εἰ γὰρ νῦν ὑπείκοντα τῇ φύσει τῶν ἀνθρώπων καὶ τῆς τούτων χρείας ὄντων ἐνδεῶν ὑπό τε ζυγὸν ἠγμένα καὶ δουλείαν παντοίαν οὐδὲν ἀδικεῖται, πολὺ μᾶλλον, ἀφθάρτων καὶ ἀνενδεῶν γενομένων καὶ μηκέτι δεομένων τῆς τούτων χρείας, ἐλευθερωθέντα δὲ πάσης δουλείας, οὐκ ἀδικηθήσεται. Οὐδὲ γάρ, εἰ φωνῆς μετεῖχεν, ᾐτιάσατο ἂν τὸν δημιουργὸν ὡς παρὰ τὸ δίκαιον ἐλαττούμενα τῶν ἀνθρώπων, ὅτι μὴ τῆς αὐτῆς τούτοις τετύχηκεν ἀναστάσεως. Ὧν γὰρ ἡ φύσις οὐκ ἴση, τούτοις οὐδὲ τὸ τέλος ἴσον ὁ δίκαιος ἐπιμετρεῖ. Χωρὶς δὲ τούτων, παρ' οἷς οὐδεμία τοῦ δικαίου κρίσις, οὐδὲ μέμψις ἀδικίας.*

*Οὐ μὴν οὐδ' ἐκεῖνο φῆσαι δυνατὸς ὡς περὶ αὐτὸν θεωρεῖταί τις ἀδικία τὸν ἀνιστάμενον ἄνθρωπον. Ἔστι μὲν γὰρ οὗτος ἐκ ψυχῆς καὶ σώματος, οὔτε δὲ εἰς ψυχὴν οὔτε εἰς σῶμα δέχεται τὴν ἀδικίαν. Οὔτε γὰρ τὴν ψυχὴν ἀδικεῖσθαι φήσει τις σωφρονῶν· λήσεται γὰρ ταύτῃ συνεκβάλλων καὶ τὴν παροῦσαν ζωήν· εἰ γὰρ νῦν ἐν φθαρτῷ καὶ παθητῷ κατοικοῦσα σώματι μηδὲν ἠδίκηται, πολὺ μᾶλλον ἀφθάρτῳ καὶ ἀπαθεῖ συζῶσα οὐκ ἀδικηθήσεται. Ἀλλ' οὐδὲ τὸ σῶμα ἀδικεῖταί τι· εἰ γὰρ νῦν φθαρτὸν ἀφθάρτῳ συνὸν μηδὲν ἠδίκηται, πολὺ μᾶλλον ἄφθαρτον ἀφθάρτῳ συνὸν οὐκ ἀδικηθήσεται. Οὐ μὴν οὐδ' ἐκεῖνο φαίη τις ἂν ὡς ἀνάξιον ἔργον τοῦ Θεοῦ τὸ διαλυθὲν ἀναστῆσαι σῶμα καὶ*

---

25 *μετὰ συνὸν κενὸν Π* μηδὲν...οὐκ *προστίθ. Χρήστου*

τῶν ἀνθρώπων, καθ' ὅσον ἡ ἀνάστασις τῶν ἀνθρώπων δὲν εἶναι ἐμπόδιον εἰς τὴν ὕπαρξίν των, οὔτε ζημία, οὔτε ὕβρις. Ἀλλὰ βεβαίως οὔτε τῶν ἀλόγων καὶ τῶν ἀψύχων ἡ φύσις θὰ ἠδύνατο νὰ ἀδικηθῆ, καθ' ὅσον αὕτη δὲν θὰ ὑπάρχη μετὰ τὴν ἀνάστασιν, καὶ εἰς τὸ μὴ ὂν δὲν δύναται νὰ γίνη ἀδικία. Ἐὰν δὲ ὑπέθετε κανεὶς ὅτι ταῦτα ὑπάρχουν διὰ παντός, δὲν θὰ ἠδικοῦντο ἀπὸ τὴν ἀνανέωσιν τῶν ἀνθρωπίνων σωμάτων· διότι, ἐὰν τώρα, ὁπότε ὑπακούουν εἰς τὴν φύσιν τῶν ἀνθρώπων οἱ ὁποῖοι ἔχουν ἀνάγκην τὴν ὑπηρεσίαν των καὶ διατελοῦν ὑπὸ ζυγὸν καὶ παντοίαν δουλείαν, δὲν ἀδικοῦνται κατὰ τίποτε, πολὺ περισσότερον δὲν θὰ ἀδικηθοῦν, ὅταν οὗτοι γίνουν ἄφθαρτοι καὶ αὐτάρκεις καὶ δὲν θὰ ἔχουν πλέον ἀνάγκην τῆς ὑπηρεσίας αὐτῶν, αὐτὰ δὲ τὰ ἴδια ἐλευθερωθοῦν ἀπὸ πᾶσαν δουλείαν. Καὶ ἂν εἶχον φωνὴν δὲν θὰ κατηγόρουν τὸν δημιουργὸν ὅτι μειώνονται ἔναντι τῶν ἀνθρώπων παρὰ τὸ δίκαιον διὰ τὸν λόγον ὅτι δὲν ἔτυχε τῆς ἰδίας μὲ αὐτοὺς ἀναστάσεως. Διότι εἰς ἐκεῖνα τῶν ὁποίων ἡ φύσις δὲν εἶναι ἴση ὁ δίκαιος δὲν ὁρίζει ἴσον τέλος. Πέραν δὲ τούτων, διὰ δημιουργήματα, τὰ ὁποῖα δὲν ἔχουν ἀντίληψιν δικαίου, δὲν δύναται νὰ ὑπάρξη μομφὴ περὶ ἀδικίας.

Βεβαίως ὅμως δὲν εἶναι δυνατὸν νὰ εἴπη οὔτε ἐκεῖνο, ὅτι παρατηρεῖται κάποια ἀδικία εἰς τὸν ἴδιον τὸν ἀνιστάμενον ἄνθρωπον. Διότι οὗτος ἀποτελεῖται ἀπὸ ψυχὴν καὶ σῶμα, δὲν δέχεται δὲ τὴν ἀδικίαν οὔτε εἰς τὴν ψυχὴν οὔτε εἰς τὸ σῶμα. Δὲν δύναται νὰ εἴπη σωφρονῶν ἄνθρωπος ὅτι ἀδικεῖται ἡ ψυχή, καθ' ὅσον οὕτω χωρὶς νὰ τὸ ἀντιληφθὴ ἀπορρίπτει καὶ τὴν παροῦσαν ζωήν· διότι τώρα κατοικοῦσα εἰς φθαρτὸν καὶ παθητὸν σῶμα δὲν ἔχει ἀδικηθῆ κατὰ τίποτε, πολὺ περισσότερον συζῶσα μὲ ἄφθαρτον καὶ ἀπαθὲς δὲν θὰ ἀδικηθῆ. Ἀλλ' οὔτε τὸ σῶμα δὲν ἀδικεῖται κατὰ τίποτε· διότι ἐὰν τώρα, ὁπότε συνυπάρχει φθαρτὸν αὐτὸ μὲ ἄφθαρτον, δὲν ἀδικεῖται εἰς τίποτε, πολὺ περισσότερον ὅταν θὰ συνυπάρχη ὡς ἄφθαρτον μὲ ἄφθαρτον δὲν θὰ ἀδικηθῆ. Ἐξ ἄλλου δὲν θὰ ἠδύνατο νὰ εἴπη κανεὶς οὔτε ἐκεῖνο, ὅτι εἶναι ἀνάξιον ἔργον τοῦ Θεοῦ τὸ νὰ ἀναστήση καὶ συλλέξη σῶμα διαλυθέν· διότι ἐὰν τὸ κατώτερον δὲν εἶναι

*συναγαγεῖν· εἰ γὰρ τὸ χεῖρον οὐκ ἀνάξιον, τοῦτ' ἔστι τὸ φθαρτὸν ποιῆσαι σῶμα καὶ παθητόν, πολὺ μᾶλλον τὸ κρεῖττον οὐκ ἀνάξιον, ὅπερ ἐστὶν ἄφθαρτον καὶ ἀπαθές.*

### *ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ ΤΗΣ ΑΝΑΙΡΕΣΕΩΣ*

11 *Εἰ δὲ διὰ τῶν κατὰ φύσιν πρώτων καὶ τῶν τούτοις ἑπομένων δέδεικται τῶν ἐξητασμένων ἕκαστον, εὔδηλον ὅτι καὶ δυνατὸν καὶ βουλητὸν καὶ ἄξιον τοῦ δημιουργήσαντος ἔργον ἡ τῶν διαλυθέντων σωμάτων ἀνάστασις· διὰ γὰρ τούτων ἐδείχθη ψεῦδος τὸ τούτοις ἀντικείμενον καὶ τὸ τῶν ἀπιστούντων παράλογον. Τί γὰρ δεῖ λέγειν περὶ τῆς ἑκάστου τούτων πρὸς ἕκαστον ἀντιστροφῆς καὶ τῆς πρὸς ἄλληλα συναφείας, εἴ γε δεῖ καὶ συνάφειαν εἰπεῖν, ὡς ἑτερότητί τινι κεχωρισμένων, οὐχὶ δὲ καὶ τὸ δυνατὸν λέγειν βουλητὸν καὶ τὸ τῷ Θεῷ βουλητὸν πάντως εἶναι δυνατὸν καὶ κατὰ τὴν τοῦ βουληθέντος ἀξίαν;*

*Καὶ ὅτι μὲν ἕτερος ὁ περὶ τῆς ἀληθείας λόγος, ἕτερος δὲ ὁ ὑπὲρ τῆς ἀληθείας, εἴρηται διὰ τῶν προλαβόντων μετρίως οἷς τε διενήνοχεν ἑκάτερος καὶ πότε καὶ πρὸς τίνας ἔχει τὸ χρήσιμον· κωλύει δὲ ἴσως οὐδὲν τῆς τε κοινῆς ἀσφαλείας ἕνεκεν καὶ τῆς τῶν εἰρημένων πρὸς τὰ λειπόμενα συναφείας ἀπ' αὐτῶν τούτων καὶ τῶν τούτοις προσηκόντων πάλιν ποιήσασθαι τὴν ἀρχήν.*

*Προσῆκεν δὲ τῷ μὲν τὸ πρωτεύειν κατὰ φύσιν, τῷ δὲ τὸ δορυφορεῖν τὸν πρῶτον ὁδοποιεῖν τε καὶ προανείργειν πᾶν ὁπόσον ἐμποδὼν καὶ πρόσαντες. Ὁ μὲν γὰρ περὶ τῆς ἀληθείας λόγος ἀναγκαῖος ὢν πᾶσιν ἀνθρώποις πρὸς ἀσφάλειαν καὶ σωτηρίαν πρωτοστατεῖ καὶ τῇ φύσει καὶ τῇ τάξει καὶ τῇ χρείᾳ· τῇ φύσει μέν, ὡς τὴν τῶν πραγμάτων γνῶσιν παρεχόμενος, τῇ*

ἀνάξιον, δηλαδὴ τὸ νὰ κατασκευάση σῶμα φθαρτὸν καὶ παθητόν, πολὺ περισσότερον δὲν εἶναι ἀνάξιον τὸ ἀνώτερον, τὸ ὁποῖον εἶναι ἄφθαρτον καὶ ἀπαθές.

## ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ ΤΗΣ ΑΝΑΙΡΕΣΕΩΣ

11 Ἐὰν δὲ διὰ μέσου τῶν κατὰ φύσιν πρώτων καὶ τῶν ἀκολουθούντων εἰς αὐτὰ ἐπιχειρημάτων ἔχει ἀποσαφηνισθῆ ἕκαστον τῶν ἐξετασθέντων προβλημάτων, εἶναι προφανὲς ὅτι ἡ ἀνάστασις τῶν σωμάτων εἶναι ἔργον καὶ δυνατὸν καὶ θελητὸν καὶ ἄξιον τοῦ δημιουργοῦ· διότι μὲ αὐτὰ ἐδείχθη ὅτι εἶναι ψευδὴς ἡ ἀντίρρησις εἰς ἐκεῖνα καὶ παράλογος ὁ ἰσχυρισμὸς τῶν δυσπιστούντων. Πράγματι τί χρειάζεται νὰ κάμωμεν λόγον περὶ τῆς σχέσεως τοῦ ἑνὸς τούτων πρὸς τὸ ἄλλο καὶ τῆς μεταξύ των συναφείας, ἐὰν βεβαίως πρέπει νὰ ὁμιλήσωμεν περὶ συναφείας ὡσὰν νὰ ἦσαν ταῦτα χωρισμένα διὰ κάποιας διαφοροποιήσεως, νὰ μὴ λέγωμεν δὲ ὅτι καὶ τὸ δυνατὸν εἶναι βουλητὸν καὶ τὸ εἰς τὸν Θεὸν βουλητὸν πάντως εἶναι δυνατὸν καὶ σύμφωνον πρὸς τὴν ἀξίαν τοῦ θελήσαντος;

Καὶ ὅτι μὲν ἄλλος εἶναι ὁ περὶ τῆς ἀληθείας λόγος, ἄλλος δὲ ὁ ὑπὲρ τῆς ἀληθείας, ἔχει γίνει διαπραγμάτευσις εἰς τὰ προηγούμενα, ὅπως ἐπίσης κατὰ τί διαφέρουν μεταξύ των, καὶ πότε καὶ πρὸς ποίους εἶναι χρήσιμοι· ἴσως ὅμως δὲν ἐμποδίζει τίποτε νὰ ἀρχίσωμεν πάλιν ἀπὸ αὐτοὺς καὶ ἀπὸ τοὺς ὁμοίους μὲ αὐτοὺς λόγους, διὰ νὰ κατοχυρώσωμεν ὅλην τὴν ἔκθεσιν καὶ νὰ δείξωμεν τὴν συνάφειαν τῶν λεχθέντων πρὸς τὰ ὑπολειπόμενα.

Ἁρμόζει δὲ εἰς μὲν τὸν πρῶτον νὰ προηγῆται φυσικῶς, εἰς τὸν ἄλλον δὲ νὰ συνοδεύη τὸν πρῶτον, νὰ ἀνοίγη τὸν δρόμον καὶ παραμερίζη πᾶν ἐμπόδιον καὶ πᾶσαν δυσκολίαν. Διότι ὁ περὶ τῆς ἀληθείας λόγος, ἀναγκαῖος εἰς ὅλους τοὺς ἀνθρώπους διὰ τὴν ἀσφάλειαν καὶ σωτηρίαν των, ἔχει τὴν πρώτην θέσιν κατὰ φύσιν, τάξιν καὶ χρησιμότητα· κατὰ φύσιν μέν, διότι προσφέρει γνῶσιν τῶν πραγμάτων, κατὰ τάξιν δὲ διότι ὑπάρχει εἰς

*τάξει δέ, ὡς ἐν τούτοις καὶ ἅμα τούτοις ὑπάρχων ὧν γίνεται μηνυτής, τῇ χρείᾳ δέ, ὡς τῆς ἀσφαλείας καὶ τῆς σωτηρίας τοῖς γινώσκουσι γινόμενος πρόξενος. Ὁ δ' ὑπὲρ τῆς ἀληθείας φύσει τε καὶ δυνάμει καταδεέστερος, ἔλαττον γὰρ τὸ τὸ ψεῦδος ἐλέγχειν τοῦ τὴν ἀλήθειαν κρατύνειν· καὶ τάξει δεύτερος, κατὰ γὰρ τῶν ψευδοδοξούντων ἔχει τὴν ἰσχύν· ψευδοδοξία δὲ ἐξ ἐπισπορᾶς ἐπεφύη καὶ παραφθορᾶς. Ἀλλὰ δὴ καὶ τούτων οὕτως ἐχόντων προτάττεται πολλάκις καὶ γίνεταί ποτε χρειωδέστερος ὡς ἀναιρῶν καὶ προδιακαθαίρων τὴν ἐνοχλοῦσάν τισιν ἀπιστίαν καὶ τοῖς ἄρτι προσιοῦσι τὴν ἀμφιβολίαν ἢ ψευδοδοξίαν. Καὶ πρὸς ἓν μὲν ἑκάτερος ἀναφέρεται τέλος· εἰς γὰρ τὴν εὐσέβειαν ἔχει τὴν ἀναφορὰν ὅ τε τὸ ψεῦδος ἐλέγχων καὶ ὁ τὴν ἀλήθειαν κρατύνων· οὐ μὴν καὶ καθάπαξ ἕν εἰσιν, ἀλλ' ὁ μὲν ἀναγκαῖος, ὡς ἔφην, πᾶσι τοῖς πιστεύουσι καὶ τοῖς τῆς ἀληθείας καὶ τῆς ἰδίας σωτηρίας φροντίζουσιν, ὁ δὲ ἔστιν ὅτε καί τισιν καὶ πρός τινας γίνεται χρειωδέστερος.*

*Καὶ ταῦτα μὲν ἡμῖν κεφαλαιωδῶς προειρήσθω πρὸς ὑπόμνησιν τῶν ἤδη λεχθέντων. Ἰτέον δὲ ἐπὶ τὸ προκείμενον, καὶ δεικτέον ἀληθῆ τὸν περὶ τῆς ἀναστάσεως λόγον ἀπό τε τῆς αἰτίας αὐτῆς, καθ' ἣν καὶ δι' ἣν ὁ πρῶτος γέγονεν ἄνθρωπος οἵ τε μετ' ἐκεῖνον, εἰ καὶ μὴ κατὰ τὸν ὅμοιον γεγόνασι τρόπον, ἀπό τε τῆς κοινῆς πάντων ἀνθρώπων ὡς ἀνθρώπων φύσεως, ἔτι δὲ ἀπὸ τῆς τοῦ ποιήσαντος ἐπὶ τούτοις κρίσεως, καθ' ὅσον ἕκαστος ἔζησε χρόνον καὶ καθ' οὓς ἐπολιτεύσατο νόμους, ἣν οὐκ ἄν τις ἀμφισβητήσειεν εἶναι δικαίαν.*

## *ΤΟ ΕΠΙΧΕΙΡΗΜΑ ΕΚ ΤΗΣ ΑΙΤΙΑΣ ΤΗΣ ΚΤΙΣΕΩΣ*

12 *Ἔστι δὲ ὁ μὲν ἀπὸ τῆς αἰτίας λόγος, ἐὰν ἐπισκοπῶμεν πό-*

ἐκεῖνα καὶ μὲ ἐκεῖνα τῶν ὁποίων γίνεται μηνυτής, κατὰ χρησιμότητα δὲ διότι γίνεται πρόξενος τῆς ἀσφαλείας καὶ τῆς σωτηρίας εἰς τοὺς γνωρίζοντας. Ὁ δὲ ὑπὲρ τῆς ἀληθείας εἶναι κατώτερος καὶ κατὰ φύσιν καὶ κατὰ δύναμιν, διότι εἶναι κατώτερον τὸ νὰ ἐλέγχῃς τὸ ψεῦδος ἀπὸ τὸ νὰ κατοχυρώνῃς τὴν ἀλήθειαν, καὶ κατὰ τὴν τάξιν δεύτερος διότι ἡ ἰσχύς του εἶναι κατὰ τῶν ψευδοδόξων, ἡ δὲ ψευδοξία προέρχεται ἀπὸ ἐπισπορὰν καὶ παραφθοράν. Ἀλλ' ὅμως παρὰ ταῦτα πολλάκις τοποθετεῖται πρῶτος καὶ κάποτε γίνεται χρησιμώτερος, διότι ἀναιρεῖ καὶ προκαθαρίζει τὴν ἐνοχλοῦσαν μερικοὺς ἀπιστίαν καὶ τὴν ἀμφιβολίαν καὶ ψευδοδοξίαν τῶν προσφάτως προσελθόντων. Καὶ ὁ καθεὶς ἀπὸ τοὺς λόγους τούτους ὁδηγεῖ εἰς τὸ αὐτὸ τέλος, διότι εἰς τὴν εὐσέβειαν κατευθύνει καὶ ὁ ἐλέγχων τὸ ψεῦδος καὶ ὁ κατοχυρώνων τὴν ἀλήθειαν· δὲν εἶναι ὅμως ἓν καὶ τὸ αὐτό, ἀλλ' ὁ μὲν πρῶτος εἶναι, ὅπως εἶπα, ἀναγκαῖος εἰς ὅλους τοὺς πιστεύοντας καὶ τοὺς φροντίζοντας διὰ τὴν ἀλήθειαν καὶ τὴν σωτηρίαν των, ὁ δὲ ἄλλος εἶναι χρησιμώτερος ἐνίοτε καὶ εἰς μερικοὺς ἀνθρώπους καὶ ἀπὸ ὡρισμένας ἀπόψεις.

Ταῦτα εἶναι ἀρκετὰ ἐν συντομίᾳ πρὸς ὑπόμνησιν τῶν ἤδη λεχθέντων ἀπὸ ἡμᾶς. Ἂς μεταβῶμεν δὲ εἰς τὸ παρὸν θέμα καὶ ἂς δείξωμεν ὅτι ὁ περὶ ἀναστάσεως λόγος εἶναι ἀληθὴς καὶ ἀπὸ ἀπόψεως αὐτῆς ταύτης τῆς αἰτίας κατὰ τὴν ὁποίαν καὶ διὰ τὴν ὁποίαν ἔγινεν ὁ πρῶτος ἄνθρωπος καὶ οἱ μετ' αὐτόν, ἂν καὶ δὲν ἔγιναν κατὰ τὸν ἴδιον τρόπον, καὶ ἀπὸ ἀπόψεως τῆς κρίσεως τοῦ δημιουργοῦ ἐπὶ τῶν ἀνθρώπων τούτων, συμφώνως πρὸς τὸν χρόνον κατὰ τὸν ὁποῖον ἔζησεν ἕκαστος καὶ τὴν διαγωγὴν τὴν ὁποίαν ἐπέδειξε, τὴν ὁποίαν κρίσιν κανεὶς δὲν θὰ ἠδύνατο νὰ ἀμφισβητήσῃ ὅτι εἶναι δικαία.

## ΤΑ ΕΠΙΧΕΙΡΗΜΑΤΑ ΕΚ ΤΗΣ ΑΙΤΙΑΣ ΤΗΣ ΚΤΙΣΕΩΣ

12 Τὸ ἐκ τῆς αἰτίας ἐπιχείρημα συνίσταται εἰς τὸ νὰ ἐξετάζω-

*τερον ἁπλῶς καὶ μάτην γέγονεν ἄνθρωπος ἢ τινὸς ἕνεκεν· εἰ δέ τινος ἕνεκεν, πότερον ἐπὶ τῷ γενόμενον αὐτὸν ζῆν καὶ διαμένειν καθ' ἣν ἐγένετο φύσιν ἢ διὰ χρείαν τινός; Εἰ δὲ κατὰ χρείαν, ἤτοι τὴν αὐτοῦ τοῦ ποιήσαντος ἢ ἄλλου τινὸς τῶν αὐτῷ προσηκόντων καὶ πλείονος φροντίδος ἠξιωμένων; ὃ δὴ καὶ κοινότερον σκοποῦντες εὑρίσκομεν ὅτι πᾶς εὖ φρονῶν καὶ λογικῇ κρίσει πρὸς τὸ ποιεῖν τι κινούμενος οὐδὲν ὧν κατὰ πρόθεσιν ἐνεργεῖ ποιεῖ μάτην, ἀλλ' ἤτοι τῆς ἰδίας ἕνεκεν χρήσεως ἢ διὰ χρείαν ἄλλου τινὸς ὧν πεφρόντικεν ἢ δι' αὐτὸ τὸ γινόμενον, ὁλκῇ τινι φυσικῇ καὶ στοργῇ πρὸς τὴν αὐτοῦ γένεσιν κινούμενος· οἷον (λεγέσθω γὰρ δι' εἰκόνος τινός, ἵνα σαφὲς γένηται τὸ προκείμενον) ἄνθρωπος ποιεῖ μὲν οἶκον διὰ τὴν ἰδίαν χρείαν, ποιεῖ δὲ βουσὶ καὶ καμήλοις ἢ τοῖς ἄλλοις ζώοις, ὧν ἐστιν ἐνδεής, τὴν ἑκάστῳ τούτων ἁρμόζουσαν σκέπην οὐκ ἰδίας ἕνεκεν χρήσεως κατὰ τὸ φαινόμενον, ἀλλὰ κατὰ μὲν τὸ τέλος διὰ τοῦτο, κατὰ δὲ τὸ προσεχὲς διὰ τὴν τούτων ὧν πεφρόντικεν ἐπιμέλειαν· ποιεῖται δὲ καὶ παῖδας οὔτε διὰ χρείαν ἰδίαν οὔτε δι' ἕτερόν τι τῶν αὐτῷ προσηκόντων, ἀλλ' ἐπὶ τῷ εἶναί τε καὶ διαμένειν καθόσον οἷόν τε τοὺς ὑπ' αὐτοῦ γεννωμένους, τῇ τῶν παίδων καὶ τῶν ἐγγόνων διαδοχῇ τὴν ἑαυτοῦ τελευτὴν παραμυθούμενος καὶ ταύτῃ τὸ θνητὸν ἀποθανατίζειν οἰόμενος.*

*Ἀλλὰ ταῦτα μὲν ὑπὸ τούτων· ὁ μέντοι Θεὸς οὔτ' ἂν μάτην ἐποίησεν τὸν ἄνθρωπον· ἔστι γὰρ σοφός, οὐδὲν δὲ σοφίας ἔργον μάταιον· οὔτε διὰ χρείαν ἰδίαν· παντὸς γάρ ἐστιν ἀπροσδεής, τῷ δὲ μηδενὸς δεομένῳ τὸ παράπαν οὐδὲν τῶν ὑπ' αὐτοῦ γενομένων συντελέσειεν ἂν εἰς χρείαν ἰδίαν. Ἀλλ' οὐδὲ διά τινα τῶν ὑπ' αὐτοῦ γενομένων ἔργων ἐποίησεν ἄνθρωπον. Οὐδὲν γὰρ τῶν λόγῳ καὶ κρίσει χρωμένων οὔτε τῶν μειζόνων οὔτε τῶν καταδεεστέρων γέγονεν ἢ γίνεται πρὸς ἑτέρου χρείαν, ἀλλὰ διὰ τὴν ἰδίαν αὐτῶν τῶν γενομένων ζωήν τε καὶ διαμονήν. Οὐδὲ*

μεν ἂν ὁ ἄνθρωπος ἔγινεν ἁπλῶς καὶ τυχαίως ἢ χάριν ὡρισμένου σκοποῦ. Ἐὰν δὲ ἔγινε διὰ κάποιον σκοπόν, ἔγινε διὰ νὰ ζῇ καὶ διαμένῃ κατὰ τὴν φύσιν τὴν ὁποίαν ἔλαβεν ἢ πρὸς ἐξυπηρέτησιν ἑνὸς ἄλλου; Ἐὰν δὲ δι' ἐξυπηρέτησιν, τίνος, τοῦ δημιουργοῦ του ἢ κάποιου ἄλλου ἐκ τῶν οἰκείων τούτου καὶ ἠξιωμένων μεγαλυτέρας φροντίδος; Τοῦτο εὑρίσκομεν ἐξετάζοντες κοινότερον, ὅτι πᾶς σώφρων καὶ κινούμενος ἀπὸ λογικὴν δύναμιν νὰ κάμῃ κάτι δὲν πράττει ματαίως τίποτε ἀπὸ ὅσα ἐνεργεῖ κατὰ πρόθεσιν, ἀλλὰ πράττει ἢ χάριν ἰδικῆς του χρήσεως ἢ πρὸς χρῆσιν κάποιου ἄλλου ἀπὸ ἐκείνους διὰ τοὺς ὁποίους φροντίζει ἢ δι' αὐτὸ τοῦτο τὸ γινόμενον, κινούμενος ἀπὸ κάποιαν φυσικὴν ἕλξιν καὶ στοργὴν πρὸς τὸ δημιούργημά του. Οὕτω ἐπὶ παραδείγματι (διὰ νὰ τὸ εἴπωμεν μὲ κάποιαν εἰκόνα, ὥστε νὰ γίνῃ σαφὲς τὸ θέμα) ὁ ἄνθρωπος κατασκευάζει μὲν οἶκον διὰ προσωπικήν του χρῆσιν, κατασκευάζει δὲ ἐπίσης διὰ τοὺς βοῦς, τὰς καμήλους καὶ τὰ ἄλλα ζῶα τὴν ἁρμόζουσαν εἰς ἕκαστον στέγην, ὄχι δι' ἰδικήν του χρῆσιν κατὰ τὸ φαινόμενον, ἀλλὰ κατὰ μὲν τὸν τελικὸν σκοπὸν διὰ τοῦτο, κατὰ δὲ τὸν ἄμεσον διὰ τὴν περιποίησιν αὐτῶν τὰ ὁποῖα περιποιεῖται· κάμνει δὲ ἐπίσης παιδία οὔτε δι' ἰδικήν του χρῆσιν οὔτε χάριν κανενὸς ἄλλου ἀπὸ τὰ οἰκεῖα εἰς αὐτόν, ἀλλὰ διὰ νὰ ὑπάρχουν καὶ διαμένουν οἱ γεννώμενοι ἀπὸ αὐτὸν ὅσον τὸ δυνατὸν περισσότερον, παρηγορῶν ἑαυτὸν μὲ τὴν διαδοχὴν τῶν παιδίων καὶ ἐγγονῶν διὰ τὸν θάνατόν του καὶ νομίζων ὅτι ἀθανατίζει μὲ αὐτὴν τὸ θνητόν.

Ἀλλ' αὐτὰ πράττουν οὗτοι. Ὁ Θεὸς ὅμως δὲν εἶναι δυνατὸν νὰ ἔκαμε τὸν ἄνθρωπον εἰς μάτην διότι εἶναι σοφός, κανὲν δὲ ἔργον σοφίας δὲν εἶναι μάταιον· οὔτε δι' ἰδικήν του χρῆσιν, διότι δὲν ἔχει ἀνάγκην κανενός, εἰς τὸν μὴ ἔχοντα δὲ ἀνάγκην κανενὸς καθόλου δὲν θὰ ἠδύνατο νὰ συμβάλῃ κανὲν ἀπὸ τὰ δημιουργήματά του εἰς τὴν ἐξυπηρέτησίν του. Ἀλλ' οὔτε διὰ κάποιον ἀπὸ τὰ ἔργα του ἔπλασε τὸν ἄνθρωπον. Διότι κανὲν ἀπὸ τὰ δημιουργήματα τὰ ὁποῖα χρησιμοποιοῦν λογικὴν καὶ κρίσιν, εἴτε τὰ ἀνώτερα εἴτε τὰ κατώτερα, δὲν ἔγινεν οὔτε γίνεται δι' ὑπηρεσίαν ἄλλου, ἀλλὰ γίνονται διὰ τὴν ζωὴν καὶ διαμο-

*γὰρ ὁ λόγος εὑρίσκει τινὰ χρείαν τῆς τῶν ἀνθρώπων γενέσεως αἰτίαν, τῶν μὲν ἀθανάτων ἀνενδεῶν ὄντων καὶ μηδεμιᾶς μηδαμῶς παρ' ἀνθρώπων συντελείας πρὸς τὸ εἶναι δεομένων, τῶν δὲ ἀλόγων ἀρχομένων κατὰ φύσιν καὶ τὰς πρὸς ὃ πέφυκεν ἕκαστον χρείας ἀνθρώποις ἀποπληρούντων ἀλλ' οὐκ αὐτῶν τούτοις χρῆσθαι πεφυκότων· θέμις γὰρ οὔτε ἦν οὔτε ἐστὶ τὸ ἄρχον καὶ ἡγεμονοῦν ὑπάγειν εἰς χρῆσιν τοῖς ἐλάττοσιν ἢ τὸ λογικὸν ὑποτάττειν ἀλόγοις, οὖσιν πρὸς τὸ ἄρχειν ἀνεπιτηδείοις.*

*Οὐκοῦν εἰ μήτε ἀναιτίως καὶ μάτην γέγονεν ἄνθρωπος (οὐδὲν γὰρ τῶν ὑπὸ Θεοῦ γενομένων μάταιον κατά γε τὴν τοῦ ποιήσαντος γνώμην) μήτε χρείας ἕνεκεν αὐτοῦ τοῦ ποιήσαντος ἢ ἄλλου τινὸς τῶν ὑπὸ Θεοῦ γενομένων ποιημάτων, εὔδηλον ὅτι κατὰ μὲν τὸν πρῶτον καὶ κοινότερον λόγον δι' ἑαυτὸν καὶ τὴν ἐπὶ πάσης τῆς δημιουργίας θεωρουμένην ἀγαθότητα καὶ σοφίαν ἐποίησεν ὁ Θεὸς ἄνθρωπον, κατὰ δὲ τὸν προσεχέστερον τοῖς γενομένοις λόγον διὰ τὴν αὐτῶν τῶν γενομένων ζωήν, οὐκ ἐπὶ μικρὸν ἐξαπτομένην εἶτα παντελῶς σβεννυμένην. Ἑρπετοῖς γάρ, οἶμαι, καὶ πτηνοῖς καὶ νηκτοῖς ἢ καὶ κοινότερον εἰπεῖν πᾶσι τοῖς ἀλόγοις τὴν τοιαύτην ζωὴν ἀπένειμεν Θεός, τοῖς δὲ αὐτὸν ἐν ἑαυτοῖς ἀγαλματοφοροῦσι τὸν ποιητὴν νοῦν τε συνεπιφερομένοις καὶ λογικῆς κρίσεως μεμοιραμένοις τὴν εἰς ἀεὶ διαμονὴν ἀπεκλήρωσεν ὁ ποιήσας, ἵνα γινώσκοντες τὸν ἑαυτῶν ποιητὴν καὶ τὴν τούτου δύναμίν τε καὶ σοφίαν νόμῳ τε συνεπόμενοι καὶ δίκῃ τούτοις συνδιαιωνίζωσιν ἀπόνως, οἷς τὴν προλαβοῦσαν ἐκράτυναν ζωὴν καίπερ ἐν φθαρτοῖς καὶ γηΐνοις ὄντες σώμασιν.*

*Ὁπόσα μὲν γὰρ ἄλλου του χάριν γέγονεν, παυσαμένων*

10. Οὕτω ἀπορρίπτεται ὁ θεσμὸς τῆς δουλείας, εἰς τὸν ὁποῖον ὁ ἄνθρωπος εἶναι εἰς τὴν «ὑπηρεσίαν» ἀνθρώπων.

11. Διὰ πρώτην φορὰν ὑπὸ τοῦ Ἀθηναγόρου ὁρίζεται ὁ σκοπὸς τῆς

νὴν αὐτῶν τῶν ἰδίων[10]. Οὔτε ἡ λογικὴ εὑρίσκει ὡς αἰτίαν κάποιαν ἀνάγκην ὡς αἰτίαν τῆς γενέσεως τῶν ἀνθρώπων, διότι τὰ μὲν ἀθάνατα ὄντα εἶναι ἀνενδεῆ καὶ δὲν χρειάζονται καθόλου καμμίαν συνεισφορὰν ἀπὸ ἀνθρώπους διὰ τὴν ὕπαρξίν των, τὰ δὲ ἄλογα εἶναι κατὰ φύσιν ὑπήκοα καὶ ὑπηρετοῦν τὰς ἀνάγκας τῶν ἀνθρώπων ἕκαστον κατὰ τὸν προορισμόν του, ἐνῶ αὐτὰ δὲν εἶναι καμωμένα νὰ χρησιμοποιοῦν τούτους· διότι οὔτε ἦτο οὔτε εἶναι θεμιτὸν τὸ κυριαρχικὸν καὶ ἡγεμονικὸν νὰ ἔρχεται εἰς ὑπηρεσίαν τῶν κατωτέρων ἢ τὸ λογικὸν νὰ ὑποτάσσεται εἰς τὰ ἄλογα, τὰ ὁποῖα εἶναι ἀκατάλληλα νὰ ἄρχουν.

Ἑπομένως ἐὰν ὁ ἄνθρωπος δὲν ἔγινεν ἀναιτίως καὶ ματαίως (διότι τίποτε ἀπὸ τὰ ὑπὸ Θεοῦ γενόμενα δὲν εἶναι μάταιον κατὰ τὴν γνώμην τοῦ δημιουργοῦ τουλάχιστον) οὔτε διὰ ἐξυπηρέτησιν αὐτοῦ τούτου τοῦ δημιουργοῦ ἢ κάποιου ἄλλου ἀπὸ τὰ κτίσματα τοῦ Θεοῦ, εἶναι εὔλογον ὅτι ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον κατὰ μὲν τὴν πρώτην καὶ κοινοτέραν ἄποψιν διὰ τὸν ἑαυτόν του καὶ ἐξ αἰτίας τῆς εἰς ὅλην τὴν δημιουργίαν φαινομένης ἀγαθότητος καὶ σοφίας του, κατὰ δὲ τὴν πλησιεστέραν εἰς τὰ δημιουργήματα ἄποψιν διὰ τὴν ζωὴν αὐτῶν τούτων τῶν δημιουργημάτων, ἡ ὁποία δὲν ἀνάπτει ἐπὶ μικρὸν χρόνον καὶ ἔπειτα σβήνεται ἐντελῶς[11]. Διότι νομίζω ὅτι εἰς τὰ ἑρπετά, τὰ πτηνά, τὰ νηκτὰ ἢ γενικώτερον εἰς ὅλα τὰ ἄλογα τὴν τοιαύτην ζωὴν ἀπένειμεν ὁ Θεός, εἰς ἐκείνους δὲ οἱ ὁποῖοι φέρουν τὸν ἴδιον τὸν ποιητὴν μέσα των ὡς ἄγαλμα, διαθέτουν νοῦν καὶ μετέχουν λογικῆς κρίσεως ὁ δημιουργὸς ἐκληροδότησε τὴν αἰωνίαν διαμονήν, οὕτως ὥστε γνωρίζοντες τὸν ποιητήν των καὶ τὴν δύναμιν καὶ σοφίαν αὐτοῦ καὶ ἀκολουθοῦντες τὸν νόμον καὶ τὴν δικαιοσύνην, νὰ συζοῦν αἰωνίως μαζὶ μὲ αὐτὰ τὰ ἀγαθὰ μὲ τὰ ὁποῖα ἐδυνάμωσαν τὴν προηγουμένην ζωὴν των, ἂν καὶ ἦσαν εἰς φθαρτὰ καὶ γήϊνα σώματα.

Βεβαίως ὅσα ἔγιναν χάριν ἑνὸς ἄλλου, ὅταν παύσουν

---

δημιουργίας ὡς ἀποκάλυψις τῆς τελειότητος τοῦ Θεοῦ εἰς τὰ ἀγαθὰ τὰ ὁποῖα οὗτος δημιουργεῖ. Ὁ ἔμμεσος, «προσεχής», σκοπὸς τῆς ζωῆς τῶν δημιουργημάτων καθ' ἑαυτὰ εἶναι δευτερεῦον.

*ἐκείνων ὧν ἕνεκεν γέγονεν, παύσεται εἰκότως καὶ αὐτὰ τὰ γενόμενα τοῦ εἶναι καὶ οὐκ ἂν διαμένοι μάτην, ὡς ἂν μηδεμίαν ἐν τοῖς ὑπὸ Θεοῦ γενομένοις τοῦ ματαίου χώραν ἔχοντος· τά γε μὴν δι' αὐτὸ τὸ εἶναι καὶ ζῆν καθὼς πέφυκεν γενόμενα, ὡς αὐτῆς τῆς αἰτίας τῇ φύσει συνειλημμένης καὶ κατ' αὐτὸ μόνον τὸ εἶναι θεωρουμένης, οὐδεμίαν οὐδέποτε δέξαιτ' ἂν τὴν τὸ εἶναι παντελῶς ἀφανίζουσαν αἰτίαν. Ταύτης δὲ ἐν τῷ εἶναι πάντοτε θεωρουμένης, δεῖ σώζεσθαι πάντως καὶ τὸ γενόμενον ζῶον, ἐνεργοῦν τε καὶ πάσχον ἃ πέφυκεν, ἑκατέρου τούτων ἐξ ὧν γέγονεν τὰ παρ' ἑαυτοῦ συνεισφέροντος καὶ τῆς μὲν ψυχῆς οὔσης τε καὶ διαμενούσης ὁμαλῶς ἐν ᾗ γέγονεν φύσει καὶ διαπονούσης ἃ πέφυκε (πέφυκε δὲ ταῖς τοῦ σώματος ἐπιστατεῖν ὁρμαῖς καὶ τὸ προσπῖπτον ἀεὶ τοῖς προσήκουσι κρίνειν καὶ μετρεῖν κριτηρίοις καὶ μέτροις), τοῦ δὲ σώματος κινουμένου κατὰ φύσιν πρὸς ἃ πέφυκε καὶ τὰς ἀποκληρωθείσας αὐτῷ δεχομένου μεταβολάς, μετὰ δὲ τῶν ἄλλων τῶν κατὰ τὰς ἡλικίας ἢ κατ' εἶδος ἢ μέγεθος τὴν ἀνάστασιν. Εἶδος γάρ τι μεταβολῆς καὶ πάντων ὕστατον ἡ ἀνάστασις ἥ τε τῶν κατ' ἐκεῖνον τὸν χρόνον περιόντων ἔτι πρὸς τὸ κρεῖττον μεταβολή.*

*13* *Ἐπὶ δὲ τούτοις τεθαρρηκότες οὐ μεῖον ἢ τοῖς ἤδη γενομένοις καὶ τὴν ἑαυτῶν ἐπισκοποῦντες φύσιν, τήν τε μετ' ἐνδείας καὶ φθορᾶς ζωὴν στέργομεν ὡς τῷ παρόντι βίῳ προσήκουσαν καὶ τὴν ἐν ἀφθαρσίᾳ διαμονὴν ἐλπίζομεν βεβαίως· ἣν οὐ παρὰ ἀνθρώπων ἀναπλάττομεν μάτην ψευδέσιν ἑαυτοὺς βουκολοῦντες ἐλπίσιν, ἀπλανεστάτῳ δὲ πεπιστεύκαμεν ἐχεγγύῳ, τῇ τοῦ δημιουργήσαντος ἡμᾶς γνώμῃ, καθ' ἣν ἐποίησεν ἄνθρωπον ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος νοῦν τε συγκατεσκεύασεν αὐτῷ καὶ νόμον ἔμφυτον ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τῶν παρ' αὐτοῦ δεδομένων, ἔμφρονι δὲ βίῳ καὶ ζωῇ λογικῇ προσηκόντων, εὖ εἰ-*

12. Οἱ ζῶντες κατὰ τὸν χρόνον τῆς ἀναστάσεως θὰ ὑποστοῦν ἄμεσον μετα-

ἐκεῖνα χάριν τῶν ὁποίων ἔχουν γίνει, θὰ παύσουν εὐλόγως καὶ αὐτὰ τὰ γενόμενα ἀπὸ τὴν ὕπαρξιν καὶ δὲν θὰ διαμένουν ἀσκόπως, διότι τὸ μάταιον δὲν ἔχει καμμίαν θέσιν εἰς τὰ κτίσματα τοῦ Θεοῦ. Ἔπειτα τὰ κτισθέντα εἰς τὸ νὰ ὑπάρχουν καὶ ζοῦν κατὰ τὴν φύσιν των, διὰ τὸ ὅτι ἡ αἰτία των συμπερικλείεται εἰς τὴν φύσιν καὶ θεωρεῖται μόνον κατὰ τὴν ὕπαρξίν των, δὲν θὰ ἦτο δυνατὸν νὰ δεχθοῦν ποτὲ αἰτίαν ἡ ὁποία ἀφανίζει διαπαντὸς τὴν ὕπαρξιν. Ἐφ' ὅσον δὲ αὕτη θεωρεῖται πάντοτε ἐντὸς τῆς ὑπάρξεως, πρέπει πάντως νὰ σώζεται καὶ τὸ ζωντανὸν κτίσμα, ἐνεργοῦν καὶ πάσχον τὰ κατὰ τὴν φύσιν του, μὲ ἕκαστον τῶν δύο συστατικῶν του προσφέρον τὰ κατὰ τὴν δύναμίν του, τὴν μὲν ψυχὴν ὑπάρχουσαν καὶ διαμένουσαν ὁμαλῶς εἰς τὴν ἀρχικὴν φύσιν της καὶ διεξάγουσαν τὰ ἔργα διὰ τὰ ὁποῖα εἶναι καμωμένη (εἶναι δὲ καμωμένη νὰ ἐπιστατῇ εἰς τὰς ὁρμὰς τοῦ σώματος καὶ νὰ κρίνῃ καὶ μετρῇ πάντοτε μὲ τὰ προσήκοντα κριτήρια καὶ μέτρα), τὸ δὲ σῶμα κινούμενον κατὰ φύσιν πρὸς ὅσα εἶναι καμωμένον καὶ ὑφιστάμενον τὰς κληροδοτηθείσας εἰς αὐτὸ μεταβολάς, μαζὶ δὲ μὲ τὰς ἄλλας κατὰ ἡλικίαν, ἐμφάνισιν καὶ μέγεθος μεταβολὰς τὴν ἀνάστασιν. Διότι εἶδος μεταβολῆς, καὶ μάλιστα τελευταῖον ὅλων εἶναι ἡ ἀνάστασις, καθὼς καὶ ἡ πρὸς τὸ καλύτερον μεταβολὴ ἐκείνων οἱ ὁποῖοι θὰ ἐπιζοῦν κατ' ἐκεῖνον τὸν χρόνον[12].

13 Ἐνθαρρυμένοι μὲ αὐτὰ ὄχι ὀλιγώτερον ἀπὸ ὅσα ἔγιναν ἤδη καὶ ἐξετάζοντες τὴν φύσιν ἡμῶν, εὐχαρίστως δεχόμεθα τὴν μετὰ στερήσεων καὶ φθορᾶς ζωὴν ὡς ἁρμόζουσαν εἰς τὸν παρόντα βίον καὶ ἐλπίζομεν μετὰ βεβαιότητος τὴν ἐν ἀφθαρσίᾳ διαμονήν, τὴν ὁποίαν δὲν πλάττομεν ἡμεῖς ματαίως ἀπὸ ἀνθρωπίνας μαρτυρίας, αὐταπατώμενοι μὲ ψευδεῖς ἐλπίδας, ἀλλὰ πιστεύομεν βάσει βεβαιότητος ἡ ὁποία δὲν παραπλανᾶ, τῆς γνώμης τοῦ δημιουργοῦ ἡμῶν, κατὰ τὴν ὁποίαν ἔπλασε τὸν ἄνθρωπον ἀπὸ ψυχὴν ἀθάνατον καὶ σῶμα, προσέθεσε δὲ εἰς αὐτὸν νοῦν καὶ ἔμφυτον νόμον πρὸς διάσωσιν καὶ διαφύλαξιν τῶν παρ' αὐτοῦ δώρων, τὰ ὁποῖα ταιριάζουν εἰς ἐνσυνείδητον βίον

βολήν, ἡ ὁποία θὰ καταλήξῃ εἰς ἀφθαρσίαν τῶν σωμάτων.

*δότες ὡς οὐκ ἂν τοιοῦτον κατεσκεύασεν ζῶον καὶ πᾶσι τοῖς πρὸς διαμονὴν ἐκόσμησεν, εἰ μὴ διαμένειν ἐβούλετο τὸ γενόμενον.*

*Εἰ τοίνυν ὁ τοῦδε τοῦ παντὸς δημιουργὸς ἐποίησεν ἄνθρωπον ἐπὶ τῷ ζωῆς ἔμφρονος μετασχεῖν καὶ γενόμενον θεωρὸν τῆς τε μεγαλοπρεπείας αὐτοῦ καὶ τῆς ἐπὶ πᾶσι σοφίας τῇ τούτων θεωρίᾳ συνδιαμένειν ἀεὶ κατὰ τὴν ἐκείνου γνώμην καὶ καθ' ἣν εἴληχε φύσιν, ἡ μὲν τῆς γενέσεως αἰτία πιστοῦται τὴν εἰς ἀεὶ διαμονήν, ἡ δὲ διαμονὴ τὴν ἀνάστασιν, ἧς χωρὶς οὐκ ἂν διαμείνειεν ἄνθρωπος. Ἐκ δὲ τῶν εἰρημένων εὔδηλον ὡς τῇ τῆς γενέσεως αἰτίᾳ καὶ τῇ γνώμῃ τοῦ ποιήσαντος δείκνυται σαφῶς ἡ ἀνάστασις.*

*Τοιαύτης δὲ τῆς αἰτίας οὔσης, καθ' ἣν εἰς τόνδε παρῆκται τὸν κόσμον ἄνθρωπος, ἀκόλουθον ἂν εἴη τὸν τούτοις κατὰ φύσιν ἢ καθ' εἱρμὸν ἑπόμενον διασκέψασθαι λόγον· ἕπεται δὲ κατὰ τὴν ἐξέτασιν τῇ μὲν αἰτίᾳ τῆς γενέσεως ἡ τῶν γενηθέντων ἀνθρώπων φύσις, τῇ δὲ φύσει τῶν γενομένων ἡ τοῦ ποιήσαντος ἐπὶ τούτοις δικαία κρίσις τούτοις τε πᾶσι τὸ τοῦ βίου τέλος. Ἐξητασμένων δὲ ἡμῖν τῶν προτεταγμένων ἐπισκεπτέον ἑξῆς τὴν τῶν ἀνθρώπων φύσιν.*

## *ΤΟ ΕΠΙΧΕΙΡΗΜΑ ΕΚ ΤΗΣ ΦΥΣΕΩΣ ΤΩΝ ΑΝΘΡΩΠΩΝ*

14 *Ἡ τῶν τῆς ἀληθείας δογμάτων ἢ τῶν ὁπωσοῦν εἰς ἐξέτασιν προβαλλομένων ἀπόδειξις τὴν ἀπλανῆ τοῖς λεγομένοις ἐπιφέρουσα πίστιν οὐκ ἔξωθέν ποθεν ἔχει τὴν ἀρχὴν οὐδ' ἐκ τῶν τισι δοκούντων ἢ δεδογμένων, ἀλλ' ἐκ τῆς κοινῆς καὶ φυσικῆς*

13. Κατὰ τὴν λογικὴν τῆς ἐποχῆς ἐκείνης πρῶτα ἦσαν τὰ μὴ δεχόμενα ἀπόδειξιν ἀξιώματα, αἱ αὐταπόδεικτοι ἀρχαί, δεύτερα δὲ τὰ ἐξ αὐτῶν προκύπτοντα συμπεράσματα. Τὰ ἀξιώματα καλεῖ ἐδῶ ὁ Ἀθηναγόρας «πρῶτα δόγματα» καὶ

καὶ λογικὴν ζωήν. Γνωρίζομεν καλῶς ὅτι δὲν θὰ κατεσκεύαζε τοιοῦτο ζῶον καὶ δὲν θὰ τὸ ἐστὀλιζε μὲ ὅλα τὰ ἁρμόζοντα εἰς τὴν διαμονὴν δῶρα, ἐὰν δὲν ἤθελε νὰ διαμείνη τὸ κτίσμα του.

Ἐὰν λοιπὸν ὁ δημιουργὸς τοῦ σύμπαντος κατεσκεύασε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, διὰ νὰ μετάσχη ἐνσυνειδήτου ζωῆς καί, γενὸμενος θεωρὸς τῆς μεγαλοπρεπείας αὐτοῦ καὶ τῆς καθολικῆς σοφίας, νὰ διαμένη πάντοτε εἰς τὴν θεωρίαν αὐτῶν, κατὰ τὴν θείαν πρὸθεσιν καὶ τὴν φύσιν τὴν ὁποίαν ἔλαβε, τὸτε ἡ αἰτία τῆς γενέσεως ἐγγυᾶται τὴν διαπαντὸς διαμονήν, ἡ δὲ διαμονὴ τὴν ἀνάστασιν, ἄνευ τῆς ὁποίας δὲν δύναται νὰ διαμείνη ὁ ἄνθρωπος. Ἀπὸ τὰ λεχθέντα εἶναι φανερὸν ὅτι διὰ τῆς αἰτίας τῆς γενέσεως καὶ τῆς προθέσεως τοῦ δημιουργοῦ δεικνύεται σαφῶς ἡ ἀνάστασις.

Ἀφοῦ τοιαύτη εἶναι ἡ αἰτία, κατὰ τὴν ὁποίαν παρήχθη εἰς αὐτὸν τὸν κὸσμον ὁ ἄνθρωπος, θὰ ἦτο εὔλογον νὰ ἐξετάσωμεν τὸ ἑπόμενον εἰς αὐτὰ κατὰ φύσιν καὶ εἱρμὸν ἐπιχείρημα. Ἀκολουθεῖ δὲ κατὰ τὴν ἐξέτασιν τὴν μὲν αἰτίαν τῆς γενέσεως ἡ φύσις τῶν δημιουργηθέντων ἀνθρώπων, τὴν δὲ φύσιν τῶν δημιουργημένων ἡ δικαία ἐπ’ αὐτῶν κρίσις τοῦ ποιητοῦ καὶ ὅλα αὐτὰ τὸ τέλος τοῦ βίου. Ἀφοῦ δὲ ἀνεπτύξαμεν τὰ πρῶτα, ἂς ἐξετάσωμεν ἐν συνεχεία τὴν φύσιν τῶν ἀνθρώπων.

## ΤΟ ΕΠΙΧΕΙΡΗΜΑ ΕΚ ΤΗΣ ΦΥΣΕΩΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ

14 Ἡ ἀπόδειξις τῶν δογμάτων τῆς ἀληθείας ἢ τῶν ὁπωσδήποτε πρὸς ἐξέτασιν προβαλλομένων ζητημάτων, προσφέρουσα τὴν ἀπλάνευτον πιστότητα τῶν λεγομένων, δὲν ἔχει τὴν πηγὴν ἀπὸ κάπου ἔξω οὔτε ἀπὸ ὅσα νομίζουν ἢ ἔχουν νομίσει μερικοί, ἀλλ’ ἀπὸ τὴν κοινὴν καὶ φυσικὴν ἔννοιαν ἢ ἀπὸ τὴν ἀκολουθίαν τῶν δευτέρων πρὸς τὰ πρῶτα[13]. Πρὸκειται ἢ περὶ τῶν αὐταπο-

---

ἀποδίδει τὴν κατανόησίν των εἰς τὴν «φυσικὴν ἔννοιαν», κατὰ στωϊκὴν ὁρολογίαν.

*ἐννοίας ἢ τῆς πρὸς τὰ πρῶτα τῶν δευτέρων ἀκολουθίας. Ἢ γὰρ περὶ τῶν πρώτων ἐστὶ δογμάτων καὶ δεῖ μόνης ὑπομνήσεως τῆς τὴν φυσικὴν ἀνακινούσης ἔννοιαν ἢ περὶ τῶν κατὰ φύσιν ἑπομένων τοῖς πρώτοις καὶ τῆς φυσικῆς ἀκολουθίας καὶ δεῖ τῆς ἐπὶ τούτοις τάξεως, δεικνύντας τί τοῖς πρώτοις ἢ τοῖς προτεταγμένοις ἀκολουθεῖ κατ' ἀλήθειαν, ἐπὶ τῷ μήτε τῆς ἀληθείας ἢ τῆς κατ' αὐτὴν ἀσφαλείας ἀμελεῖν μήτε τὰ τῇ φύσει τεταγμένα καὶ διωρισμένα συγχεῖν ἢ τὸν φυσικὸν εἱρμὸν διασπᾶν.*

*Ὅθεν οἶμαι χρῆν δίκαιον περὶ τῶν προκειμένων ἐσπουδακότας καὶ κρίνειν ἐμφρόνως θέλοντας εἴτε γίνεται τῶν ἀνθρωπίνων σωμάτων ἀνάστασις εἴτε μή, πρῶτον μὲν ἐπισκοπεῖν καλῶς τῶν πρὸς τὴν τοῦδε δεῖξιν συντελούντων τὴν δύναμιν καὶ ποίαν ἕκαστον εἴληχεν χώραν καὶ τί μὲν τούτων πρῶτον τί δὲ δεύτερον ἢ τρίτον τί δ' ἐπὶ τούτοις ὕστατον· ταῦτα δὲ διαταξαμένους χρὴ πρώτην μὲν τάξαι τὴν αἰτίαν τῆς τῶν ἀνθρώπων γενέσεως, τοῦτ' ἔστιν τὴν τοῦ δημιουργήσαντος γνώμην καθ' ἣν ἐποίησεν ἄνθρωπον, ταύτῃ δὲ προσφυῶς ἐπισυνάψαι τὴν τῶν γενομένων ἀνθρώπων φύσιν, οὐχ ὡς τῇ τάξει δευτερεύουσαν, διὰ δὲ τὸ μὴ δύνασθαι κατὰ ταὐτὸν ἀμφοτέρων γενέσθαι τὴν κρίσιν, κἂν ὅτι μάλιστα συνυπάρχωσιν ἀλλήλαις καὶ πρὸς τὸ προκείμενον τὴν ἴσην παρέχωνται δύναμιν. Διὰ δὲ τούτων, ὡς πρώτων καὶ τὴν ἐκ δημιουργίας ἐχόντων ἀρχήν, ἐναργῶς δεικνυμένης τῆς ἀναστάσεως, οὐδὲν ἧττον καὶ διὰ τῶν τῆς προνοίας λόγων ἔστι λαβεῖν τὴν περὶ ταύτης πίστιν, λέγω δὲ διὰ τῆς ἑκάστῳ τῶν ἀνθρώπων ὀφειλομένης κατὰ δικαίαν κρίσιν τιμῆς ἢ δίκης καὶ τοῦ κατὰ τὸν ἀνθρώπινον βίον τέλους.*

*Πολλοὶ γὰρ τὸν τῆς ἀναστάσεως λόγον διαλαμβάνοντες τῷ τρίτῳ μόνῳ τὴν πᾶσαν ἐπήρεισαν αἰτίαν, νομίσαντες τὴν ἀνάστασιν γίνεσθαι διὰ τὴν κρίσιν. Τοῦτο δὲ περιφανῶς δείκνυται ψεῦδος ἐκ τοῦ πάντας μὲν ἀνίστασθαι τοὺς ἀποθνήσκοντας ἀνθρώπους, μὴ πάντας δὲ κρίνεσθαι τοὺς ἀναστάντας· εἰ γὰρ*

δείκτων ἀξιωμάτων, ὁπότε χρειαζόμεθα μόνον ὑπόμνησιν ἀνακινοῦσαν τὴν φυσικὴν ἔννοιαν, ἢ περὶ τῶν κατὰ φύσιν συμπερασμάτων, συναγομένων κατὰ φυσικὴν ἀκολουθίαν, ὁπότε χρειαζόμεθα τὴν δι' αὐτὰ τάξιν, διὰ νὰ δείξωμεν τί ἀκολουθεῖ πράγματι εἰς τὰ πρῶτα ἢ τὰ προτασσόμενα ἀξιώματα, ὅταν δὲν ἀμελῶμεν διὰ τὴν ἀλήθειαν καὶ τὴν ἐγγύησιν αὐτῆς, οὔτε συγχέωμεν τὰ ἐκ φύσεως διατεταγμένα καὶ τακτοποιημένα, οὔτε διασπῶμεν τὸν φυσικὸν εἱρμόν.

Ὅθεν, νομίζω, εἶναι δίκαιον οἱ σοβαρῶς μελετῶντες τὰ προκείμενα καὶ θέλοντες νὰ κρίνουν στοχαστικῶς, ἐὰν ὑπάρχει ἀνάστασις τῶν ἀνθρωπίνων σωμάτων ἢ ὄχι πρῶτον μὲν νὰ ἐξετάζουν καλῶς τὴν δύναμιν τῶν ἐπιχειρημάτων πρὸς ἀπόδειξιν τούτου καὶ ποίαν θέσιν κρατεῖ ἕκαστον, ποῖον ἔρχεται πρῶτον, ποῖον δεύτερον, ἢ τρίτον καὶ ποῖον τελευταῖον ἀπὸ ὅλα. Ἀφοῦ δὲ κατατάξωμεν ταῦτα, πρέπει νὰ τοποθετήσωμεν πρώτην τὴν αἰτίαν τῆς γενέσεως τοῦ ἀνθρώπου, ἔπειτα δὲ ἀμέσως νὰ συνάψωμεν τὴν φύσιν τῶν δημιουργηθέντων ἀνθρώπων, ὄχι ὡς δευτέρας κατὰ τὴν τάξιν, ἀλλὰ διότι δὲν δύναται νὰ γίνῃ ταυτοχρόνως ἡ ἐξέτασις ἀμφοτέρων, ὁσονδήποτε καὶ ἂν συνυπάρχουν αὗται καὶ προσφέρουν ἐπιχειρήματα ἴσης δυνάμεως εἰς τὸ θέμα. Ἀφοῦ δὲ ἡ ἀνάστασις ἀποδειχθῇ ἐναργῶς διὰ μέσου τῶν ἐπιχειρημάτων τούτων, τὰ ὁποῖα εἶναι πρωταρχικὰ καὶ ἔχουν τὴν ἀρχήν των εἰς τὴν δημιουργίαν, εἶναι δυνατὸν νὰ λάβῃ κανεὶς βεβαίωσιν περὶ αὐτῆς καὶ διὰ τοῦ ἐπιχειρήματος τῆς προνοίας κατὰ τρόπον ὄχι κατώτερον, ἤτοι διὰ τῆς ὀφειλομένης εἰς ἕκαστον ἄνθρωπον τιμῆς ἢ δίκης, κατὰ δικαίαν κρίσιν, καὶ τοῦ τέλους τοῦ ἀνθρωπίνου βίου.

Πράγματι πολλοὶ διαπραγματευόμενοι τὸ θέμα τῆς ἀναστάσεως ἐστήριξαν ὅλον τὸ βάρος εἰς τὸ τρίτον ἐπιχείρημα, νομίσαντες ὅτι ἡ ἀνάστασις γίνεται διὰ τὴν κρίσιν. Τοῦτο δὲ δεικνύεται περιφανῶς ψευδὲς ἐκ τοῦ ὅτι ὅλοι μὲν οἱ ἀποθνήσκοντες ἄνθρωποι ἀνίστανται, δὲν κρίνονται ὅμως ὅλοι οἱ ἀναστάντες. Ἐὰν μόνον αἴτιον τῆς ἀναστάσεως ἦτο ἡ ἀπόδοσις δικαιο-

*μόνον τὸ κατὰ τὴν κρίσιν δίκαιον τῆς ἀναστάσεως ἦν αἴτιον, ἐχρῆν δήπου τοὺς μηδὲν ἡμαρτηκότας ἢ κατορθώσαντας μηδ' ἀντίστασθαι, τοῦτ' ἔστι τοὺς κομιδῇ νέους παῖδας· ἐξ ὧν δὲ πάντας ἀνίστασθαι τούς τε ἄλλους καὶ δὴ καὶ τοὺς κατὰ τὴν πρώτην ἡλικίαν τελευτήσαντας καὶ αὐτοὶ δικαιοῦσιν, οὐ διὰ τὴν κρίσιν ἡ ἀνάστασις γίνεται κατὰ πρῶτον λόγον, ἀλλὰ διὰ τὴν τοῦ δημιουργήσαντος γνώμην καὶ τὴν τῶν δημιουργηθέντων φύσιν.*

*15* *Ἀρκούσης δὲ καὶ μόνης τῆς ἐπὶ τῇ γενέσει τῶν ἀνθρώπων θεωρουμένης αἰτίας δεῖξαι τὴν ἀνάστασιν κατὰ φυσικὴν ἀκολουθίαν ἑπομένην τοῖς διαλυθεῖσι σώμασι, δίκαιον ἴσως πρὸς μηδὲν ἀποκνῆσαι τῶν προτεθέντων, ἀκολούθως δὲ τοῖς εἰρημένοις καὶ τὰς ἐξ ἑκάστου τῶν ἑπομένων ἀφορμὰς ὑποδεῖξαι τοῖς ἐξ αὐτῶν συνιδεῖν μὴ δυναμένοις καὶ πρό γε τῶν ἄλλων τὴν τῶν γενομένων ἀνθρώπων φύσιν, ἐπὶ τὴν αὐτὴν ἄγουσαν ἔννοιαν καὶ τὴν ἴσην παρέχουσαν περὶ τῆς ἀναστάσεως πίστιν.*

*Εἰ γὰρ πᾶσα κοινῶς ἡ τῶν ἀνθρώπων φύσις ἐκ ψυχῆς ἀθανάτου καὶ τοῦ κατὰ τὴν γένεσιν αὐτῇ συναρμοσθέντος σώματος ἔχει τὴν σύστασιν καὶ μήτε τῇ φύσει τῆς ψυχῆς καθ' ἑαυτὴν μήτε τῇ φύσει τοῦ σώματος χωρὶς ἀπεκλήρωσεν Θεὸς τὴν τοιάνδε γένεσιν ἢ τὴν ζωὴν καὶ τὸν σύμπαντα βίον, ἀλλὰ τοῖς ἐκ τούτων ἡνωμένοις ἀνθρώποις, ἵν', ἐξ ὧν ἥνωνται καὶ ζῶσι, διαβιώσαντα εἰς ἕν τι καὶ κοινὸν καταλήξωσιν τέλος, δεῖ, πάντως ἑνὸς ὄντος ἐξ ἀμφοτέρων ζώου τοῦ καὶ πάσχοντος ὁπόσα πάθη ψυχῆς καὶ ὁπόσα τοῦ σώματος ἐνεργοῦντός τε καὶ πράττοντος ὁπόσα τῆς αἰσθητικῆς ἢ τῆς λογικῆς δεῖται κρίσεως, πρὸς ἕν τι τέλος ἀναφέρεσθαι πάντα τὸν ἐκ τούτων εἱρμόν, ἵνα πάντα καὶ διὰ πάντων συντρέχῃ πρὸς μίαν ἁρμονίαν καὶ τὴν αὐτὴν συμπάθειαν, ἀνθρώπου γένεσις, ἀνθρώπου φύσις, ἀνθρώπου ζωή, ἀνθρώπου πράξεις καὶ πάθη καὶ βίος καὶ τὸ τῇ φύσει προσῆκον τέλος.*

σύνης κατὰ τὴν κρίσιν, ἔπρεπεν ὁπωσδήποτε οἱ μὴ ἁμαρτήσαντες ἢ κατορθώσαντες κάτι νὰ μὴ ἀνίστανται, δηλαδὴ τὰ πολὺ νέα ἀκόμη παιδία. Ἐφ' ὅσον ὅμως καὶ αὐτοὶ παραδέχονται ὅτι ὅλοι ἀνίστανται καὶ οἱ ἄλλοι ἀλλ' ἐπίσης καὶ οἱ ἀποθανόντες εἰς τὴν πρώτην ἡλικίαν, ἡ ἀνάστασις δὲν γίνεται κατὰ πρῶτον λόγον διὰ τὴν κρίσιν, ἀλλὰ διὰ τὴν πρόθεσιν τοῦ δημιουργοῦ καὶ τὴν φύσιν τῶν δημιουργηθέντων.

Ἂν καὶ ἀρκεῖ μόνη ἡ ἐπὶ τῆς γενέσεως τῶν ἀνθρώπων στηριζομένη αἰτία νὰ ἀποδείξη τὴν ἀνάστασιν ὡς ἑπομένην κατὰ φυσικὴν ἀκολουθίαν τῆς διαλύσεως τῶν σωμάτων, εἶναι ἴσως δίκαιον νὰ μὴ διστάση κανεὶς ἐνώπιον ὁποιουδήποτε ἀπὸ τὰ προταθέντα ἄλλα ἐπιχειρήματα, ἀλλ' ἐν συμφωνίᾳ μὲ τὰ λεχθέντα νὰ ὑποδείξη τὰς βάσεις καὶ ἑκάστου τῶν ἑπομένων εἰς τοὺς μὴ δυναμένους νὰ τὰς διακρίνουν μόνοι των, πρὶν δὲ ἀπὸ τὰ ἄλλα τῆς φύσεως τῶν γενομένων ἀνθρώπων, ἡ ὁποία ὁδηγεῖ πρὸς τὴν ἰδίαν ἔννοιαν καὶ παρέχει ὁμοίαν βεβαιότητα περὶ τῆς ἀναστάσεως.

Διότι, ἐὰν γενικῶς ὅλη ἡ φύσις τῶν ἀνθρώπων ἀποτελῆται ἀπὸ ἀθάνατον ψυχὴν καὶ ἀπὸ τὸ κατὰ τὴν γένεσιν προσαρμοζόμενον εἰς αὐτὴν σῶμα, καὶ ἐὰν ὁ Θεὸς δὲν ὥρισε τὴν τοιαύτην γένεσιν ἢ τὴν ζωὴν καὶ ὁλόκληρον τὸν βίον οὔτε διὰ τὴν φύσιν τῆς ψυχῆς μόνης της οὔτε διὰ τὴν φύσιν τοῦ σώματος χωριστά, ἀλλὰ διὰ τοὺς ἀνθρώπους οἱ ὁποῖοι ἀποτελοῦνται ἀπὸ τὰ δύο, οὕτως ὥστε τὰ συστατικά, ἀπὸ τὰ ὁποῖα ἐπιτυγχάνεται ἡ ἕνωσις καὶ ζωή των, ἀφοῦ διαβιώσουν, νὰ καταλήξουν εἰς ἑνιαῖον καὶ κοινὸν τέλος, πρέπει, ἐφ' ὅσον ὁπωσδήποτε ἀπὸ ἀμφότερα προέρχεται ἓν ζῶον καὶ πάσχει τὰ πάθη τόσον τῆς ψυχῆς ὅσον καὶ τοῦ σώματος, ἐνεργεῖ δὲ καὶ πράττει ὅσα χρειάζονται αἰσθητικὴν ἢ λογικὴν κρίσιν, ὁλόκληρον τὸ ἀπὸ τὰ συστατικὰ ταῦτα προερχόμενον ὂν νὰ ἀναφέρεται εἰς ἓν τέλος. Οὕτω ὅλα καὶ διὰ μέσου ὅλων θὰ συντρέχουν πρὸς μίαν ἁρμονίαν καὶ συμφωνίαν, ἀνθρώπου γένεσις, ἀνθρώπου φύσις, ἀνθρώπου ζωή, ἀνθρώπου πράξεις καὶ πάθη καὶ βίος καὶ τὸ προσῆκον εἰς τὴν φύσιν τέλος.

*Εἰ δὲ μία τίς ἐστιν ἁρμονία τοῦ ζώου παντὸς καὶ συμπάθεια, καὶ τῶν ἐκ ψυχῆς φυομένων καὶ τῶν διὰ τοῦ σώματος ἐπιτελουμένων, ἓν εἶναι δεῖ καὶ τὸ ἐπὶ πᾶσι τούτοις τέλος. Ἓν δὲ τέλος ἔσται κατ' ἀλήθειαν, τοῦ αὐτοῦ ζώου κατὰ τὴν ἑαυτοῦ σύστασιν ὄντος, οὗπέρ ἐστιν τέλος τὸ τέλος. Τὸ αὐτὸ δὲ ζῶον ἔσται καθαρῶς, τῶν αὐτῶν ὄντων πάντων ἐξ ὧν ὡς μερῶν τὸ ζῶον. Τὰ αὐτὰ δὲ κατὰ τὴν ἰδιάζουσαν ἕνωσιν ἔσται, τῶν διαλυθέντων πάλιν ἑνωθέντων πρὸς τὴν τοῦ ζώου σύστασιν. Ἡ δὲ τῶν αὐτῶν ἀνθρώπων σύστασις ἐξ ἀνάγκης ἑπομένην δείκνυσιν τὴν τῶν νεκρωθέντων καὶ διαλυθέντων σωμάτων ἀνάστασιν· ταύτης γὰρ χωρὶς οὔτ' ἂν ἑνωθείη τὰ αὐτὰ μέρη κατὰ φύσιν ἀλλήλοις οὔτ' ἂν συσταίη τῶν αὐτῶν ἀνθρώπων ἡ φύσις.*

*Εἰ δὲ καὶ νοῦς καὶ λόγος δέδοται τοῖς ἀνθρώποις πρὸς διάκρισιν νοητῶν, οὐκ οὐσιῶν μόνον ἀλλὰ καὶ τῆς τοῦ δόντος ἀγαθότητος καὶ σοφίας καὶ δικαιοσύνης, ἀνάγκη, διαμενόντων ὧν ἕνεκεν ἡ λογικὴ δέδοται κρίσις, καὶ αὐτὴν διαμένειν τὴν ἐπὶ τούτοις δοθεῖσαν κρίσιν· ταύτην δὲ διαμένειν ἀδύνατον, μὴ τῆς δεξαμένης αὐτὴν καὶ τὰ ἐν οἷς ἐστι διαμενούσης φύσεως. Ὁ δὲ καὶ νοῦν καὶ λόγον δεξάμενός ἐστιν ἄνθρωπος, οὐ ψυχὴ καθ' ἑαυτήν· ἄνθρωπον ἄρα δεῖ τὸν ἐξ ἀμφοτέρων ὄντα διαμένειν εἰς ἀεί, τοῦτον δὲ διαμένειν ἀδύνατον μὴ ἀνιστάμενον. Ἀναστάσεως γὰρ μὴ γινομένης, οὐκ ἂν ἡ τῶν ἀνθρώπων ὡς ἀνθρώπων διαμένοι φύσις· τῆς δὲ τῶν ἀνθρώπων φύσεως μὴ διαμενούσης, μάτην μὲν ἡ ψυχὴ συνήρμοσται τῇ τοῦ σώματος ἐνδείᾳ καὶ τοῖς τούτου πάθεσιν, μάτην δὲ τὸ σῶμα πεπέδηται πρὸς τὸ τυγχάνειν ὧν ὀρέγεται, ταῖς τῆς ψυχῆς ἡνίαις ὑπεῖκον καὶ χαλιναγωγούμενον, μάταιος δὲ ὁ νοῦς, ματαία δὲ φρόνησις καὶ δικαιοσύνης παρατήρησις ἢ καὶ πάσης ἀρετῆς ἄσκησις καὶ νόμων θέσις καὶ διάταξις καὶ συνόλως εἰπεῖν πᾶν ὅτι περ ἐν ἀνθρώποις καὶ δι' ἀνθρώπους καλόν, μᾶλλον δὲ καὶ αὐτὴ τῶν ἀνθρώπων ἡ γένε-*

Ἐὰν δὲ μία εἶναι ἡ ἁρμονία καὶ συμφωνία ὅλου τοῦ ζῶντος ὄντος τόσον τῶν ἐκ τῆς ψυχῆς φυομένων ὅσον καὶ τῶν ἐκ τοῦ σώματος ἐπιτελουμένων πραγμάτων, ἓν πρέπει νὰ εἶναι τὸ καθωρισμένον δι' ὅλα αὐτὰ τέλος. Θὰ εἶναι δὲ πράγματι ἓν τὸ τέλος, ἐὰν τὸ ζῶν ὄν, εἰς τὸ ὁποῖον ἀνήκει τὸ τέλος, παραμείνῃ τὸ ἴδιον κατὰ τὴν σύστασίν του. Θὰ εἶναι δὲ τὸ ζῶν ὂν σαφῶς τὸ ἴδιον, ἐὰν εἶναι τὰ ἴδια τὰ μέρη ἐκ τῶν ὁποίων ἀποτελεῖται τοῦτο. Τὰ δὲ συστατικὰ θὰ εἶναι κατὰ τὴν ἰδιάζουσαν ἕνωσιν τὰ ἴδια, ἐὰν τὰ διαλυθέντα ἑνωθοῦν πάλιν πρὸς ἀνασύστασιν τοῦ ζῶντος ὄντος. Ἡ δὲ σύστασις τῶν ἰδίων ἀνθρώπων κατ' ἀνάγκην προϋποθέτει τὴν ἀνάστασιν τῶν νεκρωθέντων καὶ διαλυθέντων σωμάτων· διότι χωρὶς αὐτὴν δὲν θὰ ἦτο δυνατὸν οὔτε τὰ ἴδια μέρη νὰ ἑνωθοῦν κατὰ φύσιν πρὸς ἄλληλα οὔτε νὰ ἀνασυσταθῇ τῶν ἰδίων ἀνθρώπων ἡ φύσις.

Ἐὰν δὲ ἔχῃ δοθῇ εἰς τοὺς ἀνθρώπους καὶ νοῦς καὶ λόγος πρὸς διάκρισιν τῶν νοητῶν πραγμάτων, ὄχι μόνον τῶν οὐσιῶν ἀλλὰ καὶ τῆς ἀγαθότητος καὶ σοφίας καὶ δικαιοσύνης τοῦ δοτῆρος, εἶναι ἀνάγκη, ἐφ' ὅσον διαμένουν ἐκεῖνα διὰ τὰ ὁποῖα ἔχει δοθῇ ἡ λογικὴ κρίσις, νὰ διαμένῃ καὶ αὐτὴ ἡ δι' αὐτὰ δοθεῖσα κρίσις· εἶναι δὲ ἀδύνατον νὰ διαμένῃ αὕτη, ἐὰν δὲν διαμένῃ ἡ φύσις ἡ ὁποία ἐδέχθη αὐτὴν καὶ τὰ ἀντικείμενα ἐπὶ τῶν ὁποίων αὕτη ἀσκεῖται. Ἐκεῖνος δὲ ὁ ὁποῖος ἐδέχθη καὶ τὸν νοῦν καὶ τὸν λόγον εἶναι ὁ ἄνθρωπος, ὄχι ἡ ψυχὴ μόνη της· ἄρα ὁ ἄνθρωπος ὁ ἀποτελούμενος ἀπὸ ἀμφότερα πρέπει νὰ διαμένῃ διαπαντός, ἀλλ' εἶναι ἀδύνατον νὰ διαμένῃ ἂν δὲν ἀναστῇ. Διότι, ἂν δὲν πραγματοποιηθῇ ἀνάστασις, δὲν θὰ ἠδύνατο νὰ διαμείνῃ ἡ φύσις τῶν ἀνθρώπων ὡς ἀνθρώπων· ἂν δὲ δὲν διαμένῃ ἡ φύσις τῶν ἀνθρώπων, ματαίως ἔχει προσαρμοσθῇ ἡ ψυχὴ μὲ τὰς ἀνάγκας καὶ τὰ πάθη τοῦ σώματος, ματαίως ἔχει ἐμποδισθῇ τὸ σῶμα ἀπὸ τὴν ἐπίτευξιν τῶν ποθουμένων, ὑπεῖκον καὶ χαλιναγωγούμενον ἀπὸ τοὺς χαλινοὺς τῆς ψυχῆς, μάταιος εἶναι ὁ νοῦς, ματαία ἡ φρόνησις, ἡ τήρησις τῆς δικαιοσύνης, ἡ ἄσκησις πάσης ἀρετῆς, ὁ ὁρισμὸς καὶ ἡ διάταξις τῶν νόμων, καὶ ἐν συντομίᾳ πᾶν ὅ,τι εἶναι καλὸν μεταξὺ τῶν ἀνθρώπων καὶ διὰ τοὺς ἀν-

*σίς τε καὶ φύσις. Εἰ δὲ πάντων καὶ πανταχόθεν ἀπελήλαται τῶν ἔργων τοῦ Θεοῦ καὶ τῶν ὑπ' ἐκείνου διδομένων δωρεῶν τὸ μάταιον, δεῖ πάντως τῷ τῆς ψυχῆς ἀτελευτήτῳ συνδιαιωνίζειν τὴν τοῦ σώματος διαμονὴν κατὰ τὴν οἰκείαν φύσιν.*

16 *Ξενιζέσθω δὲ μηδεὶς εἰ τὴν θανάτῳ καὶ φθορᾷ διακοπτομένην ζωὴν ὀνομάζομεν διαμονήν, λογιζόμενος ὡς οὐχ εἷς τοῦ προσρήματος ὁ λόγος, οὐχ ἓν τῆς διαμονῆς τὸ μέτρον, ὅτι μηδὲ τῶν διαμενόντων φύσις μία. Εἴπερ γὰρ κατὰ τὴν οἰκείαν φύσιν ἕκαστον τῶν διαμενόντων ἔχει τὴν διαμονήν, οὔτ' ἐπὶ τῶν καθαρῶς ἀφθάρτων καὶ ἀθανάτων εὕροι τις ἂν ἰσάζουσαν τὴν διαμονήν, τῷ μηδὲ τὰς οὐσίας τῶν κρειττόνων συνεξισοῦσθαι ταῖς καθ' ὑπόβασιν διαφερούσαις, οὔτ' ἐπὶ τῶν ἀνθρώπων τὴν ὁμαλὴν ἐκείνην καὶ ἀμετάβλητον ἐπιζητεῖν ἄξιον, ἅτε δὴ τῶν μὲν ἐξ ἀρχῆς γενομένων ἀθανάτων καὶ διαμενόντων μόνῃ τῇ γνώμῃ τοῦ ποιήσαντος ἀτελευτήτως, τῶν δὲ ἀνθρώπων κατὰ μὲν τὴν ψυχὴν ἀπὸ γενέσεως ἐχόντων τὴν ἀμετάβλητον διαμονήν, κατὰ δὲ τὸ σῶμα προσλαμβανόντων ἐκ μεταβολῆς τὴν ἀφθαρσίαν· ὅπερ ὁ τῆς ἀναστάσεως βούλεται λόγος, πρὸς ἣν ἀποβλέποντες τήν τε διάλυσιν τοῦ σώματος ὡς ἑπομένην τῇ μετ' ἐνδείας καὶ φθορᾶς ζωῇ περιμένομεν καὶ μετὰ ταύτην τὴν μετ' ἀφθαρσίας ἐλπίζομεν διαμονήν, οὔτε τῇ τῶν ἀλόγων τελευτῇ συνεξισοῦντες τὴν ἡμετέραν τελευτὴν οὔτε τῇ τῶν ἀθανάτων διαμονῇ τὴν τῶν ἀνθρώπων διαμονήν, ἵνα μὴ λάθωμεν ταύτῃ συνεξισοῦντες καὶ τὴν τῶν ἀνθρώπων φύσιν καὶ ζωὴν οἷς μὴ προσῆκεν.*

*Οὐ τοίνυν ἐπὶ τούτῳ δυσχεραίνειν ἄξιον, εἴ τις ἀνωμαλία θεωρεῖται περὶ τὴν τῶν ἀνθρώπων διαμονήν, οὐδ' ἐπειδὴ χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος καὶ μερῶν καὶ μορίων διάλυσις τὴν συνεχῆ διακόπτει ζωήν, διὰ τοῦτ' ἀπογινώσκειν χρὴ τὴν*

28 καὶ *προστίθ. X*

θρώπους, μᾶλλον δὲ καὶ ἡ ἰδία ἡ γένεσις καὶ φύσις τῶν ἀνθρώπων. Ἐὰν δὲ τὸ μάταιον εἶναι μακρὰν γενικῶς ἀπὸ ὅλα τὰ ἔργα τοῦ Θεοῦ καὶ τῶν ὑπ' ἐκείνων διδομένων δωρεῶν, πρέπει πάντως μαζὶ μὲ τὸ ἀτελεύτητον τῆς ψυχῆς νὰ εἶναι αἰωνία καὶ ἡ διαμονὴ τῆς ψυχῆς κατὰ τὴν οἰκείαν φύσιν.

16 Νὰ μὴ παραξενεύεται δὲ κανείς, ἂν τὴν ζωὴν ἡ ὁποία διακόπτεται ἀπὸ θάνατον καὶ φθορὰν ὀνομάζομεν διαμονήν, ἀναλογιζόμενος ὅτι δὲν εἶναι μία ἡ ἔννοια τῆς λέξεως καὶ ἓν τὸ μέτρον τῆς διαμονῆς, διότι οὔτε τὰ διαμένοντα ἔχουν μίαν φύσιν. Πράγματι ἐὰν ἕκαστον ἀπὸ τὰ διαμένοντα ἔχῃ διαμονὴν σύμφωνον μὲ τὴν φύσιν του, οὔτε τὰ καθαρῶς ἄφθαρτα καὶ ἀθάνατα θὰ εὕρισκε κανεὶς νὰ ἔχουν ἴσην διαμονήν, ἀφοῦ αἱ οὐσίαι τῶν ἀνωτέρων δὲν εἶνα ἴσαι μὲ τὰς οὐσίας κατωτέρου ἐπιπέδου, οὔτε εἰς τὴν περίπτωσιν τῶν ἀνθρώπων εἶναι δίκαιον νὰ ἐπιζητῆ κανεὶς τὴν ἴσην καὶ ἀδιαφοροποίητον διαμονήν, καθ' ὅσον τὰ ἀνώτερα ὄντα ἔγιναν ἐξ ἀρχῆς ἀθάνατα καὶ διαμένουν ἀτελευτήτως μὲ μόνην τὴν γνώμην τοῦ ποιητοῦ, ἐνῷ οἱ ἄνθρωποι κατὰ μὲν τὴν ψυχὴν ἔχουν τὴν ἀμετάβλητον διαμονὴν ἀπὸ τὴν γένεσιν, κατὰ δὲ τὸ σῶμα προσλαμβάνουν τὴν ἀφθαρσίαν ἐκ μεταβολῆς. Τοῦτο ἀκριβῶς θέλει νὰ παρουσιάσῃ ἡ διαπραγμάτευσις περὶ ἀναστάσεως, πρὸς τὴν ὁποίαν ἀποβλέποντες περιμένομεν τὴν διάλυσιν τοῦ σώματος ὡς συνέπειαν τῆς ζωῆς μὲ ἔνδειαν καὶ φθορὰν καὶ μετ' αὐτὴν ἐλπίζομεν τὴν διαμονὴν μὲ ἀφθαρσίαν, χωρὶς νὰ ἐξισώνωμεν τὸν θάνατον ἡμῶν μὲ τὸν θάνατον τῶν ἀλόγων οὔτε τὴν διαμονὴν τῶν ἀνθρώπων μὲ τὴν διαμονὴν τῶν ἀθανάτων, διὰ νὰ μὴ ἐξισώσωμεν οὕτω ἀσυνειδήτως καὶ τὴν φύσιν καὶ ζωὴν τῶν ἀνθρώπων μὲ πράγματα τὰ ὁποῖα δὲν ἐπιδέχονται σύγκρισιν.

Δὲν ἀξίζει λοιπὸν νὰ ἐνοχλούμεθα ἀπὸ τὸ ὅτι παρατηρεῖται κάποτε ἀνισότης εἰς τὴν διαμονὴν τῶν ἀνθρώπων, οὔτε, ἐπειδὴ τὴν συνέχειαν τῆς ζωῆς διακόπτει χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος καὶ διάλυσις μερῶν καὶ μορίων, πρέπει διὰ τοῦτο νὰ ἀπορρίπτωμεν τὴν ἀνάστασιν. Διότι οὔτε, ἐπειδὴ αἱ φυσικῶς

*ἀνάστασιν. Οὐδὲ γὰρ ἐπειδὴ τὴν κατὰ συναίσθησιν ζωὴν διακόπτειν δοκοῦσιν αἱ κατὰ τὸν ὕπνον φυσικῶς ἐγγινόμεναι παρέσεις τῶν αἰσθήσεων καὶ τῶν φυσικῶν δυνάμεων, ἰσομέτροις χρόνου διαστήμασιν ὑπνούντων τῶν ἀνθρώπων καὶ τρόπον τινὰ πάλιν ἀναβιωσκόντων, τὴν αὐτὴν παραιτούμεθα λέγειν ζωήν· παρ' ἣν αἰτίαν, οἶμαι, τινὲς ἀδελφὸν τοῦ θανάτου τὸν ὕπνον ὀνομάζουσιν, οὐχ ὡς ἐκ τῶν αὐτῶν προγόνων ἢ πατέρων φύντας γενεαλογοῦντες, ἀλλ' ὡς τῶν ὁμοίων παθῶν τοῖς τε θανοῦσι καὶ τοῖς ὑπνοῦσιν ἐγγινομένων, ἕνεκά γε τῆς ἠρεμίας καὶ τοῦ μηδενὸς ἐπαισθάνεσθαι τῶν παρόντων ἢ γινομένων, μᾶλλον δὲ μηδὲ τοῦ εἶναι καὶ τῆς ἰδίας ζωῆς· εἴπερ οὖν τὴν τῶν ἀνθρώπων ζωὴν τοσαύτης γέμουσαν ἀνωμαλίας ἀπὸ γενέσεως μέχρι διαλύσεως καὶ διακοπτομένην πᾶσιν οἷς προείπομεν, οὐ παραιτούμεθα τὴν αὐτὴν λέγειν ζωήν, οὐδὲ τὴν ἐπέκεινα τῆς διαλύσεως ζωήν, ἥτις ἑαυτῇ συνεισάγει τὴν ἀνάστασιν, ἀπογινώσκειν ὀφείλομεν, κἂν ἐπὶ ποσὸν διακόπτηται τῷ χωρισμῷ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος.*

17 *Αὕτη γὰρ τῶν ἀνθρώπων ἡ φύσις ἄνωθεν καὶ κατὰ γνώμην τοῦ ποιήσαντος συγκεκληρωμένην ἔχουσα τὴν ἀνωμαλίαν, ἀνώμαλον ἔχει τὴν ζωὴν καὶ τὴν διαμονήν, ποτὲ μὲν ὕπνῳ ποτὲ δὲ θανάτῳ διακοπτομένην καὶ ταῖς καθ' ἑκάστην ἡλικίαν μεταβολαῖς, οὐκ ἐμφαινομένων ἐναργῶς τοῖς πρώτοις τῶν ὕστερον ἐπιγινομένων. Ἢ τίς ἂν ἐπίστευσε μὴ τῇ πείρᾳ δεδιδαγμένος, ἐν ὁμοιομερεῖ καὶ ἀδιαπλάστῳ τῷ σπέρματι τοσούτων καὶ τηλικούτων ἀποκεῖσθαι δυνάμεων πλῆθος, ἢ τοσαύτην ἐπισυνισταμένων καὶ πηγνυμένων ὄγκων διαφοράν, ὀστέων φημὶ καὶ νεύρων καὶ χόνδρων, ἔτι δὲ μυῶν καὶ σαρκῶν καὶ σπλάγχνων καὶ τῶν λοιπῶν τοῦ σώματος μερῶν; Οὔτε γὰρ ἐν ὑγροῖς ἔτι τοῖς σπέρμασι τούτων ἔστιν ἰδεῖν οὐδὲν οὔτε μὴν τοῖς νηπίοις*

25 πλῆθος *προστίθ. X*
25 ἢ *X* ἡ *Π*

παραγόμεναι κατὰ τὸν ὕπνον χαλαρώσεις τῶν αἰσθήσεων καὶ τῶν φυσικῶν δυνάμεων φαίνεται νὰ διακόπτουν τὴν ἐνσυνείδητον ζωήν, ὅταν οἱ ἄνθρωποι κατὰ ἰσόμετρα διαστήματα κοιμοῦνται καὶ κατὰ κάποιον τρόπον ἀναβιώνουν, ἀρνούμεθα νὰ λέγωμεν ὅτι πρόκειται περὶ τῆς ἰδίας ζωῆς. Διά τὴν αἰτίαν αὐτήν, νομίζω, ὀνομάζουν μερικοὶ τὸν ὕπνον ἀδελφὸν τοῦ θανάτου[14], ὄχι διότι τοὺς γενεαλογοῦν ὡς προερχομένους ἀπὸ τοὺς ἰδίους προγόνους ἢ πατέρας, ἀλλὰ διότι εἰς τοὺς ἀποθανόντας καὶ τοὺς κοιμωμένους προκαλοῦνται τὰ ἴδια πάθη, λόγω τῆς ἠρεμίας καὶ τῆς ἀναισθησίας περὶ τῶν παρόντων καὶ τῶν γινομένων, μᾶλλον δὲ καὶ περὶ τῆς ὑπάρξεως καὶ ζωῆς των. Ἐὰν λοιπὸν τὴν ζωὴν τῶν ἀνθρώπων δὲν ἀρνούμεθα νὰ χαρακτηρίζωμεν ὡς ἑνιαίαν ζωήν, ἂν καὶ εἶναι γεμάτη ἀπὸ ἀνωμαλίας ἀπὸ τῆς γενέσεως μέχρι διαλύσεως καὶ διακόπτεται ἀπὸ ὅλα ὅσα εἴπομεν προηγουμένως, τότε οὔτε τὴν πέραν τῆς διαλύσεως ζωήν, ἡ ὁποία συνεισάγει εἰς ἑαυτὴν τὴν ἀνάστασιν, δὲν πρέπει νὰ ἀπορρίπτωμεν, μολονότι ἐπὶ ἓν διάστημα διακόπτεται μὲ τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τὸ σῶμα.

17 Πράγματι ἡ ἀνθρωπίνη αὐτὴ φύσις, ἔχουσα σύμφυτον τὴν ἀνωμαλίαν ἀπὸ τὴν ἀρχὴν καὶ κατὰ γνώμην τοῦ ποιητοῦ, ἔχει ἀνώμαλον τὴν ζωὴν καὶ τὴν διαμονήν, διακοπτομένην ἄλλοτε ἀπὸ ὕπνον ἄλλοτε ἀπὸ θάνατον καὶ ἀπὸ τὰς κατὰ ἡλικίαν μεταβολάς, τῶν ὁποίων αἱ συμβαίνουσαι ὕστερον δὲν διακρίνονται καθαρῶς κατὰ τὴν διάρκειαν τῶν πρώτων. Πράγματι ποῖος θὰ ἠδύνατο νὰ πιστεύσῃ ἐὰν δὲν εἶχε διδαχθῆ ἀπὸ τὴν πεῖραν, ὅτι εἰς τὸ ὁμοιομερὲς καὶ ἀδιάπλαστον σπέρμα ἀπέκειτο πλῆθος τόσον πολλῶν καὶ μεγάλων δυνάμεων ἢ τόση ποικιλία ἐπισωρευομένων καὶ συναρμολογουμένων ἱστῶν, δηλαδὴ ὀστῶν, νεύρων, χόνδρων, προσέτι δὲ μυῶν, σαρκῶν, σπλάγχνων καὶ λοιπῶν μερῶν τοῦ σώματος; Εἶναι ἀδύνατον νὰ ἴδῃ κάτι ἀπὸ αὐτὰ ὅταν τὰ σπέρματα εἶναι ἀκόμη ὑγρὰ καὶ εἰς τὰ νήπια δὲν φαίνεται κάποια ἀπὸ τὰς ἰδιότητας τῶν ὡρίμων ἢ εἰς τὴν ἡλικίαν τῶν

14. Τὴν ἰδίαν σημείωσιν βλ εἰς *Πρεσβείαν* 12.

*ἐμφαίνεταί τι τῶν τοῖς τελείοις ἐπιγινομένων ἢ τῇ τῶν τελείων ἡλικίᾳ τὰ τῶν παρηβηκότων ἢ τούτοις τὰ τῶν γεγηρακότων.*

*Ἀλλὰ δὴ καίτοι τῶν εἰρημένων τινῶν μὲν οὐδ' ὅλως τινῶν δὲ ἀμυδρῶς ἐμφαινόντων τὴν φυσικὴν ἀκολουθίαν καὶ τὰς τῇ φύσει τῶν ἀνθρώπων ἐπιγινομένας μεταβολάς, ὅμως ἴσασιν ὅσοι μὴ τυφλώττουσιν ὑπὸ κακίας ἢ ῥαθυμίας περὶ τὴν τούτων κρίσιν, ὅτι δεῖ πρῶτον μὲν γενέσθαι τῶν σπερμάτων καταβολήν, διαρθρωθέντων δὲ τούτων καθ' ἕκαστον μέρος καὶ μόριον καὶ προελθόντων εἰς φῶς τῶν κυηθέντων ἐπιγίνεται μὲν ἡ κατὰ τὴν πρώτην ἡλικίαν αὔξησις ἥ τε κατ' αὔξησιν τελείωσις, τελειωθέντων δὲ ὕφεσις τῶν φυσικῶν δυνάμεων μέχρι γήρως, εἶτα πεπονηκότων τῶν σωμάτων ἡ διάλυσις. Ὥσπερ οὖν ἐπὶ τούτων, οὔτε τοῦ σπέρματος ἐγγεγραμμένην ἔχοντος τὴν τῶν ἀνθρώπων φυὴν ἢ μορφὴν οὔτε τῆς ζωῆς τὴν εἰς τὰς πρώτας ἀρχὰς διάλυσιν, ὁ τῶν φυσικῶς γινομένων εἱρμὸς παρέχει τὴν πίστιν τοῖς οὐκ ἐξ αὐτῶν τῶν φαινομένων ἔχουσι τὸ πιστόν, πολὺ μᾶλλον ὁ λόγος ἐκ τῆς φυσικῆς ἀκολουθίας ἀνιχνεύων τὴν ἀλήθειαν πιστοῦται τὴν ἀνάστασιν, ἀσφαλέστερος ὢν καὶ κρείττων τῆς πείρας πρὸς πίστωσιν ἀληθείας.*

## *ΕΠΙΧΕΙΡΗΜΑ ΕΚ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ*

18 *Τῶν πρῴην ἡμῖν εἰς ἐξέτασιν προτεθέντων λόγων καὶ τὴν ἀνάστασιν πιστουμένων πάντες μέν εἰσιν ὁμογενεῖς, ὡς ἐκ τῆς αὐτῆς φύντες ἀρχῆς· ἀρχὴ γὰρ αὐτοῖς ἡ τῶν πρώτων ἀνθρώπων ἐκ δημιουργίας γένεσις· ἀλλ' οἱ μὲν ἐξ αὐτῆς κρατύνονται τῆς πρώτης ἀρχῆς ἐξ ἧσπερ ἔφυσαν, οἱ δὲ παρεπόμενοι τῇ τε φύσει καὶ τῷ βίῳ τῶν ἀνθρώπων ἐκ τῆς τοῦ Θεοῦ περὶ ἡμᾶς προνοίας λαμβάνουσιν τὴν πίστιν· ἡ μὲν γὰρ αἰτία, καθ' ἣν καὶ*

ὡρίμων κάποια ἀπὸ τὰς ἰδιότητας τῶν παρηλίκων ἢ εἰς αὐτοὺς κάποια ἀπὸ τὰς ἰδιότητας τῶν γερόντων.

Ἀλλὰ βεβαίως, μολονότι μερικὰ ἀπὸ τὰ λεχθέντα στάδια οὐδόλως μερικὰ δὲ ἀμυδρῶς ἐμφαίνουν τὴν φυσικὴν ἀκολουθίαν καὶ τὰς ἐπερχομένας εἰς τὴν φύσιν τῶν ἀνθρώπων μεταβολάς, ὅμως ὅσοι δὲν εἶναι τυφλοὶ ἀπὸ κακίαν ἢ ραθυμίαν εἰς τὴν κρίσιν διὰ τὰ πράγματα ταῦτα γνωρίζουν ὅτι πρέπει πρῶτον μὲν νὰ γίνῃ ἡ καταβολὴ τῶν σπερμάτων, ὅταν δὲ ταῦτα διαρθρωθοῦν κατὰ μέρος καὶ μόριον καὶ ἔλθουν εἰς φῶς τὰ κυοφορούμενα, πραγματοποιεῖται ἡ κατὰ τὴν πρώτην ἡλικίαν αὔξησις καὶ κατ' ὀλίγον ἡ ὡρίμανσις, μετὰ δὲ τὴν ὡρίμανσιν ἡ ὕφεσις τῶν φυσικῶν δυνάμεων μέχρι γήρατος, ἔπειτα διὰ τῆς ἐξαντλήσεως τῶν σωμάτων ἡ διάλυσις. Καθὼς λοιπὸν ἐπ' αὐτῶν τῶν καταστάσεων, ἐνῶ οὔτε τὸ σπέρμα ἔχει ἐγγεγραμμένην τὴν δομὴν καὶ τὴν μορφὴν τῶν ἀνθρώπων οὔτε ἡ ζωὴ τὴν διάλυσιν εἰς τὰ πρῶτα συστατικά, ὁ εἱρμὸς τῶν φυσικῶς γινομένων παρέχει τὴν ἀξιοπιστίαν εἰς ὅσα πράγματα δὲν ἔχουν τὸ ἀξιόπιστον ἀπὸ αὐτὰ τὰ φαινόμενα, πολὺ περισσότερον κατοχυρώνει τὴν ἀνάστασιν ὁ λόγος ἀνιχνεύων τὴν ἀλήθειαν ἐκ τῆς φυσικῆς ἀκολουθίας τῶν γεγονότων, διότι οὗτος εἶναι βεβαιότερος καὶ ἀνώτερος ἀπὸ τὴν πεῖραν εἰς τὴν ἐγγύησιν τῆς ἀληθείας.

## ΕΠΙΧΕΙΡΗΜΑ ΕΚ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ

Ὅλα τὰ προηγουμένως προταθέντα πρὸς ἐξέτασιν ἐπιχειρήματα διὰ τὴν ἐπιβεβαίωσιν τῆς ἀναστάσεως εἶναι ὁμογενῆ, ὡς προερχόμενα ἀπὸ τὴν ἰδίαν ἀρχήν· διότι ἀρχὴ αὐτῶν εἶναι ἡ γένεσις τῶν πρώτων ἀνθρώπων διὰ δημιουργίας. Ἀλλὰ μερικὰ μὲν ἐπιχειρήματα λαμβάνουν δύναμιν ἀπὸ τὴν πρώτην ἀρχὴν ἀπὸ τὴν ὁποίαν προέρχονται, ἐνῶ τὰ ἄλλα λαμβάνουν τὴν πειστικότητα ἀπὸ τὴν πρόνοιαν τοῦ Θεοῦ δι' ἡμᾶς, διότι στηρίζονται εἰς τὴν φύσιν καὶ τὸν βίον τῶν ἀνθρώπων. Διότι ἡ μὲν αἰτία

*δι' ἣν γεγόνασιν ἄνθρωποι, συνεζευγμένη τῇ φύσει τῶν ἀνθρώπων, ἐκ δημιουργίας ἔχει τὴν ἰσχύν, ὁ δὲ τῆς δικαιοσύνης λόγος, καθ' ὃν κρίνει Θεὸς τοὺς εὖ ἢ κακῶς βεβιωκότας ἀνθρώπους, ἐκ τοῦ τούτων τέλους· φύονται μὲν γὰρ ἐκεῖθεν, ἤρτηνται δὲ μᾶλλον τῆς προνοίας.*

*Δεδειγμένων δὲ ἡμῖν τῶν πρώτων ὡς οἷόν τε, καλῶς ἂν ἔχοι καὶ διὰ τῶν ὑστέρων δεῖξαι τὸ προκείμενον, λέγω δὲ διὰ τῆς ὀφειλομένης ἑκάστῳ τῶν ἀνθρώπων κατὰ δικαίαν κρίσιν τιμῆς ἢ δίκης καὶ τοῦ κατὰ τὸν ἀνθρώπινον βίον τέλους, αὐτῶν δὲ τούτων προτάξαι τὸν κατὰ φύσιν ἡγούμενον καὶ πρῶτόν γε διασκέψασθαι τὸν περὶ τῆς κρίσεως λόγον, τοσοῦτον μόνον ὑπειπόντας φροντίδι τῆς προσηκούσης τοῖς προκειμένοις ἀρχῆς καὶ τάξεως ὅτι δεῖ τοὺς ποιητὴν τὸν Θεὸν τοῦδε τοῦ παντὸς παραδεξαμένους τῇ τούτου σοφίᾳ καὶ δικαιοσύνῃ τὴν τῶν γενομένων ἁπάντων ἀνατιθέναι φυλακήν τε καὶ πρόνοιαν, εἴ γε ταῖς ἰδίαις ἀρχαῖς παραμένειν ἐθέλοιεν, ταῦτα δὲ περὶ τούτων φρονοῦντας μηδὲν ἡγεῖσθαι μήτε τῶν κατὰ γῆν μήτε τῶν κατ' οὐρανὸν ἀνεπιτρόπευτον μηδ' ἀπρονόητον, ἀλλ' ἐπὶ πᾶν ἀφανὲς ὁμοίως καὶ φαινόμενον μικρόν τε καὶ μεῖζον διήκουσαν γινώσκειν τὴν παρὰ τοῦ ποιήσαντος ἐπιμέλειαν. Δεῖται γὰρ πάντα τὰ γενόμενα τῆς παρὰ τοῦ ποιήσαντος ἐπιμελείας, ἰδίως δὲ ἕκαστον καθ' ὃ πέφυκε καὶ πρὸς ὃ πέφυκεν· ἀχρείῳ γὰρ οἶμαι φιλοτιμίας τὸ κατὰ γένη διαιρεῖν νῦν ἢ τὸ πρόσφορον ἑκάστῃ φύσει καταλέγειν ἐθέλειν.*

*Ὅ γε μὴν ἄνθρωπος, περὶ οὗ νῦν πρόκειται λέγειν, ὡς μὲν ἐνδεὴς δεῖται τροφῆς, ὡς δὲ θνητὸς διαδοχῆς, ὡς δὲ λογικὸς δίκης. Εἰ δὲ τῶν εἰρημένων ἕκαστόν ἐστιν ἀνθρώπῳ κατὰ φύσιν καὶ δεῖται μὲν τροφῆς διὰ τὴν ζωήν, δεῖται δὲ διαδοχῆς διὰ τὴν τοῦ γένους διαμονήν, δεῖται δὲ δίκης διὰ τὸ τῆς τροφῆς καὶ τῆς διαδοχῆς ἔννομον, ἀνάγκη δήπου, τῆς τροφῆς καὶ τῆς*

κατὰ τὴν ὁποίαν καὶ διὰ τὴν ὁποίαν ἔχουν γίνει οἱ ἄνθρωποι, συνδεδεμένη μὲ τὴν φύσιν τῶν ἀνθρώπων, ἔχει τὴν ἰσχὺν ἀπὸ τὴν δημιουργίαν, τὸ δὲ ἐπιχείρημα ἐκ τῆς δικαιοσύνης, κατὰ τὸ ὁποῖον ὁ Θεὸς κρίνει τοὺς καλῶς ἢ κακῶς διαβιώσαντας ἀνθρώπους, ἔχει τὴν ἰσχὺν ἀπὸ τὸ τέλος των· διότι οὗτοι φυτρώνουν μὲν ἀπὸ ἐκεῖ, ἐξαρτῶνται δὲ μᾶλλον ἀπὸ τὴν πρόνοιαν.

Ἀφοῦ δὲ ἐξεθέσαμεν κατὰ τὸ δυνατὸν τὰ πρῶτα, καλὸν θὰ ἦτο νὰ κατοχυρώσωμεν τὸ θέμα καὶ διὰ τῶν δευτέρων, ἐννοῶ διὰ τῆς ὀφειλομένης εἰς ἕκαστον ἄνθρωπον ἀμοιβῆς ἢ τιμωρίας κατὰ δικαίαν κρίσιν καὶ διὰ τοῦ τέλους τοῦ ἀνθρωπίνου βίου. Πρέπει νὰ προτάξωμεν ἀπὸ αὐτὰ τὸ φυσικῶς προηγούμενον, καὶ νὰ ἐξετάσωμεν πρῶτον τὸ ἐπιχείρημα περὶ τῆς κρίσεως, λέγοντες προκαταρκτικῶς τόσον μόνον χάριν φροντίδος διὰ τὴν προσήκουσαν ἀρχὴν καὶ τάξιν τοῦ παρόντος θέματος, ὅτι οἱ παραδεχόμενοι τὸν Θεὸν ὡς ποιητὴν τοῦ σύμπαντος πρέπει νὰ ἀναθέτουν τὴν φύλαξιν καὶ πρόνοιαν ὅλων τῶν κτισμάτων εἰς τὴν σοφίαν καὶ δικαιοσύνην τούτου, ἐὰν θέλουν νὰ παραμένουν πιστοὶ εἰς τὰς ἀρχάς των, φρονοῦντες δὲ περὶ τούτων ταῦτα, νὰ μὴ νομίζουν ὅτι ὑπάρχει τίποτε ἀνεπιτρόπευτον καὶ ἀπρονόητον εἴτε τῶν ἐπὶ τῆς γῆς εἴτε τῶν εἰς τὸν οὐρανὸν ἀντικειμένων, ἀλλὰ νὰ ἀναγνωρίζωμεν ὅτι ἀδιακρίτως εἰς πᾶν ἀφανὲς καὶ φαινόμενον, μικρὸν καὶ μέγα, διήκει ἡ ἐπιμέλεια τοῦ ποιητοῦ. Διότι ὅλα τὰ κτίσματα χρειάζονται τὴν ἐπιμέλειαν τοῦ ποιητοῦ, ἕκαστον ἀτομικῶς κατὰ τὴν φύσιν καὶ τὸν προορισμόν του· θεωρῶ πάντως ἄχρηστον ἐπίδειξιν τὸ νὰ θέλω τώρα νὰ διαιρέσω τὰ κτίσματα κατὰ γένη ἢ νὰ παρουσιάσω κατάλογον τῶν καταλλήλων εἰς ἑκάστην φύσιν.

Ὁ ἄνθρωπος πάντως, περὶ τοῦ ὁποίου πρόκειται νὰ γίνῃ λόγος, ὡς ἐνδεὴς χρειάζεται τροφήν, ὡς θνητὸς δὲ διαδοχήν, καὶ ὡς λογικὸς δικαιοσύνην. Ἐὰν δὲ ἕκαστον τῶν λεχθέντων ἀνήκει εἰς τὸν ἄνθρωπον κατὰ φύσιν καὶ οὗτος χρειάζεται τροφὴν διὰ τὴν ζωήν, χρειάζεται διαδοχὴν διὰ τὴν διαμονὴν τοῦ γένους, χρειάζεται δικαιοσύνην διὰ τὸ ἔννομον τῆς τροφῆς καὶ τῆς διαδοχῆς, εἶναι ὁπωσδήποτε ἀνάγκη, ἐφ' ὅσον ἡ τροφὴ καὶ

διαδοχῆς ἐπὶ τὸ συναμφότερον φερομένης, ἐπὶ τοῦτο φέρεσθαι καὶ τὴν δίκην, λέγω δὲ συναμφότερον τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον, καὶ τὸν τοιοῦτον ἄνθρωπον γίνεσθαι πάντων τῶν πεπραγμένων ὑπόδικον τήν τε ἐπὶ τούτοις δέχεσθαι τιμὴν ἢ τιμωρίαν. Εἰ δὲ κατὰ τοῦ συναμφοτέρου φέρει τὴν ἐπὶ τοῖς εἰργασμένοις δίκην ἡ δικαία κρίσις καὶ μήτε τὴν ψυχὴν μόνην δεῖ κομίσασθαι τὰ ἐπίχειρα τῶν μετὰ τοῦ σώματος εἰργασμένων (ἀπροσπαθὴς γὰρ αὕτη καθ' ἑαυτὴν τῶν περὶ τὰς σωματικὰς ἡδονὰς ἢ τροφὰς καὶ θεραπείας γινομένων πλημμελημάτων) μήτε τὸ σῶμα μόνον (ἄκριτον γὰρ τοῦτο καθ' ἑαυτὸ νόμου καὶ δίκης), ὁ δὲ ἐκ τούτων ἄνθρωπος τὴν ἐφ' ἑκάστῳ τῶν εἰργασμένων αὐτῷ δέχεται κρίσιν. Τοῦτο δὲ οὔτε κατὰ τήνδε τὴν ζωὴν εὑρίσκει συμβαῖνον ὁ λόγος (οὐ γὰρ σώζεται τὸ κατ' ἀξίαν ἐν τῷ παρόντι βίῳ διὰ τὸ πολλοὺς μὲν ἀθέους καὶ πᾶσαν ἀνομίαν καὶ κακίαν ἐπιτηδεύοντας μέχρι τελευτῆς διατελεῖν κακῶν ἀπειράτους καὶ τοὐναντίον τοὺς κατὰ πᾶσαν ἀρετὴν ἐξητασμένον τὸν ἑαυτῶν βίον ἐπιδειξαμένους ἐν ὀδύναις ζῆν, ἐν ἐπηρείαις, ἐν συκοφαντίαις, αἰκίαις τε καὶ παντίαις κακοπαθείαις) οὔτε δὲ μετὰ θάνατον (οὐδὲ γὰρ ἔστιν ἔτι τὸ συναμφότερον χωριζομένης μὲν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, σκεδαννυμένου δὲ καὶ αὐτοῦ τοῦ σώματος εἰς ἐκεῖνα πάλιν ἐξ ὧν συνεφορήθη καὶ μηδὲν ἔτι σώζοντος τῆς προτέρας φυῆς ἢ μορφῆς, ἤ πού γε τὴν μνήμην τῶν πεπραγμένων), εὔδηλον παντὶ τὸ λειπόμενον, ὅτι δεῖ, κατὰ τὸν ἀπόστολον, τὸ φθαρτὸν τοῦτο καὶ σκεδαστὸν ἐνδύσασθαι ἀφθαρσίαν, ἵνα ζωοποιηθέντων ἐξ ἀναστάσεως τῶν νεκρωθέντων καὶ πάλιν ἑνωθέντων τῶν κεχωρισμένων ἢ καὶ πάντη διαλελυμένων, ἕκαστος κομίσηται δικαίως ἃ διὰ τοῦ σώματος ἔπραξεν εἴτε ἀγαθὰ εἴτε κακά.

19 Πρὸς μὲν οὖν τοὺς ὁμολογοῦντας τὴν πρόνοιαν καὶ τὰς αὐτὰς ἡμῖν παραδεξαμένους ἀρχάς, εἶτα τῶν οἰκείων ὑποθέσεων

ἡ διαδοχὴ ἀναφέρονται εἰς τὸν σύνολον ἄνθρωπον, εἰς τοῦτον νὰ ἀναφέρεται καὶ ἡ δικαιοσύνη, δηλαδὴ εἰς τὸν ἐκ ψυχῆς καὶ σώματος ἀποτελούμενον ἄνθρωπον, καὶ ὁ τοιοῦτος ἄνθρωπος νά γίνεται ὑπεύθυνος δι' ὅλας τὰς πράξεις καὶ νὰ δέχεται τὴν δι' αὐτὰς ἀμοιβὴν ἢ τιμωρίαν. Ἐὰν δὲ ἡ δικαία κρίσις φέρει τὴν δικαιοσύνην διὰ τὰς πράξεις ἐναντίον καὶ τῶν δύο καὶ δὲν πρέπει οὔτε ἡ ψυχὴ νὰ ἀποκομίση μόνη τὴν ἀμοιβὴν δι' ὅσα ἔγιναν μαζὶ μὲ τὸ σῶμα (διότι αὕτη καθ' ἑαυτὴν εἶναι ἀμέτοχος εἰς τὰ πλημμελήματα τὰ ὁποῖα γίνονται γῦρω ἀπὸ τὰς σωματικὰς ἡδονὰς ἢ τὰς τροφὰς καὶ τὰς ὑπηρεσίας), οὔτε τὸ σῶμα μόνον (διότι τοῦτο καθ' ἑαυτὸ δὲν ἔχει συνείδησιν περὶ νόμου καὶ διακαιοσύνης), ὁ δὲ ἐκ τῶν δύο συνιστάμενος ἄνθρωπος δέχεται εἰς ἑαυτὸν τὴν κρίσιν δι' ἑκάστην πρᾶξιν, ἡ δὲ διερεύνησις δὲν εὑρίσκει νὰ συμβαίνη τοῦτο οὔτε κατὰ τὴν παροῦσαν ζωὴν (διότι δὲν παρατηρεῖται κατ' ἀξίαν ἀπόδοσις εἰς τὸν παρόντα βίον, ἐφ' ὅσον πολλοὶ ἄθεοι καὶ ἐργάται πάσης ἀνομίας καὶ κακίας φθάνουν μέχρι τέλους τοῦ βίου χωρὶς νὰ δοκιμάσουν κακὸν καὶ ἀντιθέτως οἱ ἔχοντες ἐπιδείξει τὴν διαγωγήν των βεβαιωμένως ἐνάρετον ζοῦν μὲ πόνους, ὕβρεις, συκοφαντίας, κακώσεις καὶ παντὸς εἴδους κακοτυχίας), οὔτε μετὰ θάνατον (διότι δὲν ὑπάρχει τὸ σύνολον ὅταν χωρισθῆ ἡ ψυχὴ ἀπὸ τὸ σῶμα, διαλυθῆ δὲ καὶ αὐτὸ τὸ σῶμα εἰς τὰ ἐξ ὧν συνετέθη καὶ δὲν διατηρῆ πλέον τὴν προηγουμένην δομὴν ἢ μορφήν, ἀσφαλῶς δὲ οὔτε τὴν μνήμην τῶν πράξεων), εἶναι προφανὲς εἰς ὅλους τὸ συμπέρασμα, ὅτι πρέπει, κατὰ τὸν ἀπόστολον, τὸ φθαρτὸν τοῦτο καὶ διαλυτὸν νὰ ἐνδυθῆ τὴν ἀφθαρσίαν[15], οὕτως ὥστε, ἀφοῦ ζωοποιηθοῦν διὰ τῆς ἀναστάσεως τὰ νεκρωθέντα καὶ ἑνωθοῦν πάλιν τὰ χωρισμένα ἢ καὶ ἐντελῶς διαλυμένα, νὰ λάβη ἕκαστος δικαιοσύνην δι' ὅσα ἔπραξε διὰ τοῦ σώματος εἴτε ἀγαθὰ εἴτε κακά.

19 Πρὸς τοὺς ὁμολογοῦντας λοιπὸν τὴν πρόνοιαν καὶ δεχομένους τὰς αὐτὰς μὲ ἡμᾶς ἀρχάς, ἔπειτα δὲ ἐκπίπτοντας ἀπὸ τὰς

15. Α' Κορ. 15,53.

*οὐκ οἶδ' ὅπως ἐκπίπτοντας, τοιούτοις χρήσαιτ' ἄν τις λόγοις καὶ πολλῷ πλείοσι τούτων, εἴ γε πλατύνειν ἐθέλοι τὰ συντόμως καὶ κατ' ἐπιδρομὴν εἰρημένα. Πρὸς δέ γε τοὺς περὶ τῶν πρώτων διαφερομένους ἴσως ἂν ἔχοι καλῶς ἑτέραν ὑποθέσθαι πρὸ τούτων ἀρχήν, συνδιαποροῦντας αὐτοῖς περὶ ὧν δοξάζουσιν καὶ τοιαῦτα συνδιασκεπτομένους· ἆρά γε πάντῃ καθάπαξ ἡ τῶν ἀνθρώπων παρῶπται ζωὴ καὶ σύμπας ὁ βίος, ζόφος δέ τις βαθὺς κατακέχυται τῆς γῆς ἀγνοίᾳ καὶ σιγῇ κρύπτων αὐτούς τε τοὺς ἀνθρώπους καὶ τὰς τούτων πράξεις, ἢ πολὺ τούτων ἀσφαλέστερον τὸ δοξάζειν ὅτι τοῖς ἑαυτοῦ ποιήμασιν ἐφέστηκεν ὁ ποιήσας, πάντων τῶν ὁπωσοῦν ὄντων ἢ γινομένων ἔφορος, ἔργων τε καὶ βουλευμάτων κριτής; εἰ μὲν γὰρ μηδεμία μηδαμοῦ τῶν ἀνθρώποις πεπραγμένων γίνοιτο κρίσις, οὐδὲν ἕξουσι πλεῖον τῶν ἀλόγων ἄνθρωποι· μᾶλλον δὲ κἀκείνων πράξουσιν ἀθλιώτερον οἱ τὰ πάθη δουλαγωγοῦντες καὶ φροντίζοντες εὐσεβείας καὶ δικαιοσύνης ἢ τῆς ἄλλης ἀρετῆς, ὁ δὲ κτηνώδης ἢ θηριώδης βίος ἄριστος, ἀρετὴ δὲ ἀνόητος, δίκης δὲ ἀπειλὴ γέλως πλατύς, τὸ δὲ πᾶσαν θεραπεύειν ἡδονὴν ἀγαθῶν τὸ μέγιστον, δόγμα δὲ κοινὸν τούτων ἁπάντων καὶ νόμος εἷς τὸ τοῖς ἀκολάστοις καὶ λάγνοις φίλον· «φάγωμεν δὲ καὶ πίωμεν, αὔριον γὰρ ἀποθνῄσκομεν». Τοῦ γὰρ τοιούτου βίου τέλος οὐδὲ ἡδονὴ κατά τινας, ἀλλ' ἀναισθησία παντελής.*

*Εἰ δὲ ἔστι τις τῷ ποιήσαντι τοὺς ἀνθρώπους τῶν ἰδίων ποιημάτων φροντὶς καὶ σώζεταί που τῶν εὖ ἢ κακῶς βεβιωμένων ἡ δικαία κρίσις, ἤτοι κατὰ τὸν παρόντα βίον, ζώντων ἔτι τῶν κατ' ἀρετὴν ἢ κακίαν βεβιωκότων ἢ μετὰ θάνατον ἐν*

25 *μετὰ βίον κενὸν Π*

ἀπόψεις των, δὲν γνωρίζω πῶς, τοιαῦτα ἐπιχειρήματα θὰ ἠδύνατο νὰ χρησιμοποιήση κανεὶς καὶ πολὺ περισσότερα ἀπὸ αὐτά, ἐὰν θέλη νὰ διαπλατύνη τὰ συντόμως καὶ ἐπιτόμως λεχθέντα ἐδῶ. Πρὸς ἐκείνους δέ, οἱ ὁποῖοι διαφωνοῦν εἰς τὰς πρώτας ἀρχάς, καλὸν θὰ ἦτο ἴσως νὰ θέσωμεν ἀντ' αὐτῶν μίαν ἄλλην ἀφετηρίαν, συμμετέχοντες εἰς τὰς ἀμφιβολίας τὰς ὁποίας προκαλοῦν αἱ δοξασίαι των καὶ διαλογιζόμενοι μὲ αὐτοὺς ταῦτα περίπου· ἆρά γε ὅλη ἡ ζωὴ καὶ ὅλος ὁ βίος τῶν ἀνθρώπων ἔχει ἐντελῶς παραμεληθῆ ἐφ' ἅπαξ[16], ἔχει δὲ χυθῆ ἐπὶ τῆς γῆς βαθὺ σκότος κρύπτον εἰς τὴν ἄγνοιαν καὶ τὴν σιγὴν τόσον τοὺς ἀνθρώπους ὅσον καὶ τὰς πράξεις αὐτῶν ἢ εἶναι πολὺ βεβαιότερον ἀπὸ αὐτὰ τὸ νὰ πιστεύσωμεν ὅτι ἐπὶ τῶν ποιημάτων του ἐποπτεύει ὁ ποιητής, ἔφορος ὅλων τῶν ὁπωσδήποτε ὄντων καὶ γινομένων, κριτὴς ἔργων καὶ βουλευμάτων; Διότι, ἐὰν δὲν ὑπῆρχε ποτὲ καμμία κρίσις περὶ τῶν πράξεων τῶν ἀνθρώπων, οἱ ἄνθρωποι δὲν θὰ ἔχουν τίποτε περισσότερον ἀπὸ τὰ ἄλογα· μᾶλλον δὲ οἱ δουλαγωγοῦντες τὰ πάθη καὶ φροντίζοντες διὰ τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετὰς θὰ διάγουν χειρότερα ἀπὸ ἐκείνους, ὁ δὲ κτηνώδης ἢ θηριώδης βίος θὰ εἶναι ὁ ἄριστος, ἡ ἀρετὴ ἀνόητος, ἡ ἀπειλὴ τιμωρίας θὰ προκαλῆ πλατὺν γέλωτα, τὸ νὰ ὑπηρετῆς πᾶσαν ἡδονὴν θὰ εἶναι τὸ μέγιστον τῶν ἀγαθῶν, δόγμα δὲ κοινὸν ὅλων τούτων καὶ νόμος εἷς θὰ εἶναι τὸ ἀγαπητὸν εἰς τοὺς ἀκολάστους καὶ λάγνους· «φάγωμεν δὲ καὶ πίωμεν, διότι αὔριον ἀποθνήσκομεν»[17]. Διότι τοῦ τοιούτου βίου τέλος θὰ εἶναι κατὰ τὴν γνώμην μερικῶν, ὄχι κἂν ἡδονή, ἀλλὰ τελεία ἀναισθησία.

Ἐὰν δὲ ὁ ποιητὴς τῶν ἀνθρώπων φροντίζη κάπως διὰ τὰ ποιήματά του καὶ ἡ δικαία κρίσις περὶ τῆς καλῆς ἢ κακῆς διαγωγῆς θὰ πραγματοποιηθῆ ὁπωσδήποτε, ἢ εἰς τὸν παρόντα βίον ὅταν ζοῦν ἀκόμη οἱ ἀκολουθήσαντες τὴν ἀρετὴν ἢ τὴν κακίαν,

---

16. Ὑπὸ τῶν θεῶν. Οἱ ἐθνικοὶ κατὰ βάσιν ἀπέδιδον τὴν πορείαν τοῦ σύμπαντος εἰς τὴν ἀνάγκην καὶ τὴν εἱμαρμένην.

17. Ἡσ. 22,13. Α΄ Κορ. 15,32. Τὸ ἴδιον ἀπαντᾶ καὶ εἰς τὴν *Πρεσβείαν* τοῦ ΑΘΗΝΑΓΟΡΟΥ, 12.

χωρισμῷ καὶ διαλύσει τυγχανόντων. Ἀλλὰ κατ' οὐδέτερον τῶν εἰρημένων εὑρεῖν δυνατὸν σωζομένην τὴν δικαίαν κρίσιν· οὔτε γὰρ οἱ σπουδαῖοι κατὰ τὴν παροῦσαν ζωὴν φέρονται τὰ τῆς ἀρετῆς ἐπίχειρα οὔτε μὴν οἱ φαῦλοι τὰ τῆς κακίας. Παρίημι γὰρ λέγειν ὅτι σωζομένης τῆς φύσεως ἐν ᾗ νῦν ἐσμέν, οὐδ' ἡ θνητὴ φύσις ἐνεγκεῖν οἵα τε τὴν σύμμετρον δίκην πλειόνων ἢ βαρυτέρων φερομένην πλημμελημάτων. Ὅ τε γὰρ μυρίους ἐπὶ μυρίοις ἀνελὼν ἀδίκως λῃστὴς ἢ δυνάστης ἢ τύραννος οὐκ ἂν ἑνὶ θανάτῳ λύσειεν τὴν ἐπὶ τούτοις δίκην ὅ τε μηδὲν περὶ Θεοῦ δοξάζων ἀληθές, ὕβρει δὲ πάσῃ καὶ βλασφημίᾳ συζῶν καὶ παρορῶν μὲν τὰ θεῖα, καταλύων δὲ νόμους, ὑβρίσας δὲ παῖδας ὁμοῦ καὶ γυναῖκας, κατασκάψας δὲ πόλεις ἀδίκως, ἐμπρήσας δὲ οἴκους μετὰ τῶν ἐνοικούντων καὶ δῃώσας χώραν καὶ τούτοις συναφανίσας δήμους καὶ λαοὺς ἢ καὶ σύμπαν ἔθνος, πῶς ἂν ἐν φθαρτῷ τῷ σώματι πρὸς τὴν τούτοις σύμμετρον ἀρκέσειεν δίκην, προλαμβάνοντος τοῦ θανάτου τὸ κατ' ἀξίαν καὶ μηδὲ πρὸς ἕν τι τῶν εἰργασμένων τῆς θνητῆς ἐξαρκούσης φύσεως; Οὔτ' οὖν κατὰ τὴν παροῦσαν ζωὴν ἡ κατ' ἀξίαν δείκνυται κρίσις οὔτε μετὰ θάνατον.

20 Ἤτοι γὰρ παντελής ἐστι σβέσις τῆς ζωῆς ὁ θάνατος συνδιαλυομένης τῷ σώματι τῆς ψυχῆς καὶ συνδιαφθειρομένης, ἢ μένει μὲν ἡ ψυχὴ καθ' ἑαυτὴν ἄλυτος, ἀσκέδαστος, ἀδιάφθορος, φθείρεται δὲ καὶ διαλύεται τὸ σῶμα, οὐδεμίαν ἔτι σῷζον οὔτε μνήμην τῶν εἰργασμένων οὔτ' αἴσθησιν τῶν ἐπ' αὐτῇ παθημάτων. Σβεννυμένης μὲν γὰρ παντελῶς τῆς τῶν ἀνθρώπων ζωῆς, οὐδεμία φανήσεται τῶν ἀνθρώπων οὐ ζώντων φροντίς, οὐ τῶν

18. Τὸ ἐπιχείρημα τοῦτο ἔλαβε βραδύτερον παρὰ τοῦ Καντίου τὴν μορφὴν τῆς ἠθικῆς ἀποδείξεως περὶ Θεοῦ.

19. Ἐδῶ χρησιμοποιεῖται ἡ λέξις ἐπεισκυκληθήσεται, πλασθεῖσα ἀπὸ τὸν θεατρικὸν ὅρον εἰσκύκλημα (καὶ εἰσκυκλέων). Εἰς τὸ ἀρχαῖον θέατρον δὲν ἐνεφανίζοντο ἐπὶ τῆς σκηνῆς ἐγκληματικαὶ πράξεις, ἀλλ' ἐφέροντο διαπραττόμεναι εἰς τὸ ὄπισθεν τῆς σκηνῆς. Ἐνίοτε ἐδεικνύοντο τὰ ἀποτελέσματα τοιούτων πράξεων (ὡς εἶναι τὰ πτώματα) διὰ περιστροφικοῦ μηχανήματος, τὸ ὁποῖον ἐλέγετο

ἢ μετὰ τὸν θάνατον ὅταν εὑρίσκωνται εἰς χωρισμὸν καὶ διάλυσιν. Ἀλλ' ὅμως δὲν εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς τὴν δικαίαν κρίσιν εἰς καμμίαν ἀπὸ τὰς δύο περιπτώσεις· διότι κατὰ τὴν παροῦσαν ζωὴν δὲν ἀπολαμβάνουν οὔτε οἱ σπουδαῖοι τὴν ἀμοιβὴν διὰ τὴν ἀρετὴν οὔτε οἱ φαῦλοι διὰ τὴν κακίαν[18]. Παραλείπω νὰ τονίσω ὅτι ὅσον χρόνον διατηρεῖται ἡ φύσις εἰς τὴν ὁποίαν εἴμεθα τώρα, οὔτε ἡ θνητὴ φύσις εἶναι ἱκανὴ νὰ βαστάσῃ τὴν ἐπιφερομένην ἀνταξίαν τιμωρίαν διὰ παλυάριθμα καὶ βαρύτατα πλημμελήματα. Διότι ὁ ληστὴς ἢ ἐξουσιαστὴς ἢ τύραννος, ὁ ὁποῖος ἐφόνευσεν ἀδίκως μυριάδας μυριάδων δὲν θὰ ἦτο δυνατὸν νὰ ἐκτίσῃ μὲ ἕνα θάνατον τὴν δι' αὐτὰ τιμωρίαν. Καὶ ὁ μὴ ἔχων ποτὲ ἀληθῆ γνώμην περὶ Θεοῦ, ὁ συζῶν μὲ πᾶσαν ὕβριν καὶ βλασφημίαν, ὁ περιφρονῶν τὰ θεῖα καὶ καταλύων τοὺς νόμους, ὁ διαφθείρας παιδία καὶ γυναῖκας καὶ κατασκάψας πόλεις ἀδίκως, ὁ κατακαύσας οἴκους μαζὶ μὲ τοὺς ἐνοίκους των καὶ λεηλατήσας τὴν ὕπαιθρον, ὁ ἀφανίσας μαζὶ μὲ αὐτὰ δήμους καὶ λαοὺς ἢ καὶ ὁλόκληρον ἔθνος, πῶς θὰ ἐπήρκει νὰ ἀποδώσῃ ἀνταξίαν ἱκανοποίησιν δι' ὅλα αὐτὰ εὑρισκόμενος εἰς φθαρτὸν σῶμα, ἀφοῦ ὁ θάνατος προλαμβάνει τὴν κατ' ἀξίαν τιμωρίαν καὶ ἡ θνητὴ φύσις δὲν ἐπαρκεῖ οὔτε δι' ἱκανοποίησιν μιᾶς ἀπὸ τὰς κολασίμους πράξεις; Ἑπομένως οὔτε κατὰ τὴν παροῦσαν ζωὴν οὔτε μετὰ θάνατον ἀποδεικνύεται δυνατὴ ἡ κατ' ἀξίαν κρίσις.

20 Διότι ἢ εἶναι πλήρης ἀφάνισις τῆς ζωῆς ὁ θάνατος μὲ ταυτόχρονον διάλυσιν καὶ φθορὰν τῆς ψυχῆς μετὰ τοῦ σώματος ἢ μένει μὲν ἡ ψυχὴ καθ' ἑαυτὴν ἀδιάλυτος, ἀδιάσπαστος, ἀδιάφθορος, φθείρεται δὲ καὶ διαλύεται τὸ σῶμα, μὴ διατηροῦν πλέον οὔτε μνήμην τῶν πράξεών του οὔτε αἴσθησιν τῶν ἐμπειριῶν τῆς ψυχῆς. Ἐὰν ἡ ζωὴ τῶν ἀνθρώπων πρόκειται νὰ σβησθῇ ἐντελῶς, τότε δὲν θὰ παρουσιασθῇ καμμία φροντὶς δι' ἀνθρώπους οἱ ὁποῖοι δὲν εἶναι ζῶντες οὔτε κρίσις περὶ τοῦ κατὰ ἀρετὴν ἢ κακίαν βίου των, θὰ ἀποκρυβοῦν[19] δὲ πάλιν τὰ

---

ἐκκύκλημα. Τὸ μηχάνημα κατὰ τὴν ἀντίστροφον πορείαν του, ὁπότε ἀπέκρυπτε τὰ δεικνυόμενα, ἐλέγετο εἰσκύκλημα.

*κατ' ἀρετὴν ἢ κακίαν βεβιωκότων ἡ κρίσις, ἐπεισκυκληθήσεται δὲ πάλιν τὰ τῆς ἀνόμου ζωῆς καὶ τῶν ταύτῃ συνεπομένων ἀτόπων τὸ σμῆνος τό τε τῆς ἀνομίας ταύτης κεφάλαιον, ἀθεότης.*

*Εἰ δὲ φθείροιτο μὲν τὸ σῶμα καὶ χωροίη πρὸς τὸ συγγενὲς τῶν λελυμένων ἕκαστον, μένοι δὲ ἡ ψυχὴ καθ' ἑαυτὴν ὡς ἄφθαρτος, οὐδ' οὕτως ἕξει χώραν ἡ κατ' αὐτῆς κρίσις, μὴ προσούσης δικαιοσύνης· ἐπεὶ μηδὲ θεμιτὸν ὑπολαμβάνειν ἐκ Θεοῦ καὶ παρὰ Θεοῦ γίνεσθαί τινα κρίσιν, ᾗ μὴ πρόσεστι τὸ δίκαιον. Οὐ πρόσεστι δὲ τῇ κρίσει τὸ δίκαιον μὴ σωζομένου τοῦ διαπραξαμένου τὴν δικαιοσύνην ἢ τὴν ἀνομίαν· ὁ γὰρ διαπραξάμενος ἕκαστον τῶν κατὰ τὸν βίον ἐφ' οἷς ἡ κρίσις, ἄνθρωπος ἦν, οὐ ψυχὴ καθ' ἑαυτήν. Τὸ δὲ σύμπαν εἰπεῖν, ὁ λόγος οὗτος ἐπ' οὐδενὸς φυλάξει τὸ δίκαιον.*

21 *Κατορθωμάτων τε γὰρ τιμωμένων, ἀδικηθήσεται τὸ σῶμα σαφῶς ἐκ τοῦ κοινωνῆσαι μὲν τῇ ψυχῇ τῶν ἐπὶ τοῖς σπουδαζομένοις πόνων, μὴ κοινωνῆσαι δὲ τῆς ἐπὶ τοῖς κατορθωθεῖσι τιμῆς, καὶ συγγνώμης μὲν τυγχάνειν πολλάκις τὴν ψυχὴν ἐπί τινων πλημμελημάτων διὰ τὴν τοῦ σώματος ἔνδειάν τε καὶ χρείαν, ἐκπίπτειν δὲ αὐτὸ τὸ σῶμα τῆς ἐπὶ τοῖς κατορθωθεῖσι κοινωνίας, ὑπὲρ ὧν τοὺς ἐν τῇ ζωῇ συνδιήνεγκεν πόνους. Καὶ μὴν καὶ πλημμελημάτων κρινομένων οὐ σώζεται τῇ ψυχῇ τὸ δίκαιον, εἴ γε μόνη τίνοι δίκην ὑπὲρ ὧν ἐνοχλοῦντος τοῦ σώματος καὶ πρὸς τὰς οἰκείας ὀρέξεις ἢ κινήσεις ἕλκοντος ἐπλημμέλησεν ποτὲ μὲν κατὰ συναρπαγὴν καὶ κλοπήν, ποτὲ δὲ κατά τινα βιαιοτέραν ὁλκήν, ἄλλοτε δὲ κατὰ συνδρομὴν ἐν χάριτος μέρει καὶ θεραπείας τῆς τούτου συστάσεως.*

*Ἢ πῶς οὐκ ἄδικον τὴν ψυχὴν κρίνεσθαι καθ' ἑαυτὴν ὑπὲρ ὧν οὐδ' ἡντινοῦν ἔχει κατὰ τὴν ἑαυτῆς φύσιν οὐκ ὄρεξιν, οὐ κίνησιν, οὐχ ὁρμήν, οἷον λαγνείας ἢ βίας ἢ πλεονεξίας, ἀδικίας καὶ τῶν ἐπὶ τούτοις ἀδικημάτων; Εἰ γὰρ τὰ πλεῖστα τῶν τοιούτων γίνεται κακῶν ἐκ τοῦ μὴ κατακρατεῖν τοὺς ἀνθρώ-*

ἔργα τῆς ἀνόμου ζωῆς καὶ τὸ πλῆθος τῶν ἀτόπων τὰ ὁποῖα τὴν ἀκολουθοῦν, καθὼς καὶ τὸ κορύφωμα τῆς ἀνομίας ταύτης, ἡ ἀθεότης.

Ἐὰν δὲ φθείρεται μὲν τὸ σῶμα καὶ ἕκαστον τμῆμα τῶν διαλυομένων προχωρῇ πρὸς τὸ συγγενὲς στοιχεῖον, μένῃ δὲ ἡ ψυχὴ καθ' ἑαυτὴν ὡς ἄφθαρτος, οὔτε τότε δὲν θὰ πραγματοποιηθῇ ἡ κατ' αὐτῆς κρίσις, διότι εἰς αὐτὴν δὲν θὰ συνυπάρχῃ δικαιοσύνη, δὲν εἶναι δὲ θεμιτὸν νὰ ὑποθέσωμεν ὅτι γίνεται κρίσις ἐκ τοῦ Θεοῦ καὶ παρὰ τοῦ Θεοῦ, εἰς τὴν ὁποίαν δὲν εἶναι παροῦσα ἡ δικαιοσύνη. Δὲν εἶναι δὲ παρὸν τὸ δίκαιον εἰς τὴν κρίσιν, ἐὰν δὲν ἐπιζῇ ὁ διαπράξας τὴν δικαίαν ἢ τὴν παράνομον πρᾶξιν· διότι ὁ διαπράξας κατὰ τὸν βίον ἑκάστην πρᾶξιν ἀπὸ τὰς ὑπὸ κρίσιν ἦτο ἄνθρωπος, ὄχι ψυχὴ καθ' ἑαυτήν. Διὰ νὰ τελειώνωμεν ἐν συντομίᾳ, τοιαύτη διαδικασία δὲν διαφυλάττει καθόλου τὸ δίκαιον.

21 Ὅταν ἀμείβωνται αἱ δίκαιαι πράξεις, τὸ σῶμα προφανῶς θὰ ἀδικηθῇ, καθ' ὅσον συμμετεῖχε μὲν μὲ τὴν ψυχὴν εἰς τοὺς ἀξιολόγους κόπους, ἀλλὰ δὲν συμμετέχει εἰς τὴν ἀμοιβὴν διὰ τὴν ὀρθὴν διαγωγήν, καὶ συγχωρεῖται μὲν πολλάκις ἡ ψυχὴ διὰ μερικὰ πλημμελήματά της ἐξ αἰτίας τῆς ἀνεπαρκείας καὶ ἀνάγκης τοῦ σώματος, ἐκπίπτει δὲ τὸ σῶμα τῆς κοινωνίας διὰ τὰς δικαίας πράξεις, διὰ τὰς ὁποίας συνεισέφερε τοὺς κόπους του ἐν τῇ ζωῇ. Ἐπίσης δὲ καὶ ὅταν κρίνωνται πλημμελήματα, δὲν διατηρεῖται διὰ τὴν ψυχὴν τὸ δίκαιον, ἐὰν ὑφίσταται μόνη της τιμωρίαν δι' ὅσα πλημμελήματα διέπραξε, καθ' ὃν χρόνον τὴν ἠνώχλει τὸ σῶμα καὶ τὴν εἵλκυε πρὸς τὰς ὀρέξεις καὶ κινήσεις του, ἄλλοτε μὲν μὲ παραπλάνησιν καὶ ἐξαπάτησιν, ἄλλοτε μὲ κάποιαν βιαιοτέραν ἕλξιν καὶ ἄλλοτε μὲ τέχνασμα νὰ δείξῃ καλωσύνην καὶ νὰ ὑπηρετήσῃ τὴν εὐεξίαν του.

Ἄλλως πῶς δὲν εἶναι ἄδικον νὰ κρίνεται ἡ ψυχὴ μόνη της διὰ πράξεις περὶ τῶν ὁποίων κατὰ τὴν φύσιν της δὲν ἔχει οὔτε ὄρεξιν οὔτε κίνησιν οὔτε ὁρμήν, ὅπως εἶναι ἡ λαγνεία ἢ ἡ βία ἢ ἡ πλεονεξία, ἡ ἀδικία καὶ τὰ ἀκολουθοῦντα αὐτοὺς ἀδικήματα; Διότι, ἐὰν τὰ πλεῖστα τῶν κακῶν τούτων γίνωνται διὰ τὸν

*πους τῶν ἐνοχλούντων παθῶν, ἐνοχλοῦνται δὲ ὑπὸ τῆς τοῦ σώματος ἐνδείας καὶ χρείας καὶ τῆς περὶ τοῦτο σπουδῆς καὶ θεραπείας (τούτων γὰρ ἕνεκεν πᾶσα ἡ κτῆσις καὶ πρὸ ταύτης ἡ χρῆσις, ἔτι δὲ γάμος καὶ ὅσαι κατὰ τὸν βίον πράξεις, ἐν οἷς καὶ περὶ ἃ θεωρεῖται τό τε πλημμελὲς καὶ τὸ μὴ τοιοῦτον), ποῦ δίκαιον ἐν οἷς πρωτοπαθεῖ τὸ σῶμα καὶ τὴν ψυχὴν ἕλκει πρὸς συμπάθειαν καὶ κοινωνίαν τῶν ἐφ' ἃ κινεῖται πράξεων, αὐτὴν κρίνεσθαι μόνην, καὶ τὰς μὲν ὀρέξεις καὶ τὰς ἡδονάς, ἔτι δὲ φόβους καὶ λύπας, ἐφ' ὧν πᾶν τὸ μὴ μέτριον ὑπόδικον, ἀπὸ τοῦ σώματος ἔχειν τὴν κίνησιν, τὰς δὲ ἐκ τούτων ἁμαρτίας καὶ τὰς ἐπὶ τοῖς ἡμαρτημένοις τιμωρίας ἐπὶ τὴν ψυχὴν φέρεσθαι μόνην τὴν μήτε δεομένην τοιούτου τινὸς μήτε ὀρεγομένην μήτε φοβουμένην ἢ πάσχουσάν τι τοιοῦτον καθ' ἑαυτὴν οἷον πάσχειν πέφυκεν ἄνθρωπος;*

*Ἀλλὰ κἂν μὴ μόνου τοῦ σώματος, ἀνθρώπου δὲ θῶμεν εἶναι τὰ πάθη, λέγοντες ὀρθῶς διὰ τὸ μίαν ἐξ ἀμφοτέρων εἶναι τὴν τούτου ζωήν, οὐ δήπου γε καὶ τῇ ψυχῇ ταῦτα προσήκειν φήσομεν, ὁπόταν καθαρῶς τὴν ἰδίαν αὐτῆς ἐπισκοπῶμεν φύσιν. Εἰ γὰρ πάσης καθάπαξ τροφῆς ἐστιν ἀνενδεής, οὐκ ἂν ὁρμήσειεν ἐπί τι τούτων οἷς μηδ' ὅλως χρῆσθαι πέφυκεν· ἀλλ' οὐδ ἂν λυπηθείη δι' ἀπορίαν χρημάτων ἢ κτημάτων ὡς οὐδὲν αὐτῇ προσηκόντων. Εἰ δὲ καὶ φθορᾶς ἐστι κρείττων, οὐδὲν φοβεῖται τὸ παράπαν ὡς φθαρτικὸν ἑαυτῆς· οὐ γὰρ δέδοικεν οὐ λιμόν, οὐ νόσον, οὐ πήρωσιν, οὐ λώβην, οὐ πῦρ, οὐ σίδηρον, ἐπεὶ μηδὲ παθεῖν ἐκ τούτων δύναταί τι βλαβερὸν μηδ' ἀλγεινόν, οὐχ ἁπτομένων αὐτῆς τὸ παράπαν οὔτε σωμάτων οὔτε σωματικῶν δυνάμεων. Εἰ δὲ τὸ τὰ πάθη ταῖς ψυχαῖς ἰδιαζόντως προσάπτειν ἄτοπον, τὸ τὰς ἐκ τούτων ἁμαρτίας καὶ τὰς ἐπὶ ταύταις τιμω-*

λόγον ὅτι οἱ ἄνθρωποι δὲν συγκρατοῦν τὰ ἐνοχλοῦντα πάθη των, ἐνοχλοῦνται δὲ οὗτοι ἀπὸ τὴν ἔνδειαν καὶ ἀνάγκην τοῦ σώματος καὶ τῆς φροντίδος καὶ ἐπιμελείας αὐτοῦ (διὰ τοῦτο μάλιστα ὅλη ἡ κτῆσις καὶ περισσότερον αὐτῆς ἡ χρῆσις, ἀκόμη δὲ ὁ γάμος καὶ αἱ σχετικαὶ μὲ τὴν ἀναπαραγωγὴν πράξεις, εἰς τὰς ὁποίας καὶ περὶ τὰς ὁποίας δύναται νὰ παρατηρηθῇ ἡ κακὴ συμπεριφορὰ καὶ ἡ μὴ τοιαύτη), πῶς εἶναι δίκαιον νὰ κρίνεται ἡ ψυχὴ μόνη εἰς θέματα ὅπου πρωτοπαθεῖ τὸ σῶμα καὶ ἕλκει τὴν ψυχὴν πρὸς συμπάθειαν καὶ συμμετοχὴν εἰς τὰς πράξεις πρὸς τὰς ὁποίας κινεῖται; Πῶς εἶναι δίκαιον αἱ μὲν ὀρέξεις καὶ ἡδοναί, ἀκόμη δὲ οἱ φόβοι καὶ αἱ λύπαι, διὰ τὰς ὁποίας πᾶσα ἄμετρος ἐπίδοσις εἶναι ὑπόδικος, νὰ ἔχουν τὴν κίνησιν ἀπὸ τὸ σῶμα, αἱ δὲ ἁμαρτίαι ἀπὸ αὐτὰ καὶ αἱ τιμωρίαι διὰ τὰς ἁμαρτωλὰς πράξεις νὰ ἐπιβάλλωνται εἰς μόνην τὴν ψυχήν, ἡ ὁποία οὔτε χρειάζεται τίποτε τοιοῦτον οὔτε ποθεῖ οὔτε φοβεῖται ἢ πάσχει τίποτε τοιοῦτον καθ' ἑαυτήν, ὅπως εἶναι καμωμένος νὰ πάσχῃ ὁ ἄνθρωπος;

Ἀλλὰ καὶ ἂν δεχθῶμεν ὅτι τὰ πάθη δὲν εἶναι μόνον τοῦ σώματος ἀλλὰ τοῦ ἀνθρώπου ὁλοκλήρου, σκεπτόμενοι ὀρθῶς ἐφ' ὅσον ἡ ζωὴ προέρχεται ἀπὸ ἀμφότερα ταῦτα, δὲν θὰ εἴπωμεν βεβαίως ὅτι ταῦτα ἁρμόζουν καὶ εἰς τὴν ψυχήν, ὅταν θεωροῦμεν χωριστὰ τὴν φύσιν της. Διότι, ἐὰν εἶναι ἀνενδεὴς γενικῶς πάσης τροφῆς,. ποτὲ δὲν θὰ ἐπόθει αὐτὰ τὰ ὁποῖα δὲν χρειάζεται διὰ τὴν ὕπαρξίν της οὔτε θὰ ὥρμα πρὸς κάτι ἀπὸ αὐτὰ τὰ ὁποῖα δὲν εἶναι καθόλου καμωμένη νὰ χρησιμοποιῇ, ἀλλ' οὔτε θὰ ἐλυπεῖτο διὰ στέρησιν χρημάτων ἢ κτημάτων ἀφοῦ δὲν τῆς ἁρμόζουν. Ἐὰν δὲ εἶναι καὶ ὑπεράνω φθορᾶς, τίποτε ἐντελῶς δὲν φοβεῖται ὅτι δύναται νὰ τὴν φθείρῃ· διότι δὲν φοβεῖται οὔτε πεῖναν οὔτε νόσον οὔτε ἀναπηρίαν οὔτε λέπραν οὔτε πῦρ οὔτε σίδηρον, ἐπειδὴ δὲν δύναται νὰ πάθῃ τίποτε βλαβερὸν ἢ ὀδυνηρὸν ἀπὸ αὐτά, καθ' ὅσον οὔτε σώματα οὔτε σωματικαὶ δυνάμεις δύνανται νὰ τὴν ἐγγίσουν τὸ παραμικρόν. Ἐὰν δὲ εἶναι ἄτοπον νὰ ἀποδίδωμεν τὰ πάθη εἰς τὰς ψυχὰς ἰδιαιτέρως, τὸ νὰ ἐπιθέτωμεν τὰς ἀπὸ αὐτὰ τὰ πάθη ἁμαρτίας

ρίας ἐπὶ μόνας φέρειν τὰς ψυχὰς ὑπερβαλλόντως ἄδικον καὶ τῆς τοῦ Θεοῦ κρίσεως ἀνάξιον.

22 Πρὸς δὲ τοῖς εἰρημένοις πῶς οὐκ ἄτοπον τὴν μὲν ἀρετὴν καὶ τὴν κακίαν μηδὲ νοηθῆναι δύνασθαι χωρὶς ἐπὶ τῆς ψυχῆς (ἀνθρώπου γὰρ ἀρετὰς εἶναι γινώσκομεν τὰς ἀρετάς, ὥσπερ οὖν καὶ τὴν ταύταις ἀντικειμένην κακίαν οὐ ψυχῆς κεχωρισμένης τοῦ σώματος καὶ καθ' ἑαυτὴν οὔσης), τὴν δὲ ἐπὶ τούτοις τιμὴν ἢ τιμωρίαν ἐπὶ μόνης φέρεσθαι τῆς ψυχῆς; Ἢ πῶς ἄν τις καὶ νοήσειεν ἐπὶ ψυχῆς μόνης ἀνδρείαν ἢ καρτερίαν, οὐκ ἐχούσης οὐ θανάτου φόβον, οὐ τραύματος, οὐ πηρώσεως, οὐ ζημίας, οὐκ αἰκίας, οὐ τῶν ἐπὶ τούτοις ἀλγημάτων ἢ τῆς ἐκ τούτων κακοπαθείας; Πῶς δὲ ἐγκράτειαν καὶ σωφροσύνην, οὐδεμιᾶς ἑλκούσης αὐτὴν ἐπιθυμίας πρὸς τροφὴν ἢ μῖξιν ἢ τὰς ἄλλας ἡδονάς τε καὶ τέρψεις οὐδ' ἄλλου τινὸς οὔτ' ἔσωθεν ἐνοχλοῦντος οὔτ' ἔξωθεν ἐρεθίζοντος; Πῶς δὲ φρόνησιν, οὐχ ὑποκειμένων αὐτῇ πρακτέων καὶ μὴ πρακτέων οὐδ' αἱρετῶν καὶ φευκτῶν, μᾶλλον δὲ μηδεμιᾶς ἐνούσης αὐτῇ κινήσεως τὸ παράπαν ἢ φυσικῆς ὁρμῆς ἐπί τι τῶν πρακτέων; Ποῦ δὲ ὅλως ψυχαῖς ἡ πρὸς ἀλλήλας δικαιοσύνη προσφυὴς ἢ πρὸς ἄλλο τι τῶν ὁμογενῶν ἢ τῶν ἑτερογενῶν, οὐκ ἐχούσαις οὔτε πόθεν οὔτε δι' ὧν οὔτε πῶς ἀπονείμωσι τὸ κατ' ἀξίαν ἢ κατ' ἀναλογίαν ἴσον ἐξῃρημένης τῆς εἰς Θεὸν τιμῆς, οὐδ' ἄλλως ἐχούσαις ὁρμὴν ἢ κίνησιν πρὸς χρῆσιν ἰδίων ἢ πρὸς ἀποχὴν ἀλλοτρίων, τῆς μὲν χρήσεως τῶν κατὰ φύσιν καὶ τῆς ἀποχῆς ἐπὶ τῶν χρῆσθαι πεφυκότων θεωρουμένης, τῆς δὲ ψυχῆς μήτε δεομένης τινὸς μήτε χρῆσθαι τισὶν ἢ τινὶ πεφυκυίας, καὶ διὰ τοῦτο μηδὲ τῆς λεγομένης ἰδιοπραγίας τῶν μερῶν ἐπὶ τῆς οὕτως ἐχούσης ψυχῆς εὑρεθῆναι δυναμένης;

20. Ὅροι ἀριστοτελικοί, «κατ' ἰσότητα» καὶ «κατ' ἀναλογίαν», *Ἠθικὰ Νικομάχεια* 1132 b 33.

καὶ τὰς δι' αὐτὰς τιμωρίας εἰς μόνας τὰς ψυχὰς εἶναι ὑπερβολικῶς ἄδικον καὶ ἀνάξιον τῆς κρίσεως τοῦ Θεοῦ.

22 Πέραν δὲ τῶν λεχθέντων πῶς δὲν εἶναι ἄτοπον ἡ μὲν ἀρετὴ καὶ ἡ κακία νὰ μὴ δύναται οὔτε νὰ νοηθῆ χωρὶς τὴν ψυχὴν (διότι, ὅπως γνωρίζομεν, αἱ ἀρεταὶ εἶναι ἀρεταὶ τοῦ ἀνθρώπου, καθῶς αἱ κακίαι αἱ ὁποῖαι ἀντίκεινται εἰς αὐτὰς δὲν ἀνήκουν εἰς ψυχὴν χωρισμένην ἀπὸ τὸ σῶμα καὶ ὑπάρχουσαν καθ' ἑαυτήν), τὴν δὲ τιμὴν ἢ τιμωρίαν δι' αὐτὰς νᾶ φέρη μόνη της ἡ ψυχή; Ἢ πῶς θὰ ἠδύνατο κανεὶς καὶ νὰ ἐννοήση ἀνδρείαν ἢ καρτερίαν εἰς μόνην τὴν ψυχήν, ἡ ὁποία δὲν ἔχει φόβον θανάτου οὔτε τραυματισμοῦ οὔτε ἀναπηρίας οὔτε βλάβης οὔτε κακοποιήσεως, οὔτε πόνων δι' αὐτὰ ἢ τῆς κακοπαθείας ἀπὸ αὐτά; Πῶς δὲ θὰ ἠδύνατο νὰ ἐννοήση ἐγκράτειαν καὶ σωφροσύνην, ἐνῶ δὲν τὴν ἑλκύει καμμία ἐπιθυμία διὰ τροφὴν ἢ γενετήσιον μῖξιν ἢ τὰς ἄλλας ἡδονὰς καὶ τέρψεις οὔτε τίποτε ἄλλο τὴν ἐνοχλεῖ ἀπὸ μέσα ἢ τὴν ἐρεθίζει ἀπὸ ἔξω; Πῶς θὰ ἠδύνατο νὰ ἐννοήση φρόνησιν ὅταν δὲν ὑπόκεινται εἰς αὐτὴν πρακτέα καὶ μὴ πρακτέα, αἱρετὰ καὶ φευκτά, μᾶλλον δὲ ὅταν δὲν ἐνυπάρχη εἰς αὐτὴν καμμία ἐντελῶς κίνησις ἢ φυσικὴ ὁρμὴ διὰ κάτι ἀπὸ τὰ πρακτέα; Ποῦ δὲ τέλος ἡ πρὸς ἀλλήλας ἢ πρὸς ἄλλο ἐκ τῶν ὁμογενῶν ἢ ἑτερογενῶν ὄντων δικαιοσύνη δύναται νὰ εἶναι προσφυὴς εἰς ψυχάς, αἱ ὁποῖαι δὲν ἔχουν οὔτε ἀπὸ ποῦ οὔτε διὰ ποίων μέσων οὔτε πῶς νὰ ἀπονείμουν ἰσότητα κατ' ἀξίαν ἢ κατ' ἀναλογίαν[20], πλὴν τῆς εἰς Θεὸν τιμῆς, οὔτε ἔχουν ἄλλως ὁρμὴν ἢ κίνησιν πρὸς χρησιμοποίησιν τῶν ἰδικῶν των ἢ πρὸς ἀποχὴν ἀπὸ τὰ ξένα, ἀφοῦ ἡ μὲν χρῆσις τῶν φυσικῶν καὶ ἡ ἀποχὴ θεωρεῖται ἐν σχέσει μὲ τὰ ἀγαθὰ τὰ προωρισμένα πρὸς χρῆσιν, ἡ δὲ ψυχὴ οὔτε χρειάζεται κάτι οὔτε εἶναι καμωμένη νὰ χρησιμοποιῆ κάτι, καὶ διὰ τοῦτο οὔτε ἡ λεγομένη ἰδιοπραγία τῶν μερῶν[21] δὲν δύναται νὰ εὑρεθῆ εἰς τὴν οὕτω κατεσκευασμένην ψυχήν;

---

21. Κατὰ τὴν πλατωνικὴν ψυχολογίαν ἕκαστον μέρος ἑνὸς καλοῦ ὀργανισμοῦ ἐκπληρώνει τὴν ἰδικήν του λειτουργίαν (*Πολιτεία* 434c). Ὅταν ὅμως ἡ ψυχὴ δὲν ἔχει ὀργανικὰ μέρη ὑπὸ τὸν ἔλεγχόν της, δὲν ὑπάρχει ἰδιοπραγία.

23 *Καὶ μὴν κἀκεῖνο πάντων παραλογώτατον, τὸ τοὺς μὲν θεσπισθέντας νόμους ἐπ' ἀνθρώπους φέρειν, τῶν δὲ νομίμως ἢ παρανόμως πεπραγμένων τὴν δίκην ἐπὶ μόνας τρέπειν τὰς ψυχάς. Εἰ γὰρ ὁ τοὺς νόμους δεξάμενος αὐτὸς δέξαιτ' ἂν δικαίως καὶ τῆς παρανομίας τὴν δίκην, ἐδέξατο δὲ τοὺς νόμους ἄνθρωπος, οὐ ψυχὴ καθ' ἑαυτήν, ἄνθρωπον δεῖ καὶ τὴν ὑπὲρ τῶν ἡμαρτημένων ὑποσχεῖν δίκην, οὐ ψυχὴν καθ' ἑαυτήν· ἐπεὶ μὴ ψυχαῖς ἐθέσπισε Θεὸς ἀπέχεσθαι τῶν οὐδὲν αὐταῖς προσηκόντων, οἷον μοιχείας, φόνου, κλοπῆς, ἁρπαγῆς, τῆς κατὰ τῶν γεννησάντων ἀτιμίας πάσης τε κοινῶς τῆς ἐπ' ἀδικίᾳ καὶ βλάβῃ τοῦ πέλας γινομένης ἐπιθυμίας.*

*Οὔτε γὰρ τὸ «τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα» ψυχαῖς μόνον εὐάρμοστον, οὐ προσηκόντων αὐταῖς τῶν τοιούτων ὀνομάτων· οὐ γὰρ ψυχαὶ ψυχὰς γεννῶσαι τὴν τοῦ πατρὸς ἢ τῆς μητρὸς οἰκειοῦνται προσηγορίαν, ἀλλ' ἀνθρώπους ἄνθρωποι· οὔτε οὖν τὸ «οὐ μοιχεύσεις» ἐπὶ ψυχῶν λεχθείη ποτ' ἂν ἢ νοηθείη δεόντως, οὐκ οὔσης ἐν αὐταῖς τῆς κατὰ τὸ ἄρσεν καὶ θῆλυ διαφορᾶς οὐδὲ πρὸς μῖξιν τινὸς ἐπιτηδειότητος ἢ πρὸς ταύτην ὀρέξεως. Ὀρέξεως δὲ τοιαύτης οὐκ οὔσης, οὐδὲ μῖξιν εἶναι δυνατόν· παρ' οἷς δὲ μῖξις ὅλως οὐκ ἔστιν, οὐδὲ ἔνθεσμος μῖξις, ὅπερ ἐστὶν γάμος· ἐννόμου δὲ μίξεως οὐκ οὔσης, οὐδὲ τὴν παράνομον καὶ τὴν ἐπ' ἀλλοτρίᾳ γυναικὶ γινομένην ὄρεξιν ἢ μῖξιν εἶναι δυνατόν, τοῦτο γάρ ἐστι μοιχεία. Ἀλλ' οὐδὲ τὸ κλοπὴν ἀπαγορεύειν ἢ τὴν τοῦ πλείονος ἐπιθυμίαν ψυχαῖς προσφυές· οὐδὲ γὰρ δέονται τούτων ὧν οἱ δεόμενοι διὰ τὴν φυσικὴν ἔνδειαν ἢ χρείαν κλέπτειν εἰώθασιν καὶ λῃστεύειν, οἷον χρυσὸν ἢ ἄργυρον ἢ ζῷον ἢ ἄλλο τι τῶν πρὸς τροφὴν ἢ σκέπην ἢ χρῆσιν ἐπιτηδείων· ἀχρεῖον γὰρ ἀθανάτῳ φύσει πᾶν ὁπόσον τοῖς ἐνδεέσιν ὀρεκτὸν ὡς χρήσιμον.*

23 Παραλογώτατον δὲ ὅλων εἶναι ὁπωσδήποτε ἐκεῖνο, τοὺς μὲν θεσπισθέντας νόμους νὰ ἀναφέρωμεν εἰς τοὺς ἀνθρώπους, τὴν δὲ ἀνταπόδοσιν τῶν νομίμων ἢ παρανόμων πράξεων νὰ στρέφωμεν μόνον εἰς τὰς ψυχάς. Καὶ ὅμως, ἐὰν ὁ δεχθεὶς τοὺς νόμους εἶναι δίκαιον νὰ ἐδέχθη ὁ ἴδιος καὶ τὴν ἀνταπόδοσιν διὰ τὴν παρανομίαν, τοὺς δὲ νόμους ἐδέχθη ὁ ἄνθρωπος, ὄχι ἡ ψυχὴ μόνη της, ὁ ἄνθρωπος πρέπει νὰ ὑποστῇ τὴν καταδίκην διὰ τὰς ἁμαρτίας, ὄχι ἡ ψυχὴ μόνη της· ἐθέσπισε διὰ τὰς ψυχὰς ὁ Θεὸς νὰ ἀπέχουν τῶν πράξεων αἱ ὁποῖαι δὲν ταιριάζουν εἰς αὐτάς, ὅπως τῆς μοιχείας, τοῦ φόνου, τῆς κλοπῆς, τῆς ἁρπαγῆς, τῆς ἀτιμίας κατὰ τῶν γονέων καὶ γενικῶς πάσης ἐπιθυμίας ἡ ὁποία ἐπιδιώκει ἀδικίαν καὶ βλάβην τοῦ πλησίον.

Διότι οὔτε τὸ «τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα»[22] εἶναι ταιριαστὸν μόνον εἰς τὰς ψυχάς, καθ' ὅσον τοιαῦτα ὀνόματα δὲν ταιριάζουν εἰς αὐτάς· τὰ ὀνόματα τοῦ πατρός ἢ τῆς μητρός δὲν λαμβάνουν ψυχαὶ γεννῶσαι ψυχάς, ἀλλ' ἄνθρωποι γεννῶντες ἀνθρώπους. Οὔτε πάλιν τὸ «οὐ μοιχεύσεις»[23] θὰ ἦτο ποτὲ δυνατὸν νὰ λεχθῇ διὰ τὰς ψυχὰς ἢ νὰ νοηθῇ σχετικῶς μὲ αὐτάς, ἐφ' ὅσον εἰς αὐτὰς δὲν ὑπάρχει ἡ διαφορὰ εἰς ἄρσεν καὶ θῆλυ οὔτε ἱκανότης πρός γεννετήσιον μῖξιν ἢ ὄρεξιν πρὸς ταύτην. Ἀφοῦ δὲ δὲν ὑπάρχει τοιαύτη ὄρεξις, δὲν εἶναι δυνατὸν νὰ ὑπάρξῃ οὔτε μῖξις· ὅπου δὲ δὲν δύναται νὰ ὑπάρξῃ καθόλου μῖξις, οὔτε ἡ νόμιμος μῖξις δύναται νὰ ὑπάρξῃ, δηλαδὴ ὁ γάμος· ὅπου δὲ δὲν δύναται νὰ ὑπάρξῃ νόμιμος μῖξις, δὲν εἶναι δυνατὸν νὰ ὑπάρξῃ οὔτε ἡ παράνομος καὶ πρὸς ξένην γυναῖκα ἀναφερομένη ὄρεξις ἢ μῖξις, δηλαδὴ ἡ μοιχεία. Ἀλλ' οὔτε ἡ ἀπαγόρευσις τῆς κλοπῆς ἢ τῆς πλεονεξίας εἶναι προσφυὴς εἰς τὰς ψυχάς· διότι αὗται δὲν ἔχουν ἀνάγκην τούτων τὰ ὁποῖα συνηθίζουν νὰ κλέπτουν καὶ νὰ ληστεύουν οἱ λόγῳ ἐνδείας ἢ χρείας, ὅπως χρυσὸν ἢ ἄργυρον ἢ ζῶον ἢ κάτι ἄλλο ἀπὸ τὰ κατάλληλα πρὸς τροφὴν ἢ σκέπην ἢ χρῆσιν· διότι εἰς τὴν ἀθάνατον φύσιν εἶναι ἄχρηστον πᾶν ὅ,τι εἶναι ὀρεκτὸν εἰς τοὺς ἐνδεεῖς.

22. Ἐξ. 21,12.
23. Ἐξ. 20,14.

*Ἀλλ' ὁ μὲν ἐντελέστερος περὶ τούτων λόγος ἀφείσθω τοῖς σπουδαιότερον ἕκαστον σκοπεῖν βουλομένοις ἢ φιλοτιμότερον διαγωνίζεσθαι πρὸς τοὺς διαφερομένους, ἡμῖν δὲ ἀρκούντων τῶν ἀρτίως εἰρημένων καὶ τῶν συμφώνως τούτοις τὴν ἀνάστασιν πιστουμένων τὸ τοῖς αὐτοῖς ἐπὶ πλεῖον ἐνδιατρίβειν οὐκέτ' ἂν ἔχοι καιρόν· οὐ γὰρ τὸ μηδὲν παραλιπεῖν τῶν ἐνόντων εἰπεῖν πεποιήμεθα σκοπόν, ἀλλὰ τὸ κεφαλαιωδῶς ὑποδεῖξαι τοῖς συνελθοῦσιν ἃ χρὴ περὶ τῆς ἀναστάσεως φρονεῖν καὶ τῇ δυνάμει τῶν παρόντων συμμετρῆσαι τὰς ἐπὶ τοῦτο φερούσας ἀφορμάς.*

24 *Ἐξητασμένων δὲ ποσῶς τῶν προτεθέντων ὑπόλοιπον ἂν εἴη καὶ τὸν ἀπὸ τοῦ τέλους διασκέψασθαι λόγον, ἤδη μὲν τοῖς εἰρημένοις ἐμφαινόμενον, τοσαύτης δὲ μόνον ἐπιστασίας καὶ προσθήκης δεόμενον, ὡς μὴ δοκεῖν τι τῶν μικρῷ πρόσθεν εἰρημένων ἀμνημόνευτον καταλιπόντα παραβλάψαι τὴν ὑπόθεσιν ἢ τὴν ἐξ ἀρχῆς γενομένην διαίρεσιν. Τούτων τε οὖν ἕνεκεν καὶ τῶν ἐπὶ τούτοις ἐγκληθησομένων καλῶς ἂν ἔχοι τοσοῦτον ἐπισημήνασθαι μόνον, ὅτι δεῖ καὶ τῶν ἐκ φύσεως συνισταμένων καὶ τῶν κατὰ τέχνην γινομένων οἰκεῖον ἑκάστου τέλος εἶναι, τοῦτό που καὶ τῆς κοινῆς πάντων ἐννοίας ἐκδιδασκούσης ἡμᾶς καὶ τῶν ἐν ὀφθαλμοῖς στρεφομένων ἐπιμαρτυρούντων.*

*Ἦ γὰρ οὐ θεωροῦμεν ἕτερόν τι τοῖς γεωργοῦσιν, ἕτερον δὲ τοῖς ἰατρεύουσιν ὑποκείμενον τέλος, καὶ πάλιν ἄλλο μέν τι τῶν ἐκ γῆς φυομένων, ἄλλο δὲ τῶν ἐπ' αὐτῆς τρεφομένων ζώων καὶ κατά τινα φυσικὸν εἱρμὸν γεννωμένων; Εἰ δὲ τοῦτ' ἐστὶν ἐναργὲς καὶ δεῖ πάντως ταῖς φυσικαῖς ἢ τεχνικαῖς δυνάμεσι καὶ ταῖς ἐκ τούτων ἐνεργείαις τὸ κατὰ φύσιν ἕπεσθαι τέλος, ἀνάγκη πᾶσα καὶ τὸ τῶν ἀνθρώπων τέλος ὡς ἰδιαζούσης ὂν φύσεως ἐξῃρῆσθαι τῆς τῶν ἄλλων κοινότητος· ἐπεὶ μηδὲ θεμιτὸν ταὐτὸν ὑποθέσθαι τέλος τῶν τε λογικῆς κρίσεως ἀμοιρούν-*

Ἀλλ' ἡ μὲν πληρεστέρα ἐξέτασις περὶ τούτων ἂς ἀφεθῇ δι' ὅσους θέλουν νὰ ἐρευνοῦν τὸ κάθε τι ἐμβριθέστερον ἢ νὰ διαγωνίζωνται γενναιότερον πρὸς τοὺς ἔχοντας διαφορετικὰς ἀπόψεις, ἡμεῖς δὲ δὲν ἔχομεν πλέον καιρὸν νὰ διατρίβωμεν περισσότερον μὲ τὰ ἴδια πράγματα, διότι μᾶς ἀρκοῦν τὰ μόλις τώρα λεχθέντα καὶ τὰ ἐν συμφωνίᾳ μὲ αὐτὰ ἐπιβεβαιοῦντα τὴν ἀνάστασιν· διότι δὲν ἔχομεν θέσει σκοπὸν νὰ μὴ παραλείψωμεν τίποτε ἀπὸ τὰ δυνάμενα νὰ λεχθοῦν, ἀλλὰ νὰ ὑποδείξωμεν εἰς τοὺς συνελθόντας κεφαλαιωδῶς τί πρέπει νὰ φρονοῦν περὶ τῆς ἀναστάσεως καὶ νὰ προσαρμόσωμεν εἰς τὴν δύναμιν τῶν παρόντων τὰς σκέψεις αἱ ὁποῖαι ὁδηγοῦν εἰς τοῦτο.

24 Ἐφ' ὅσον δὲ ἔχουν ἐξετασθῆ κάπως τὰ θέματα, ὑπολείπεται νὰ ἐξετάσωμεν τὸ ἐπιχείρημα ἐκ τοῦ τελικοῦ αἰτίου, τὸ ὁποῖον ἤδη διεφάνη ἀπὸ τὰ λεχθέντα, χρειάζεται δὲ τόσην μόνον ἐπιστασίαν καὶ ἀνάπτυξιν, ὥστε νὰ μὴ φανῇ ὅτι, ἀφήσας ἀμνημόνευτον κάτι ἀπὸ τὰ πρὸ ὀλίγου λεχθέντα, παρέβλαψα τὴν ὑπόθεσιν ἢ τὴν ἐξ ἀρχῆς γενομένην διαίρεσιν τοῦ θέματος. Ἐξ αἰτίας τούτων καὶ ἐξ αἰτίας ἐνδεχομένων παραπόνων δι' αὐτά, καλὸν θὰ ἦτο νὰ ἐπισημάνω τόσον μόνον, ὅτι πρέπει νὰ ὑπάρχῃ κατάλληλον τέλος εἰς ἕκαστον τῶν ἐκ φύσεως συγκροτηθέντων καὶ τῶν τεχνικῶς κατασκευασθέντων πραγμάτων, ὅπερ καὶ ἡ κοινὴ ὅλων ἔννοια διδάσκει ἡμᾶς καὶ τὰ στρεφόμενα πρὸ τῶν ὀφθαλμῶν μαρτυροῦν.

Πράγματι μήπως δὲν παρατηροῦμεν νὰ ὑπάρχῃ ἄλλο τέλος εἰς τοὺς γεωργούς, ἄλλο δὲ εἰς τοὺς ἰατρούς, καὶ πάλιν κάποιον ἄλλο εἰς τὰ φυόμενα ἀπὸ τὴν γῆν, ἄλλο δὲ εἰς τὰ τρεφόμενα ἀπὸ αὐτὴν ζῶα καὶ γεννώμενα κατὰ φυσικὴν ἀκολουθίαν; Ἐὰν δὲ τοῦτο εἶναι σαφὲς καὶ πρέπει πάντως εἰς τὰς φυσικὰς ἢ τεχνικὰς δυνάμεις καὶ εἰς τὰς ἐξ αὐτῶν ἐνεργείας νὰ ἕπεται φυσικὸν τέλος, τότε κατὰ πᾶσαν ἀνάγκην καὶ τῶν ἀνθρώπων τὸ τέλος, ὡς τέλος ἰδιαζούσης φύσεως, ὑπερεξαίρεται ἀπὸ τὴν γενικότητα τῶν ἄλλων. Διότι δὲν εἶναι ὀρθὸν νὰ ὑποθέτωμεν ὅτι ὑπάρχει τὸ ἴδιον τέλος καὶ εἰς τὰ στερούμενα λογικῆς κρίσεως

*των καὶ τῶν κατὰ τὸν ἔμφυτον νόμον καὶ λόγον ἐνεργούντων ἔμφρονί τε ζωῇ καὶ δίκῃ χρωμένων. Οὔτ' οὖν τὸ ἄλυπον οἰκεῖον τούτοις ἂν εἴη τέλος, μετείη γὰρ ἂν τούτου καὶ τοῖς παντελῶς ἀναισθητοῦσιν, ἀλλ' οὐδὲ τῶν τὸ σῶμα τρεφόντων ἢ τερπόντων ἀπόλαυσις καὶ πλῆθος ἡδονῶν· ἢ πρωτεύειν ἀνάγκη τὸν κτηνώδη βίον, ἀτελῆ δ' εἶναι τὸν κατ' ἀρετήν. Κτηνῶν γὰρ οἶμαι καὶ βοσκημάτων οἰκεῖον τοῦτο τέλος, οὐκ ἀνθρώπων ἀθανάτῳ ψυχῇ καὶ λογικῇ κρίσει χρωμένων.*

25 *Οὐ μὴν οὐδὲ μακαριότης ψυχῆς κεχωρισμένης σώματος· οὐδὲ γὰρ τὴν θατέρου τούτων ἐξ ὧν συνέστηκεν ἄνθρωπος ἐσκοποῦμεν ζωὴν ἢ τέλος, ἀλλὰ τοῦ συνεστῶτος ἐξ ἀμφοῖν· τοιοῦτος γὰρ πᾶς ὁ τόνδε τὸν βίον λαχὼν ἄνθρωπος καὶ δεῖ τῆς τούτου ζωῆς εἶναί τι τέλος οἰκεῖον. Εἰ δὲ τοῦ συναμφοτέρου τὸ τέλος, τοῦτο δὲ οὔτε ζώντων αὐτῶν ἔτι κατὰ τόνδε τὸν βίον εὑρεθῆναι δυνατὸν διὰ τὰς πολλάκις ἤδη ῥηθείσας αἰτίας οὔτε μὴν ἐν χωρισμῷ τυγχανούσης τῆς ψυχῆς, τῷ μηδὲ συνεστάναι τὸν τοιοῦτον ἄνθρωπον διαλυθέντος ἢ καὶ πάντῃ σκεδασθέντος τοῦ σώματος κἂν ἡ ψυχὴ διαμένῃ καθ' ἑαυτήν, ἀνάγκη πᾶσα κατ' ἄλλην τινὰ τοῦ συναμφοτέρου καὶ τοῦ αὐτοῦ ζώου σύστασιν τὸ τῶν ἀνθρώπων φανῆναι τέλος.*

*Τούτου δ' ἐξ ἀνάγκης ἑπομένου, δεῖ πάντως γενέσθαι τῶν νεκρωθέντων ἢ καὶ πάντῃ διαλυθέντων σωμάτων ἀνάστασιν καὶ τοὺς αὐτοὺς ἀνθρώπους συστῆναι πάλιν· ἐπειδή γε τὸ μὲν τέλος οὐχ ἁπλῶς οὐδὲ τῶν ἐπιτυχόντων ἀνθρώπων ὁ τῆς φύσεως τίθεται νόμος, ἀλλ' αὐτῶν ἐκείνων τῶν κατὰ τὴν προλαβοῦσαν ζωὴν βεβιωκότων, τοὺς δ' αὐτοὺς ἀνθρώπους συστῆναι πάλιν ἀμήχανον, μὴ τῶν αὐτῶν σωμάτων ταῖς αὐταῖς ψυχαῖς ἀποδοθέντων. Τὸ δ' αὐτὸ σῶμα τὴν αὐτὴν ψυχὴν ἀπολαβεῖν*

ὄντα καὶ εἰς τὰ ἐνεργοῦντα κατὰ τὸν ἔμφυτον νόμον καὶ λόγον, ἀπολαύουν δὲ ταῦτα ἐλλόγου ζωῆς καὶ δικαιοσύνης. Λοιπὸν οἰκεῖον τέλος δι' αὐτοὺς δὲν εἶναι οὔτε ἡ ἀλυπία, διότι θὰ μετεῖχον αὐτῆς καὶ τὰ ἐντελῶς ἀναίσθητα ὄντα, οὔτε ἡ ἀπόλαυσις τῶν πραγμάτων τὰ ὁποῖα τρέφουν ἢ τέρπουν τὸ σῶμα καὶ τὸ πλῆθος τῶν ἡδονῶν· ἄλλως εἶναι ἀνάγκη νὰ πρωτεύῃ ὁ κτηνώδης βίος, ὁ δὲ ἐνάρετος νὰ ὑστερῇ. Διότι νομίζω ὅτι τοῦτο εἶναι οἰκεῖον τέλος τῶν κτηνῶν καὶ τῶν βοσκημάτων, ὄχι ἀνθρώπων οἱ ὁποῖοι διαθέτουν ἀθάνατον ψυχὴν καὶ λογικὴν κρίσιν.

Δὲν νομίζω ἐπίσης ὅτι ὑπάρχει μακαριότης εἰς ψυχὴν χωρισμένην ἀπὸ τὸ σῶμα· διότι δὲν ἐξετάζομεν τὴν ζωὴν ἢ τὸ τέλος χωριστὰ τῶν δύο συστατικῶν ἀπὸ τὰ ὁποῖα ἀποτελεῖται ὁ ἄνθρωπος, ἀλλὰ τοῦ ἀποτελουμένου ἐκ τῶν δύο αὐτῶν. Εἶναι δὲ οὗτος ὁ ὅλος ἄνθρωπος εἰς τὸν ὁποῖον ἔλαχεν ὁ βίος οὗτος καὶ πρέπει νὰ ὑπάρχῃ οἰκεῖον τέλος εἰς τὴν ζωὴν τούτου. Ἐὰν δὲ τὸ τέλος ἀνήκῃ εἰς τὸν σύνολον ἄνθρωπον, τοῦτο δὲ δὲν εἶναι δυνατὸν νὰ εὑρεθῇ οὔτε ὅταν οὗτοι ζοῦν ἀκόμη κατὰ τὸν παρόντα βίον, διὰ τοὺς λόγους οἱ ὁποῖοι πολλάκις ἤδη ἐλέχθησαν, οὔτε βεβαίως ὅταν ἡ ψυχὴ εἶναι χωρισμένη, διότι ὁ τοιοῦτος ἄνθρωπος δὲν ὑφίσταται κἂν, ἀφοῦ διαλυθῇ ἢ καὶ τελείως διασκορπισθῇ τὸ σῶμα, ἀκόμη καὶ ἂν ἡ ψυχὴ διαμένῃ καθ' ἑαυτήν, κατὰ πᾶσαν ἀνάγκην τὸ τέλος τῶν ἀνθρώπων θὰ φανῇ εἰς κάποιαν ἄλλην κατάστασιν τοῦ συνόλου ἀνθρώπου πάντως παραμένοντος ἰδίου.

Ἐφ' ὅσον τοῦτο εἶναι ἀναγκαία συνέπεια, πρέπει πάντως νὰ ὑπάρξῃ ἀνάστασις τῶν νεκρωθέντων ἢ ἐντελῶς διαλυθέντων σωμάτων καὶ νὰ συσταθοῦν πάλιν οἱ ἴδιοι ἄνθρωποι, διότι ὁ νόμος τῆς φύσεως δὲν θέτει τέλος ἀπολύτως εἰς τοὺς τυχόντας ἀνθρώπους, ἀλλὰ εἰς ἐκείνους ἀκριβῶς οἱ ὁποῖοι ἔχουν ζήσει κατὰ τὴν προηγουμένην ζωήν, εἶναι δὲ ἀδύνατον νὰ συσταθοῦν πάλιν οἱ ἴδιοι ἄνθρωποι, ἐὰν δὲν ἀποδοθοῦν τὰ ἴδια σώματα εἰς τὰς ἰδίας ψυχάς. Τὸ νὰ εὕρῃ δὲ τὸ ἴδιον σῶμα τὴν ἰδίαν ψυχὴν

*ἄλλως μὲν ἀδύνατον, κατὰ μόνην δὲ τὴν ἀνάστασιν δυνατόν· ταύτης γὰρ γενομένης καὶ τὸ τῇ φύσει τῶν ἀνθρώπων πρόσφορον ἐπακολουθεῖ τέλος. Τέλος δὲ ζωῆς ἔμφρονος καὶ λογικῆς κρίσεως οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὸ τούτοις ἀπερισπάστως συνδιαιωνίζειν οἷς μάλιστα καὶ πρώτως ὁ φυσικὸς συνήρμοσται λόγος, τῇ τε θεωρίᾳ τοῦ δόντος καὶ τοῖς ἐκείνῳ δεδογμένοις ἀπαύστως ἐπαγάλλεσθαι· κἂν οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμπαθέστερον καὶ σφοδρότερον τοῖς τῇδε προσπεπονθότες ἄστοχοι τούτου διατελῶσιν. Οὐ γὰρ ἀκυροῖ τὴν κοινὴν ἀποκλήρωσιν τὸ πλῆθος τῶν ἀποπιπτόντων τοῦ προσήκοντος αὐτοῖς τέλους, ἰδιαζούσης τῆς ἐπὶ τούτοις ἐξετάσεως καὶ τῆς ἑκάστῳ συμμετρουμένης ὑπὲρ τῶν εὖ ἢ κακῶς βεβιωμένων τιμῆς ἢ δίκης.*

6 τοῖς ἐκείνῳ δεδογμένοις *X* τῶν ἐκείνῳ δεδογμένων *Π*
13 *ὑπότιτλος* Ἀθηναγόρου Περὶ Ἀναστάσεως *Π χεὶρ Βαάνους*

εἶναι ἀδύνατον ἄλλως, δυνατὸν δὲ μόνον μὲ τὴν ἀνάστασιν· διότι, ὅταν πραγματοποιηθῆ τοῦτο, ἀκολουθεῖ καὶ τὸ πρόσφορον εἰς τὴν φύσιν τῶν ἀνθρώπων τέλος. Τέλος δὲ ἔμφρονος ζωῆς καὶ λογικῆς κρίσεως θὰ ἠδύνατο νὰ εἴπη κανείς, χωρὶς νὰ κάμη λάθος, τὸ νὰ ζῆ αἰωνίως καὶ ἀδιακόπως μαζὶ μὲ ἐκείνας τὰς πραγματικότητας εἰς τὰς ὁποίας κατὰ κύριον καὶ πρῶτον λόγον ἔχει συναρμοσθῆ ὁ φυσικὸς λόγος, καὶ τὸ νὰ ἀγάλλεται ἀπαύστως μὲ τὴν θεωρίαν τοῦ δοτῆρος καὶ μὲ τὰ δόγματα αὐτοῦ, ἀκόμη καὶ ἂν οἱ περισσότεροι ἄνθρωποι, ἔχοντες ἐπιδοθῆ μὲ μεγαλύτερον καὶ σφοδρότερον πάθος εἰς τὰ ἐδῶ, μένουν διαπαντὸς ἔξω τοῦ στόχου τούτου. Βεβαίως τὸ πλῆθος τῶν ἀποτυγχανόντων νὰ φθάσουν τὸ προσῆκον εἰς αὐτοὺς τέλος δὲν ἀκυρώνει τὴν κοινὴν μοῖραν· ἡ ἐξέτασις μεταξὺ αὐτῶν ἐξατομικεύεται καὶ ἡ ἀμοιβὴ ἢ τιμωρία ἑκάστου κανονίζεται ἀναλόγως μὲ τὴν καλὴν ἢ κακὴν διαγωγήν του.

# ΘΕΟΦΙΛΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

# ΠΡΟΣ ΑΥΤΟΛΥΚΟΝ ΒΙΒΛΙΑ ΤΡΙΑ
# ΕΙΣΑΓΩΓΙΚΑ

## ΘΕΟΦΙΛΟΣ ΑΝΤΙΟΧΕΙΑΣ

### 1. ΒΙΟΣ

Ἔχων τὴν τύχην νὰ εἶναι ἐπίσκοπος, ὁ Θεόφιλος ἀπησχόλησεν εὐρύτερον τοὺς ἀρχαίους ἱστορικοὺς ἀπὸ ὅσον οἱ ἄλλοι ἀπολογηταί, ἐξαιρέσει τοῦ Ἰουστίνου, ἀλλὰ παρὰ ταῦτα ἡ χειρόγραφος παράδοσις δὲν ἐδείχθη εὐμενεστέρα εἰς αὐτόν, ἀφοῦ μόνον τρία ἀπὸ τὰ πολυάριθμα μαρτυρούμενα βιβλία του διετήρησε.

Κατὰ τὸν Εὐσέβιον ὑπῆρξεν ὁ ἕκτος ἐπίσκοπος Ἀντιοχείας, διαδεχθεὶς τὸν Ἔρωτα τὸ 169[1], ἐνῶ ὁ Ἱερώνυμος, ἔχων πάντοτε ὑπ' ὄψιν του δύο καταλόγους, κατὰ μὲν τὸν τοῦ Εὐσεβίου χαρακτηρίζει τοῦτον ἐπίσης ἕκτον, κατὰ δὲ τὸν ρωμαϊκόν, ὁ ὁποῖος ὑπελόγιζε καὶ τοὺς ἀποστόλους ὡς ἐπισκόπους, χαρακτηρίζει αὐτὸν ἕβδομον μὲ πρῶτον τὸν Πέτρον[2].

Διὰ τὸν πρὸ τῆς ἐπισκοπείας βίον του δὲν γνωρίζομεν τίποτε ἄλλο πλὴν ἐκείνων τὰ ὁποῖα ἴσως ὑπαινίσσεται ὁ ἴδιος εἰς τὸ σωζόμενον σύγγραμμά του. Πράγματι ἐκ τοῦ ὅτι, ἀναφέρων τοὺς ποταμοὺς Τίγρητα καὶ Εὐφράτην, λέγει ὅτι οὗτοι γειτνιάζουν «ἕως τῶν ἡμετέρων κλιμάτων»[3], συνάγεται μὲ κάποιαν πιθανότη-

---

1. *Ἐκκλ. Ἱστορία* 4, 20.

2. Τὸ πρῶτον εἰς *De viris illustribus* 25, τὸ δεύτερον εἰς *Epistola 121 ad Algasiam* 6.

3. *Πρὸς Αὐτόλυκον* 2,24.

*δύναται θερίσαι γεωργός, ἐὰν μὴ πρῶτον πιστεύσῃ τὸ σπέρμα τῇ γῇ; Ἢ τίς δύναται διαπερᾶσαι τὴν θάλασσαν, ἐὰν μὴ πρῶτον ἑαυτὸν πιστεύσῃ τῷ πλοίῳ καὶ τῷ κυβερνήτῃ; Τίς δὲ κάμνων δύναται θεραπευθῆναι, ἐὰν μὴ πρῶτον ἑαυτὸν πιστεύσῃ τῷ ἰατρῷ; Ποίαν δὲ τέχνην ἢ ἐπιστήμην δύναταί τις μαθεῖν, ἐὰν μὴ πρῶτον ἐπιδῷ ἑαυτὸν καὶ πιστεύσῃ τῷ διδασκάλῳ; Εἰ οὖν γεωργὸς πιστεύει τῇ γῇ καὶ ὁ πλέων τῷ πλοίῳ καὶ ὁ κάμνων τῷ ἰατρῷ, σὺ οὐ βούλει ἑαυτὸν πιστεῦσαι τῷ Θεῷ, τοσούτους ἀρραβῶνας ἔχων παρ' αὐτοῦ; Πρῶτον μὲν ὅτι ἐποίησέ σε ἐξ οὐκ ὄντος εἰς τὸ εἶναι· εἰ γὰρ ὁ πατήρ σου οὐκ ἦν οὐδὲ ἡ μήτηρ, πολὺ μᾶλλον οὐδὲ σὺ ἧς ποτε. Καὶ ἔπλασέ σε ἐξ ὑγρᾶς οὐσίας, μικρᾶς καὶ ἐλαχίστης ρανίδος, ἥτις οὐδὲ αὐτὴ ἦν ποτε· καὶ προήγαγέ σε ὁ Θεὸς εἰς τόνδε τὸν βίον. Εἶτα πιστεύεις τὰ ὑπὸ ἀνθρώπων γινόμενα ἀγάλματα θεοὺς εἶναι καὶ ἀρετὰς ποιεῖν, τῷ δὲ ποιήσαντί σε Θεῷ ἀπιστεῖς δύνασθαί σε καὶ μεταξὺ ποιῆσαι;*

## *ΨΕΥΔΕΙΣ ΘΕΟΙ ΚΑΙ ΑΛΗΘΙΝΟΣ*

9 *Καὶ τὰ μὲν ὀνόματα ὧν φῂς σέβεσθαι θεῶν ὀνόματά ἐστιν νεκρῶν ἀνθρώπων. Καὶ τούτων τίνων καὶ ποταπῶν; Οὐχὶ Κρόνος μὲν τεκνοφάγος εὑρίσκεται καὶ τὰ ἑαυτοῦ τέκνα ἀναλίσκων; Εἰ δὲ καὶ Δία τὸν παῖδα αὐτοῦ εἴποις, κατάμαθε κἀκείνου τὰς πράξεις καὶ τὴν ἀναστροφήν. Πρῶτον μὲν ὅτι ἐν Ἴδῃ ὑπὸ αἰγὸς ἀνετράφη, καὶ ταύτην σφάξας κατὰ τοὺς μύθους καὶ ἐκδείρας ἐποίησεν ἑαυτῷ ἔνδυμα. Τάς τε λοιπὰς πράξεις αὐτοῦ,*

---

23. Κοινὸς τόπος. βλ. ΨΕΥΔΙΟΥΣΤΙΝΟΥ, *Περὶ ἀναστάσεως* 5.

προηγεῖται ἡ πίστις; Ποῖος γεωργὸς δύναται νὰ θερίση, ἐὰν δὲν ἐμπιστευθῆ πρῶτον τὸ σπέρμα εἰς τὴν γῆν; Ἢ ποῖος δύναται νὰ διαπεράση τὴν θάλασσαν, ἐὰν δὲν ἐμπιστευθῆ πρῶτον ἑαυτὸν εἰς τὸ πλοῖον καὶ τὸν κυβερνήτην; Ποῖος ἄρρωστος δύναται νὰ θεραπευθῆ, ἐὰν δὲν ἐμπιστευθῆ πρῶτον τὸν ἑαυτόν του εἰς τὸν ἰατρόν; Ποίαν δὲ τέχνην ἢ ἐπιστήμην δύναται νὰ μάθη κανείς, ἐὰν δὲν ἀναθέση καὶ ἐμπιστευθῆ πρῶτον ἑαυτὸν εἰς τὸν διδάσκαλον; Ἐὰν λοιπὸν ὁ γεωργὸς ἐμπιστεύεται εἰς τὴν γῆν καὶ ὁ ταξιδιώτης εἰς τὸ πλοῖον καὶ ὁ ἄρρωστος εἰς τὸν ἰατρόν, σὺ δὲν θέλεις νὰ ἐμπιστευθῆς τὸν ἑαυτόν του εἰς τὸν Θεόν, ἔχων ἀπὸ αὐτὸν τόσας ὑποσχέσεις; Πρῶτον μὲν ὅτι σὲ ἔπλασεν ἐκ τοῦ μὴ ὄντος εἰς τὴν ὕπαρξιν· διότι ἐὰν δὲν ἦτο ὁ πατήρ σου καὶ ἡ μήτηρ σου, πολὺ περισσότερον οὔτε σὺ δὲν θὰ ἦσο καθόλου. Καὶ σὲ ἔπλασεν ἀπὸ ὑγρὰν οὐσίαν, ἀπὸ μίαν μικρὰν καὶ ἐλαχίστην ρανίδα[23], ἡ ὁποία δὲν ὑπῆρχε κάποτε οὔτε ἡ ἰδία· καὶ σὲ ὡδήγησεν ὁ Θεὸς εἰς τοῦτον τὸν βίον. Ἔπειτα πιστεύεις ὅτι τὰ ὑπὸ τῶν ἀνθρώπων κατασκευαζόμενα ἀγάλματα εἶναι θεοὶ καὶ ἐνεργοῦν θαύματα, ἀπιστεῖς δὲ εἰς τὸν ποιητήν σου Θεὸν ὅτι δύναται καὶ ἀργότερα νὰ σὲ ἀναπλάση;

## ΨΕΥΔΕΙΣ ΘΕΟΙ ΚΑΙ Ο ΑΛΗΘΙΝΟΣ

9 Καὶ τὰ μὲν ὀνόματα τῶν θεῶν τοὺς ὁποίους λέγεις ὅτι λατρεύεις εἶναι ὀνόματα νεκρῶν ἀνθρώπων[24]. Καὶ μάλιστα ποίων καὶ ποίας ἀξίας; Διότι ὁ Κρόνος δὲν εὑρίσκεται τεκνοφάγος, ὁ ὁποῖος κατεβρόχθιζε τὰ τέκνα του; Ἐὰν δὲ ἀναφέρης καὶ τὸν υἱὸν του Δία, μάθε καὶ ἐκείνου τὰς πράξεις καὶ τὴν διαγωγήν. Πρῶτον μὲν ὅτι ἀνετράφη εἰς τὴν Ἴδην ὑπὸ αἰγός, καὶ ἀφοῦ ἔσφαξε ταύτην κατὰ τοὺς μύθους καὶ ἐξέδαρε, κατεσκεύασε ἐξ

---

24. Κατὰ τὴν θεωρίαν τοῦ Εὐημέρου οἱ λατρευόμενοι ὡς θεοὶ εἶναι ἄνθρωποι ἀποθανόντες.

*περί τε ἀδελφοκοιτίας καὶ μοιχείας καὶ παιδοφθορίας, ἄμεινον Ὅμηρος καὶ οἱ λοιποὶ ποιηταὶ περὶ αὐτοῦ ἐξηγοῦνται. Τί μοι τὸ λοιπὸν καταλέγειν περὶ τῶν υἱῶν αὐτοῦ, Ἡρακλέα μὲν ἑαυτὸν καύσαντα, Διόνυσον δὲ μεθύοντα καὶ μαινόμενον, καὶ Ἀπόλλωνα τὸν Ἀχιλλέα δεδιότα καὶ φεύγοντα καὶ τῆς Δάφνης ἐρῶντα καὶ τὸν Ὑακίνθου μόρον ἀγνοοῦντα, ἢ Ἀφροδίτην τὴν τιτρωσκομένην, καὶ Ἄρεα τὸν βροτολοιγόν, ἔτι δὲ καὶ ἰχῶρα ῥέοντα τούτων τῶν λεγομένων θεῶν;*

*Καὶ ταῦτα μὲν μέτριον εἰπεῖν, ὅπου γε Θεὸς εὑρίσκεται μεμελισμένος ὁ καλούμενος Ὄσιρις, οὗ καὶ κατ' ἔτος γίνονται τελεταὶ ὡς ἀπολλυμένου καὶ εὑρισκομένου καὶ κατὰ μέλος ζητουμένου· οὔτε γὰρ εἰ ἀπόλλυται νοεῖται, οὔτε εἰ εὑρίσκεται δείκνυται. Τί δέ μοι λέγειν Ἄττην ἀποκοπτόμενον ὑπὸ συός, ἢ Ἀσκληπιὸν κεραυνούμενον, καὶ Σάραπιν τὸν ἀπὸ Σινώπης φυγάδα εἰς Ἀλεξάνδρειαν γεγονότα, ἢ τὴν Σκυθίαν Ἄρτεμιν καὶ αὐτὴν φυγάδα γεγονυῖαν καὶ ἀνδροφόρον καὶ κυνηγέτιν καὶ τοῦ Ἐνδυμίωνος ἐρασθεῖσαν; Ταῦτα γὰρ οὐχ ἡμεῖς φαμεν, ἀλλὰ οἱ καθ' ὑμᾶς συγγραφεῖς καὶ ποιηταὶ κηρύσσουσιν.*

10 *Τί μοι λοιπὸν καταλέγειν τὸ πλῆθος ὧν σέβονται ζώων Αἰγύπτιοι, ἑρπετῶν τε καὶ κτηνῶν καὶ θηρίων καὶ πετεινῶν καὶ ἐνύδρων νηκτῶν, ἔτι δὲ καὶ ποδόνιπτρα καὶ ἤχους αἰσχύνης;*

*Εἰ δὲ καὶ Ἕλληνας εἴποις καὶ τὰ λοιπὰ ἔθνη, σέβονται λίθους καὶ ξύλα καὶ τὴν λοιπὴν ὕλην, ὡς ἔφθημεν εἰρηκέναι, ἀπεικονίσματα νεκρῶν ἀνθρώπων. Φειδίας μὲν γὰρ εὑρίσκεται ἐν Πίσῃ ποιῶν Ἠλείοις τὸν Ὀλύμπιον Δία, καὶ Ἀθηναίοις ἐν ἀκροπόλει τὴν Ἀθηνᾶν. Πεύσομαι δέ σου κἀγώ, ὦ ἄνθρωπε, πόσοι Ζῆνες εὑρίσκονται· Ζεὺς μὲν γὰρ ἐν πρώτοις προσαγο-*

---

25. Βλ. ΠΛΟΥΤΑΡΧΟΥ, *Περὶ Ἴσιδος καὶ Ὀσίριδος* 13–18, 356A–358A.

26. Ὡς συγγραφεῖς ἐδῶ ἐννοοῦνται οἱ ἱστορικοί. Βλ. 2,12. «δοκεῖ δὲ τὰ ὑπὸ τῶν φιλοσόφων ἢ συγγραφέων καὶ ποιητῶν εἰρημένα ἀξιόπιστα εἶναι». Ἐπίσης καὶ 2,33.

αὐτῆς ἔνδυμα δι' ἑαυτόν. Τὰς λοιπὰς πράξεις αὐτοῦ, περὶ ἀδελφοκοιτίας, μοιχείας καὶ παιδοφθορίας, καλύτερον διηγοῦνται περὶ αὐτοῦ ὁ Ὅμηρος καὶ οἱ λοιποὶ ποιηταί. Τί χρειάζεται ἐν συνεχείᾳ νὰ μνημονεύσω τὰ περὶ τῶν υἱῶν αὐτοῦ τοῦ Ἡρακλέους ὁ ὁποῖος ἔκαυσεν ἑαυτόν, τοῦ Διονύσου ὁ ὁποῖος μεθύεται καὶ μαίνεται, τοῦ Ἀπόλλωνος ὁ ὁποῖος φοβούμενος τὸν Ἀχιλλέα ἔφευγε καὶ ἠρωτεύθη τὴν Δάφνην καὶ ἠγνόει τὸν θάνατον τοῦ Ὑακίνθου, ἢ τῆς Ἀφροδίτης ἡ ὁποία τραυματίζεται, καὶ τοῦ Ἄρεως τοῦ ἀνθρωποφθόρου, καθὼς ἐπίσης καὶ τὸν ἰχῶρα ὁ ὁποῖος ρέει ἀπὸ τοὺς λεγομένους τούτους θεούς.

Καὶ ταῦτα μὲν εἶναι ἐλάχιστα, ὅταν εὑρίσκεται θεὸς διαμελισμένος ὁ καλούμενος Ὄσιρις, τοῦ ὁποίου γίνονται κατ' ἔτος τελεταὶ ὡς ἀφανισθέντος καὶ εὑρισκομένου καὶ ἀναζητουμένου κατὰ τεμάχιον· διότι οὔτε ἐὰν ἀφανίζεται νοεῖται οὔτε ἐὰν εὑρίσκεται δεικνύεται[25]. Διατί δὲ νὰ ἀναφέρω τὸν Ἄττιν ἀκρωτηριαζόμενον ἢ τὸν Ἄδωνιν περιπλανώμενον εἰς τὸ δάσος καὶ κυνηγοῦντα καὶ τραυματιζόμενον ὑπὸ ἀγριοχοίρου ἢ τὸν Ἀσκληπιὸν κεραυνοβολούμενον καὶ τὸν Σάραπιν τὸν φυγάδα ἀπὸ τὴν Σινώπην, ὁ ὁποῖος ἐγκατεστάθη εἰς τὴν Ἀλεξάνδρειαν, ἢ τὴν Σκυθίαν Ἄρτεμιν, ἡ ὁποία ἦτο ἐπίσης φυγὰς καὶ ἀνδροφόνος καὶ κυνηγὸς καὶ ἠγάπησε τὸν Ἐνδυμίωνα; Ταῦτα δὲ δὲν λέγομεν ἡμεῖς, ἀλλὰ κηρύσσουν οἱ ἰδικοί σας συγγραφεῖς[26] καὶ ποιηταί.

10 Διατί τέλος ν' ἀπαριθμήσω τὸ πλῆθος τῶν ζώων τὰ ὁποῖα λατρεύουν οἱ Αἰγύπτιοι, τῶν ἑρπετῶν, τῶν κτηνῶν, τῶν θηρίων, τῶν πτηνῶν, τῶν ποταμίων νηκτῶν, προσέτι δὲ τὰ ποδόνεπτρα καὶ τοὺς αἰσχροὺς θορύβους;

Ἐὰν δὲ ἀναφέρῃς τοὺς Ἕλληνας καὶ τὰ λοιπὰ ἔθνη, λατρεύουν λίθους καὶ ξύλα καὶ ἄλλα ὑλικά, ὅπως πρὸ ὀλίγον εἴπομεν, ἀπεικονίσεις νεκρῶν ἀνθρώπων. Διότι ὁ μὲν Φειδίας εὑρίσκεται εἰς τὴν Πίσαν κατασκευάζων διὰ τοὺς Ἠλείους τὸν Ὀλύμπιον Δία καὶ εἰς τὴν ἀκρόπολιν διὰ τοὺς Ἀθηναίους τὴν Ἀθηνᾶν. Θὰ σὲ ἐρωτήσω δὲ καὶ ἐγώ, ὦ ἄνθρωπε, πόσοι Ζῆνες

ρεύεται Ὀλύμπιος καὶ Ζεὺς Λατεάριος καὶ Ζεὺς Κάσιος καὶ Ζεὺς Κεραύνιος καὶ Ζεὺς Προπάτωρ καὶ Ζεὺς Παννύχιος καὶ Ζεὺς Πολιοῦχος καὶ Ζεὺς Καπετώλιος. Καὶ ὁ μὲν Ζεὺς παῖς Κρόνου, βασιλεὺς Κρητῶν γενόμενος, ἔχει τάφον ἐν Κρήτῃ, οἱ δὲ λοιποὶ ἴσως οὐδὲ ταφῆς κατηξιώθησαν.

Εἰ δὲ καὶ εἴποις τὴν μητέρα τῶν λεγομένων θεῶν, μή μοι γένοιτο διὰ στόματος τὰς πράξεις αὐτῆς ἐξειπεῖν (ἀθέμιτον γὰρ ἡμῖν τὰ τοιαῦτα καὶ ὀνομάζειν), ἢ τῶν θεραπόντων αὐτῆς τὰς πράξεις ὑφ' ὧν θεραπεύεται, ὁπόσα τε τέλη καὶ εἰσφορὰς παρέχει τῷ βασιλεῖ αὐτή τε καὶ οἱ υἱοὶ αὐτῆς. Οὐ γάρ εἰσιν θεοί, ἀλλὰ εἴδωλα, καθὼς προειρήκαμεν, ἔργα χειρῶν ἀνθρώπων καὶ δαιμόνια ἀκάθαρτα. Γένοιντο δὲ τοιοῦτοι «οἱ ποιοῦντες αὐτὰ καὶ οἱ ἐλπίζοντες ἐπ' αὐτοῖς».

11 Τοιγαροῦν μᾶλλον τιμήσω τὸν βασιλέα, οὐ προσκυνῶν αὐτῷ, ἀλλὰ εὐχόμενος ὑπὲρ αὐτοῦ. Θεῷ δὲ τῷ ὄντως Θεῷ καὶ ἀληθεῖ προσκυνῶ, εἰδὼς ὅτι ὁ βασιλεὺς ὑπ' αὐτοῦ γέγονεν.

Ἐρεῖς οὖν μοι· διὰ τί οὐ προσκυνεῖς τὸν βασιλέα; Ὅτι οὐκ εἰς τὸ προσκυνεῖσθαι γέγονεν, ἀλλὰ εἰς τὸ τιμᾶσθαι τῇ νομίμῳ τιμῇ. Θεὸς γὰρ οὐκ ἔστιν, ἀλλὰ ἄνθρωπος ὑπὸ Θοεῦ τεταγμένος, οὐκ εἰς τὸ προσκυνεῖσθαι, ἀλλὰ εἰς τὸ δικαίως κρίνειν. Τρόπῳ γάρ τινι παρὰ Θεοῦ οἰκονομίαν πεπίστευται· καὶ γὰρ αὐτὸς οὓς ἔχει ὑφ' ἑαυτὸν τεταγμένους οὐ βούλεται βασιλεῖς καλεῖσθαι· τὸ γὰρ βασιλεὺς αὐτοῦ ἐστιν ὄνομα, καὶ οὐκ ἄλλῳ ἐξόν ἐστιν τοῦτο καλεῖσθαι· οὕτως οὐδὲ προσκυνεῖσθαι ἀλλ' ἢ μόνῳ Θεῷ. Ὥστε κατὰ πάντα πλανᾶσαι, ὦ ἄνθρωπε. Τὸν δὲ βασιλέα τίμα εὐνοῶν αὐτῷ, ὑποτασσόμενος αὐτῷ, εὐχόμενος ὑπὲρ αὐτοῦ. Τοῦτο γὰρ ποιῶν ποιεῖς τὸ θέλημα τοῦ Θεοῦ. Λέγει

27. Τάφος τοῦ Διὸς ἐδεικνύοντο ἐν Κρήτῃ, ΚΑΛΛΙΜΑΧΟΥ, *Ὕμνος εἰς Δία* 6 ἑ., ὅπου γίνεται λόγος περὶ ἀθανασίας αὐτοῦ.

ὑπάρχουν· διότι ἐν πρώτοις ὁ Ζεὺς ὀνομάζεται Ὀλύμπιος καὶ ἔπειτα Ζεὺς Λατεάριος, Ζεὺς Κάσιος, Ζεὺς Κεραύνιος, Ζεὺς Προπάτωρ, Ζεὺς Παννύχιος, Ζεὺς Πολιοῦχος, Ζεὺς Καπετώλιος. Καὶ ὁ μὲν Ζεύς, υἱὸς τοῦ Κρόνου, γενόμενος βασιλεὺς τῶν Κρητῶν, ἔχει τάφον εἰς τὴν Κρήτην[27], οἱ δὲ λοιποὶ ἴσως δὲν κατηξιώθησαν οὔτε ταφῆς.

Ἐὰν δὲ ἀναφέρῃς τὴν μητέρα τῶν λεγομένων θεῶν, νὰ μὴ φθάσω νὰ ἐκφέρω μὲ τὸ στόμα τὰς πράξεις αὐτῆς (διότι εἶναι ἀνεπίτρεπτον εἰς ἡμᾶς καὶ νὰ ὀνομάζωμεν τὰ τοιαῦτα) ἢ τὰς πράξεις τῶν λατρῶν αὐτῆς διὰ τῶν ὁποίων ὑπηρετεῖται, καθὼς καὶ πόσους φόρους καὶ εἰσφορὰς παρέχει εἰς τὸν βασιλέα αὐτὴ καὶ οἱ υἱοὶ αὐτῆς. Διότι δὲν εἶναι θεοὶ ἀλλ' εἴδωλα, ὅπως εἴπομεν προηγουμένως, ἔργα χειρῶν ἀνθρώπων καὶ δαιμόνια ἀκάθαρτα. Οἱ κατασκευάζοντες αὐτὰ καὶ οἱ ἐλπίζοντες εἰς αὐτὰ[28] εἴθε νὰ τοὺς ὁμοιάσουν.

11 Διὰ τοῦτο θὰ τιμῶ περισσότερον τὸν βασιλέα, ὄχι προσκυνῶν αὐτὸν ἀλλ' εὐχόμενος ὑπὲρ αὐτοῦ· προσκυνῶ δὲ τὸν Θεὸν τὸν ὄντως καὶ ἀληθῆ Θεόν, γνωρίζων ὅτι ὁ βασιλεὺς ἔγινεν ὑπ' αὐτοῦ.

Θὰ μοῦ εἴπῃς λοιπόν· διατί δὲν προσκυνεῖς τὸν βασιλέα; Ἐπειδὴ δὲν ἔγινε διὰ νὰ προσκυνῆται, ἀλλὰ διὰ νὰ τιμᾶται μὲ τὴν νόμιμον τιμήν· διότι δὲν εἶναι Θεός, ἀλλ' ἄνθρωπος τεταγμένος ὑπὸ τοῦ Θεοῦ, ὄχι διὰ νὰ προσκυνῆται ἀλλὰ διὰ νὰ κρίνῃ δικαίως. Κατά τινα τρόπον τοῦ ἔχει ἀνατεθῆ ὑπὸ τοῦ Θεοῦ ἡ διοίκησις, αὐτὸς δὲ δὲν θέλει νὰ καλοῦνται βασιλεῖς οἱ τελοῦντες ὑπὸ τὰς διαταγάς του, καθ' ὅσον ὁ ὅρος 'βασιλεὺς' εἶναι ὄνομα αὐτοῦ καὶ δὲν ἐπιτρέπεται νὰ καλῆται ἄλλος μὲ αὐτό· οὕτω δὲν ἐπιτρέπεται ἐπίσης νὰ προσκυνῆται ἄλλος παρὰ μόνον ὁ Θεός. Ὥστε καθ' ὅλα πλανᾶσαι, ὦ ἄνθρωπε. Τὸν δὲ βασιλέα τίμα μὲ εὐμενῆ διάθεσιν, ὑποτασσόμενος εἰς αὐτόν, εὐχόμενος ὑπὲρ αὐτοῦ. Πράττων τοῦτο ἐκτελεῖς τὸ θέλημα τοῦ Θεοῦ· διότι λέγει ὁ νόμος τοῦ Θεοῦ, «τίμα, υἱέ, τὸν Θεὸν καὶ τὸν βασιλέα,

28. Ψαλμ. 134,18.

*γὰρ ὁ νόμος ὁ τοῦ Θεοῦ, «τίμα υἱὲ Θεὸν καὶ βασιλέα, καὶ μηδενὶ αὐτῶν ἀπειθὴς ᾖς· ἐξαίφνης γὰρ τίσονται τοὺς ἐχθροὺς αὐτῶν».*

## *ΤΟ ΟΝΟΜΑ ΧΡΙΣΤΙΑΝΟΣ*

12 *Περὶ δὲ τοῦ σὲ καταγελᾶν μου καλοῦντά με Χριστιανόν, οὐκ οἶδας ὃ λέγεις. Πρῶτον μὲν ὅτι τὸ χριστὸν ἡδὺ καὶ εὔχρηστον καὶ ἀκαταγέλαστόν ἐστιν. Ποῖον γὰρ πλοῖον δύναται εὔχρηστον εἶναι καὶ σώζεσθαι, ἐὰν μὴ πρῶτον χρισθῇ; Ἢ ποῖος πύργος ἢ οἰκία εὔμορφος καὶ εὔχρηστός ἐστιν, ἐπὰν οὐ κέχρισται; Τίς δὲ ἄνθρωπος εἰσελθὼν εἰς τόνδε τὸν βίον ἢ ἀθλῶν οὐ χρίεται ἐλαίῳ; Ποῖον δὲ ἔργον ἢ κόσμιον δύναται εὐμορφίαν ἔχειν, ἐὰν μὴ χρισθῇ καὶ στιλβωθῇ; Εἶτα ἀὴρ μὲν καὶ πᾶσα ἡ ὑπ' οὐρανὸν τρόπῳ τινὶ χρίεται φωτὶ καὶ πνεύματι, σὺ δὲ οὐ βούλει χρισθῆναι ἔλαιον Θεοῦ; Τοιγαροῦν ἡμεῖς τούτου εἵνεκεν καλούμεθα Χριστιανοί, ὅτι χριόμεθα ἔλαιον Θεοῦ.*

## *Η ΑΝΑΣΤΑΣΙΣ*

13 *Ἀλλὰ καὶ τὸ ἀρνεῖσθαί σε νεκροὺς ἐγείρεσθαι (φῄς γάρ, 'δεῖξόν μοι κἂν ἕνα ἐγερθέντα ἐκ νεκρῶν, ἵνα ἰδὼν πιστεύσω'), πρῶτον μὲν τί μέγα, εἰ θεασάμενος τὸ γεγονὸς πιστεύσῃς; Εἶτα πιστεύεις μὲν Ἡρακλέα καύσαντα ἑαυτὸν ζῆν καὶ Ἀσκληπιὸν κερευνωθέντα ἐγηγέρθαι, τὰ δὲ ὑπὸ τοῦ Θεοῦ σοι λεγόμενα ἀπι-*

---

29. Παροιμ. 24,21 ἑ.

καὶ νὰ μὴ εἶσαι ἀπειθὴς εἰς κανένα ἐξ αὐτῶν· διότι θὰ τιμωρήσουν ἀμέσως τοὺς ἐχθροὺς αὐτῶν»[29].

## ΤΟ ΟΝΟΜΑ ΧΡΙΣΤΙΑΝΟΣ

12 Εἰς τὸ ὅτι μὲ περιγελᾶς, ὀνομάζων με Χριστιανόν, ἀπαντῶ ὅτι δὲν γνωρίζεις τί λέγεις. Πρῶτον μὲν διότι τὸ χριστὸν[30] εἶναι γλυκὺ καὶ εὔχρηστον καὶ σοβαρόν. Ποῖον πλοῖον δύναται νὰ εἶναι εὔχρηστον καὶ νὰ σώζεται, ἐὰν πρῶτον δὲν χρισθῇ; Ἢ ποῖος πύργος ἢ οἰκία εἶναι εὔμορφος καὶ εὔχρηστος, ἐὰν δὲν ἔχει χρισθῇ; Ποῖος δὲ ἄνθρωπος εἰσελθὼν εἰς τὸν βίον τοῦτον ἢ ἀθλῶν δὲν χρίεται μὲ ἔλαιον; Ποῖον δὲ ἔργον ἢ κόσμημα δύναται νὰ ἔχῃ εὐμορφίαν, ἐὰν δὲν χρισθῇ καὶ στιλβωθῇ; Ἔπειτα ὁ ἀὴρ καὶ ὅλη ἡ ὑπὸ τὸν οὐρανὸν χρίεται κατά τινα τρόπον μὲ τὸ φῶς καὶ τὸ πνεῦμα. Σὺ δὲ δὲν θέλεις νὰ χρισθῇς ἔλαιον Θεοῦ; Ὁπωσδήποτε ἡμεῖς καλούμεθα Χριστιανοὶ ἐξ αἰτίας τούτου, ὅτι χριόμεθα μὲ ἔλαιον τοῦ Θεοῦ.

## ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ ΝΕΚΡΩΝ

13 Ἀλλὰ καὶ σχετικῶς μὲ τὴν ἄρνησίν σου ὅτι ἐγείρονται νεκροὶ (διότι λέγεις, 'δεῖξέ μου ἔστω ἕνα ἐγερθέντα ἐκ νεκρῶν, διὰ νὰ ἴδω καὶ πιστεύσω'), πρῶτον μὲν τί σπουδαῖον εἶναι, ἐὰν πιστεύσῃς ἀφοῦ ἴδῃς τὸ γεγονός; Ἔπειτα πιστεύεις ὅτι ὁ Ἡρακλῆς αὐτοπυρποληθεὶς ζῇ καὶ ὁ Ἀσκληπιὸς κεραυνοβοληθεὶς ἠγέρθη, εἰς τὰ ὑπὸ τοῦ Θεοῦ δὲ λεγόμενα εἰς σὲ ἀπιστεῖς;

30. Καὶ πάλιν σύνδεσις Χριστοῦ καὶ χρηστοῦ. Βλ. ἀνωτέρω ΙΟΥΣΤΙΝΟΥ, *Α΄ Ἀπολογία* 4,1. ΑΘΗΝΑΓΟΡΟΥ, *Πρεσβεία* 2.

*στεῖς; Ἴσως κἂν ἐπιδείξω σοι νεκρὸν ἐγερθέντα καὶ ζῶντα, καὶ τοῦτο ἀπιστήσεις.*

*Ὁ μὲν οὖν Θεός σοι πολλὰ τεκμήρια ἐπιδείκνυσιν εἰς τὸ πιστεύειν αὐτῷ. Εἰ γὰρ βούλει, κατανόησον τὴν τῶν καιρῶν καὶ ἡμερῶν καὶ νυκτῶν τελευτήν, πῶς καὶ αὐτὰ τελευτᾷ καὶ ἀνίσταται. Τί δὲ καὶ οὐχὶ ἡ τῶν σπερμάτων καὶ καρπῶν γινομένη ἐξανάστασις, καὶ τοῦτο εἰς τὴν χρῆσιν τῶν ἀνθρώπων; Εἰ γὰρ τύχοι εἰπεῖν κόκκος σίτου ἢ τῶν λοιπῶν σπερμάτων, ἐπὰν βληθῇ εἰς τὴν γῆν, πρῶτον ἀποθνῄσκει καὶ λύεται, εἶτα ἐγείρεται καὶ γίνεται στάχυς. Ἡ δὲ τῶν δένδρων καὶ ἀκροδρύων φύσις, πῶς οὐχὶ κατὰ πρόσταγμα Θεοῦ ἐξ ἀφανοῦς καὶ ἀοράτου κατὰ καιροὺς προσφέρουσιν τοὺς καρπούς; Ἔτι μὴν ἐνίοτε καὶ στρουθίον ἢ τῶν λοιπῶν πετεινῶν, καταπιὸν σπέρμα μηλέας ἢ συκῆς ἤ τινος ἑτέρου, ἦλθεν ἐπί τινα λόφον πετρώδη ἢ τάφον καὶ ἀφώδευσεν, κἀκεῖνο δραξάμενον ἀνέφυ δένδρον, τό ποτε καταποθὲν καὶ διὰ τοσαύτης θερμασίας διελθόν. Ταῦτα δὲ πάντα ἐνεργεῖ ἡ τοῦ Θεοῦ σοφία, εἰς τὸ ἐπιδεῖξαι καὶ διὰ τούτων ὅτι δυνατός ἐστιν ὁ Θεὸς ποιῆσαι τὴν καθολικὴν ἀνάστασιν ἁπάντων ἀνθρώπων.*

*Εἰ δὲ καὶ θαυμασιώτερον θέαμα θέλεις θεάσασθαι γινόμενον πρὸς ἀπόδειξιν ἀναστάσεως, οὐ μόνον τῶν ἐπιγείων πραγμάτων ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ, κατανόησον τὴν ἀνάστασιν τῆς σελήνης τὴν κατὰ μῆνα γινομένην, πῶς φθίνει, ἀποθνῄσκει, ἀνίσταται πάλιν. Ἔτι ἄκουσον καὶ ἐν σοὶ αὐτῷ ἔργον ἀναστάσεως γινόμενον, κἂν ἀγνοεῖς, ὦ ἄνθρωπε. Ἴσως γάρ ποτε νόσῳ περιπεσὼν ἀπώλεσάς σου τὰς σάρκας καὶ τὴν ἰσχὺν καὶ τὸ εἶδος, ἐλέους δὲ τυχὼν παρὰ Θεοῦ καὶ ἰάσεως πάλιν ἀπέλαβές σου τὸ σῶμα καὶ τὸ εἶδος καὶ τὴν ἰσχύν· καὶ ὥσπερ οὐκ*

1 κἂν *X* καὶ *MB*

Ἴσως καὶ ἂν σοῦ ἐπιδείξω νεκρὸν ἐγερθέντα καὶ ζωντανόν, θὰ ἀπιστήσῃς καὶ εἰς τοῦτο.

Ὁ Θεὸς λοιπὸν σοῦ ἐπιδεικνύει πολλὰ τεκμήρια διὰ νὰ πιστεύῃς εἰς αὐτόν[31]. Διότι, ἐὰν θέλῃς, σκέψου τὴν τελευτὴν τῶν ἐποχῶν, τῶν ἡμερῶν καὶ νυκτῶν, πῶς καὶ αὐτὰ τελευτοῦν καὶ ἀνίστανται. Διατί δὲ νὰ μὴ ληφθῇ ὑπ' ὄψιν καὶ ἡ παρατηρουμένη ἀνάστασις τῶν σπερμάτων καὶ καρπῶν, καὶ μάλιστα εἰς τὴν χρῆσιν τῶν ἀνθρώπων; Διὰ νὰ χρησιμοποιήσωμεν τυχαίως παράδειγμα, κόκκος σίτου ἢ ἄλλων φυτῶν, ὅταν σπαρῇ εἰς τὴν γῆν, πρῶτον ἀποθνῄσκει καὶ διαλύεται, ἔπειτα ἐγείρεται καὶ γίνεται στάχυς[32]. Τὰ φυτὰ τῶν ἀγρίων δένδρων καὶ τῶν ὀπωροφόρων μήπως δὲν προσφέρουν τοὺς καρποὺς εἰς τὸν καιρὸν τῶν κατὰ πρόσταγμα τοῦ Θεοῦ, ἀφοῦ ἀναπτυχθοῦν ἀφανῶς καὶ ἀοράτως; Προσέτι ἐνίοτε καὶ στρουθίον ἢ ἄλλο πτηνόν, ἀφοῦ καταπίῃ σπέρμα μηλέας ἢ συκῆς ἢ κάποιου ἄλλου καρποῦ, ἔρχεται εἰς λόφον πετρώδη ἢ τάφον καὶ ἀφοδεύει, καὶ ἐκεῖνο ριζοβολεῖ καὶ φυτρώνει, αὐτὸ τὸ ὁποῖον διῆλθε διὰ μέσου τόσης θερμασίας. Ὅλα δὲ ταῦτα ἐνεργεῖ ἡ σοφία τοῦ Θεοῦ, διὰ νὰ ἐπιδείξῃ καὶ διὰ τούτων ὅτι ὁ Θεὸς εἶναι δυνατὸς νὰ πραγματοποιήσῃ τὴν καθολικὴν ἀνάστασιν ὅλων τῶν ἀνθρώπων.

Ἐὰν δὲ θέλῃς νὰ ἴδῃς γινόμενον καὶ θαυμαστότερον θέαμα πρὸς ἀπόδειξιν τῆς ἀναστάσεως, ὄχι μόνον ἐκ τῶν ἐπιγείων πραγμάτων ἀλλὰ ἐκ τῶν οὐρανίων, σκέψου τὴν ἀνάστασιν τῆς σελήνης ἡ ὁποία πραγματοποιεῖται κατὰ μῆνα, πῶς φθίνει, ἀποθνῄσκει, ἀνίσταται πάλιν. Ἄκουσε ἐπίσης ὅτι καὶ μέσα σου γίνεται ἔργον ἀναστάσεως, καὶ ἂν τὸ ἀγνοῇς, ὦ ἄνθρωπε. Διότι ἴσως κάποτε, περιπεσὼν εἰς ἀσθένειαν, ἔχασες τὰς σάρκας σου καὶ τὴν ἰσχὺν καὶ τὴν μορφήν, ἐπιτυχὼν δὲ ἔλεος καὶ ἴασιν παρὰ τοῦ Θεοῦ ἀνέκτησες πάλιν τὸ σῶμα καὶ τὴν μορφὴν καὶ

31. Βλ. ΚΛΗΜΕΝΤΟΣ, *Α' Κορινθίους* 24.
32. Βλ. Α' Κορ. 15, 37. Ἰω. 12,24.

*ἔγνως ποῦ ἐπορεύθησάν σου αἱ σάρκες ἀφανεῖς γενόμεναι, οὕτως οὐκ ἐπίστασαι οὐδὲ πόθεν ἐγένοντο ἢ πόθεν ἦλθον. Ἀλλὰ ἐρεῖς· ἐκ τροφῶν καὶ χυμῶν ἐξαιματουμένων. Καλῶς· ἀλλὰ καὶ τοῦτο ἔργον Θεοῦ τοῦ οὕτω δημιουργήσαντος, καὶ οὐκ ἄλλου τινός.*

## *ΣΥΝΟΨΙΣ*

14 *Μὴ οὖν ἀπίστει, ἀλλὰ πίστευε. Καὶ γὰρ ἐγὼ ἠπίστουν τοῦτο ἔσεσθαι, ἀλλὰ νῦν κατανοήσας αὐτὰ πιστεύω, ἅμα καὶ ἐντυχὼν ἱεραῖς γραφαῖς τῶν ἁγίων προφητῶν, οἳ καὶ προεῖπον διὰ Πνεύματος Θεοῦ τὰ προγεγονότα ᾧ τρόπῳ γέγονεν, καὶ τὰ ἐνεστῶτα τίνι τρόπῳ γίνεται, καὶ τὰ ἐπερχόμενα ποίᾳ τάξει ἀπαρτισθήσεται. Ἀπόδειξιν οὖν λαβὼν τῶν γινομένων καὶ προαναπεφωνημένων οὐκ ἀπιστῶ, ἀλλὰ πιστεύω πειθαρχῶν Θεῷ· ᾧ, εἰ βούλει, καὶ σὺ ὑποτάγηθι πιστεύων αὐτῷ, μὴ νῦν ἀπιστήσας πεισθῇς ἀνιώμενος τότε ἐν αἰωνίοις τιμωρίαις. Ὧν τιμωριῶν προειρημένων ὑπὸ τῶν προφητῶν μεταγενέστεροι γενόμενοι οἱ ποιηταὶ καὶ φιλόσοφοι ἔκλεψαν ἐκ τῶν ἁγίων γραφῶν, εἰς τὸ τὰ δόγματα αὐτῶν ἀξιόπιστα γενηθῆναι. Πλὴν καὶ αὐτοὶ προεῖπον περὶ τῶν κολάσεων τῶν μελλουσῶν ἔσεσθαι ἐπὶ τοὺς ἀσεβεῖς καὶ ἀπίστους, ὅπως ᾖ ἐμμάρτυρα πᾶσιν, πρὸς τὸ μὴ εἰπεῖν τινας ὅτι 'οὐκ ἠκούσαμεν οὐδὲ ἔγνωμεν'.*

*Εἰ δὲ βούλει, καὶ σὺ ἔντυχε φιλοτίμως ταῖς προφητικαῖς γραφαῖς, καὶ αὐταί σε τρανότερον ὁδηγήσουσιν πρὸς τὸ ἐκφυγεῖν τὰς αἰωνίους κολάσεις καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν τοῦ*

8 ἐντυχὼν *X* ἐπιτυχὼν *MB*
17 εἰς τὸ τὰ *X* εἰς τὰ *M* εἰς τὸ *B*

τὴν ἰσχύν· καὶ ὅπως δὲν ἔμαθες ποῦ ἐπῆγαν αἱ σάρκες ἐξαφανισθεῖσαι, οὕτω δὲν γνωρίζεις οὔτε ἀπὸ ποῦ ἔγιναν καὶ ἀπὸ ποῦ ἦλθον. Ἀλλὰ θὰ εἴπῃς, ἀπὸ τροφὰς καὶ χυμοὺς μεταβαλλομένους εἰς αἷμα. Καλῶς· ἀλλὰ καὶ τοῦτο εἶναι ἔργον τοῦ Θεοῦ ὁ ὁποῖος οὕτω ἐδημιούργησε, καὶ ὄχι κάποιου ἄλλου.

## ΕΠΙΛΟΓΟΣ

14 Μὴ ἀπιστῇς λοιπόν, ἀλλὰ πίστευε. Διότι καὶ ἐγὼ δὲν ἐπίστευον ὅτι θὰ συμβῇ τοῦτο, ἀλλὰ τώρα ἀντιληφθεὶς ταῦτα πιστεύω, ἀφοῦ ἐμελέτησα τὰς ἱερὰς Γραφὰς τῶν ἁγίων προφητῶν, οἱ ὁποῖοι καὶ προεῖπον διὰ τοῦ Πνεύματος τοῦ Θεοῦ τὰ προηγουμένως γενόμενα μὲ ὁποῖον τρόπον ἔγιναν, καὶ τὰ παρόντα μὲ ποῖον τρόπον γίνονται καὶ τὰ μέλλοντα μὲ ποίαν τάξιν θὰ πραγματοποιηθοῦν. Λαβὼν λοιπὸν ἀπόδειξιν τῶν γινομένων καὶ προαγγελθέντων δὲν ἀπιστῶ, ἀλλὰ πιστεύω πειθαρχῶν εἰς τὸν Θεόν[33], εἰς τὸν ὁποῖον, ἐὰν θέλῃς, ὑποτάξου καὶ σὺ πιστεύων εἰς αὐτόν, μήπως ἀπιστήσας τώρα πεισθεὶς τότε, ὅταν θὰ στενοχωρῆσαι μὲ τὰς αἰωνίας τιμωρίας. Τὰ σχετικὰ μὲ τὰς τιμωρίας ταύτας, προλεχθείσας ὑπὸ τῶν προφητῶν, ἔκλεψαν οἱ μεταγενεστέρως ζήσαντες ποιηταὶ καὶ φιλόσοφοι ἀπὸ τὰς Γραφάς, ὥστε νὰ γίνουν ἀξιόπιστα τὰ δόγματα αὐτῶν. Πλὴν ὅμως καὶ αὐτοὶ προεῖπον περὶ τῶν κολάσεων, αἱ ὁποῖαι ἐπρόκειτο νὰ ἐπιβληθοῦν εἰς τοὺς ἀσεβεῖς καὶ ἀπίστους, διὰ νὰ εἶναι ταῦτα δι' ὅλους μαρτυρημένα, ὥστε νὰ μὴ εἴπουν μερικοί, 'δὲν ἠκούσαμεν καὶ δὲν ἐγνωρίσαμεν'.

Ἐὰν δὲ θέλῃς, μελέτησε καὶ σὺ φιλοτίμως τὰς προφητικὰς Γραφὰς καὶ αὐταὶ θὰ σὲ ὁδηγήσουν καθαρώτερον διὰ ν' ἀποφύγῃς τὰς αἰωνίους κολάσεις καὶ ἐπιτύχῃς τὰ αἰώνια ἀγαθὰ

33. Αὐτοβιογραφικὸν τεμάχιον. Ὅπως συνέβη καὶ μὲ πολλοὺς ἄλλους ἀπολογητὰς τοῦ β' αἰῶνος, τὸν Ἰουστῖνον καὶ τὸν Ἀθηναγόραν ἰδίως, ὁ Θεόφιλος ἐπίστευσε κατόπιν μελέτης τῶν Γραφῶν.

*Θεοῦ. Ὁ γὰρ δοὺς στόμα εἰς τὸ λαλεῖν καὶ πλάσας οὖς εἰς τὸ ἀκούειν καὶ ποιήσας ὀφθαλμοὺς εἰς τὸ ὁρᾶν ἐξετάσει τὰ πάντα καὶ κρινεῖ τὸ δίκαιον, ἀποδιδοὺς ἑκάστῳ κατὰ ἀξίαν τὸν μισθόν. Τοῖς μὲν καθ' ὑπομονὴν διὰ ἔργων ἀγαθῶν ζητοῦσιν τὴν ἀφθαρσίαν δωρήσεται ζωὴν αἰώνιον, χαράν, εἰρήνην, ἀνάπαυσιν καὶ πλήθη ἀγαθῶν, «ὧν οὔτε ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη», τοῖς δὲ ἀπίστοις καὶ καταφρονηταῖς καὶ «ἀπειθοῦσιν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ», ἐπὰν ἐμφύρωνται μοιχείαις καὶ πορνείαις καὶ ἀρσενοκοιτίαις καὶ πλεονεξίαις καὶ ταῖς ἀθεμίτοις εἰδωλολατρίαις, ἔσται «ὀργὴ καὶ θυμός, θλῖψις καὶ στενοχωρία» καὶ τὸ τέλος τοὺς τοιούτους καθέξει πῦρ αἰώνιον. Ἐπειδὴ προσέθηκας, ὦ ἑταῖρε, 'δεῖξόν μοι τὸν Θεόν σου', οὗτός μου Θεός, καὶ συμβουλεύω σοι φοβεῖσθαι αὐτὸν καὶ πιστεύειν αὐτῷ.*

τοῦ Θεοῦ. Διότι αὐτός, ὁ ὁποῖος ἔδωσε στόμα διὰ νὰ ὁμιλῆ, ἔπλασεν οὖς διὰ νὰ ἀκούῃ, ἐποίησεν ὀφθαλμοὺς διὰ νὰ βλέπουν, θὰ ἐξετάσῃ τὰ πάντα καὶ θὰ κρίνῃ δικαίως, ἀποδίδων εἰς ἕκαστον ἐπαξίους μισθούς. Εἰς ἐκείνους οἱ ὁποῖοι ζητοῦν τὴν ἀφθαρσίαν μὲ ὑπομονὴν δι' ἔργων ἀγαθῶν θὰ δωρήσῃ ζωὴν αἰώνιον, χαράν, εἰρήνην, ἀνάπαυσιν καὶ πλήθη· ἀγαθῶν, «τὰ ὁποῖα οὔτε ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε εἰς καρδίαν ἀνθρώπου ἀνέβησαν»[34], εἰς τοὺς ἀπίστους δὲ καὶ καταφρονητὰς καὶ «ἀπειθοῦντας εἰς τὴν ἀλήθειαν, πειθομένους δὲ εἰς τὴν ἀδικίαν»[35], καθὼς συμφύρονται μὲ μοιχείας, πορνείας, ἀρσενοκοιτίας, πλεονεξίας, ἀθεμίτους εἰδωλολατρίας, θὰ εἶναι «ὀργὴ καὶ θυμός, θλῖψις καὶ στενοχωρία»[36]· τοὺς τοιούτους ἀνθρώπους εἰς τὸ τέλος θὰ καταλάβῃ τὸ αἰώνιον πῦρ. Ἐπειδή, ὦ φίλε, μὲ προεκάλεσες μὲ τοὺς λόγους, 'δεῖξέ μου τὸν Θεόν σου', αὐτὸς εἶναι ὁ Θεός μου καὶ σὲ συμβουλεύω νὰ φοβῆσαι αὐτὸν καὶ νὰ πιστεύῃς εἰς αὐτόν.

---

34. Α΄ Κορ. 2,9.
35. Ρωμ. 2,8.
36. Ρωμ. 2,8 ἑ.

## *ΒΙΒΛΙΟΝ Β'*

### *ΠΡΟΛΟΓΟΣ*

1 *Ἐπειδὴ πρὸ τούτων τῶν ἡμερῶν ἐγένετο λόγος ἡμῖν, ὦ ἀγαθώτατε Αὐτόλυκε, πυθομένου σου τίς μου ὁ Θεὸς καὶ δι' ὀλίγου παρασχόντος σου τὰ ὦτα τῇ ὁμιλίᾳ ἡμῖν, περὶ τῆς θεοσεβείας μου ἐξεθέμην σοι· ἔτι δὲ καὶ ἀποταξάμενοι ἑαυτοῖς μετὰ πλείστης φιλίας ἐπορεύθημεν ἕκαστος εἰς τὸν ἑαυτοῦ οἶκον, καίπερ σκληρῶς τὰ πρῶτά σου ἔχοντος πρὸς ἡμᾶς· οἶδας γὰρ καὶ μέμνησαι ὅτι ὑπέλαβες μωρίαν εἶναι τὸν λόγον ἡμῶν. Σοῦ οὖν μετὰ ταῦτα προτρεψαμένου με, κἂν ἰδιώτης ὦ τῷ λόγῳ, πλὴν βούλομαί σοι καὶ νῦν διὰ τοῦδε τοῦ συγγράμματος ἀκριβέστερον ἐπιδεῖξαι τὴν ματαιοπονίαν καὶ ματαίαν θρησκείαν ἐν ᾗ κατέχῃ, ἅμα καὶ δι' ὀλίγων τῶν κατὰ σὲ ἱστοριῶν ὧν ἀναγινώσκεις, ἴσως δὲ οὐδέπω γινώσκεις, τὸ ἀληθὲς φανερόν σοι ποιῆσαι.*

---

1. Ἐδῶ ὁ συνομιλητὴς εἶναι συγκεκριμμένον πρόσωπον, ὁ Αὐτόλυκος. Μετὰ τὴν συνάντησίν του πρὸς αὐτὸν ὁ Θεόφιλος τώρα γράφει διὰ πρώτην φοράν, ἄρα τὸ πρῶτον βιβλίον εἶναι ἀνεξάρτητον ἀπὸ τὸ παρόν.

## ΒΙΒΛΙΟΝ Β'

### ΠΡΟΛΟΓΟΣ

1 Ὅταν πρὸ ὀλίγων ἡμερῶν συνεζητήσαμεν, ἀγαθώτατε Αὐτόλυκε[1], ἀφοῦ σὺ ἐζήτησες νὰ μάθῃς ποῖος εἶναι ὁ Θεός μου, ἐγὼ σοῦ ἐξέθεσα περὶ τῆς θρησκείας μου καθὼς μοῦ ἀφιέρωσες δι' ὀλίγον χρόνον τὴν προσοχήν σου. Προσέτι, ἐχωρίσθημεν καὶ μετέβημεν ἕκαστος εἰς τὸν οἶκόν του μὲ πολλὴν φιλίαν, μολονότι ἀρχικῶς ἐφάνης σκληρὸς ἀπέναντι ἡμῶν· διότι γνωρίζεις καὶ ἐνθυμεῖσαι ὅτι ἐξέλαβες ὡς μωρίαν τὸν λόγον ἡμῶν[2]. Ἐπειδὴ λοιπὸν μετὰ ταῦτα μὲ προέτρεψες, καὶ ἂν ἀκόμη εἶμαι ἀμαθὴς εἰς τὴν τέχνην τοῦ λόγου, πλὴν ὅμως θέλω καὶ τώρα νὰ σοῦ ἐπιδείξω μὲ τὸ σύγγραμμα τοῦτο ἀκριβέστερον τὴν ματαιοπονίαν καὶ ματαίαν θρησκείαν, ἀπὸ τὴν ὁποίαν κυριαρχεῖσαι, συγχρόνως δὲ νὰ σοῦ φανερώσω τὴν ἀλήθειαν χρησιμοποιῶν καὶ ὀλίγας ἀπὸ τὰς ἰδικάς σου ἱστορίας τὰς ὁποίας ἀναγινώσκεις, ἴσως δὲ ποτὲ δὲν κατανοεῖς.

---

2. Βλ. Α' Κορ. 1,18 «ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν».

## *ΜΑΤΑΙΟΛΟΓΙΑ ΤΗΣ ΕΘΝΙΚΗΣ ΓΡΑΜΜΑΤΕΙΑΣ*

2 *Καὶ γὰρ γέλοιόν μοι δοκεῖ λιθοξόους μὲν καὶ πλάστας ἢ ζωγράφους ἢ χωνευτὰς πλάσσειν τε καὶ γράφειν καὶ γλύφειν καὶ χωνεύειν καὶ θεοὺς κατασκευάζειν, οἵ, ἐπὰν γένωνται ὑπὸ τῶν τεχνιτῶν, οὐδὲν αὐτοὺς ἡγοῦνται, ὅταν δὲ ἀγορασθῶσιν ὑπό τινων καὶ ἀνατεθῶσιν εἰς ναὸν καλούμενον ἢ οἶκόν τινα, τούτοις οὐ μόνον θύουσιν οἱ ὠνησάμενοι, ἀλλὰ καὶ οἱ ποιήσαντες καὶ πωλήσαντες ἔρχονται μετὰ σπουδῆς καὶ παρατάξεως θυσιῶν τε καὶ σπονδῶν εἰς τὸ προσκυνεῖν αὐτοῖς καὶ ἡγοῦνται θεοὺς αὐτούς, οὐκ εἰδότες ὅτι τοιοῦτοί εἰσιν ὁποῖοι καὶ ὅτε ἐγένοντο ὑπ' αὐτῶν, ἤτοι λίθος ἢ χαλκὸς ἢ ξύλον ἢ χρῶμα, ἢ καὶ ἑτέρα τις ὕλη. Τοῦτο δὴ καὶ ὑμῖν συμβέβηκε τοῖς ἀναγινώσκουσι τὰς ἱστορίας καὶ γενεαλογίας τῶν λεγομένων θεῶν. Ὁπόταν γὰρ ἐντυγχάνετε ταῖς γενέσεσιν αὐτῶν, ὡς ἀνθρώπους αὐτοὺς νοεῖτε· ὕστερον δὲ θεοὺς προσαγορεύετε καὶ θρησκεύετε αὐτοῖς, οὐκ ἐφιστάνοντες οὐδὲ συνιέντες ὅτι οἵους αὐτοὺς ἀνέγνωτε γεγονέναι τοιοῦτοι καὶ ἐγεννήθησαν.*

3 *Καὶ τῶν μὲν τότε θεῶν, εἴπερ ἐγεννῶντο, γένεσις πολλὴ ηὑρίσκετο, τὸ δὲ νῦν ποῦ θεῶν γένεσις δείκνυται; Εἰ γὰρ τότε ἐγέννων καὶ ἐγεννῶντο, δῆλον ὅτι ἐχρῆν καὶ ἕως τοῦ δεῦρο γίνεσθαι θεοὺς γεννητούς· εἰ δὲ μή γε, ἀσθενὲς τὸ τοιοῦτο νοηθήσεται· ἢ γὰρ ἐγήρασαν, διὸ οὐκ ἔτι γεννῶσιν, ἢ ἀπέθανον καὶ οὐκ ἔτι εἰσίν. Εἰ γὰρ ἐγεννῶντο θεοί, ἐχρῆν καὶ ἕως τοῦ δεῦρο γεννᾶσθαι, καθάπερ γὰρ καὶ ἄνθρωποι γεννῶνται· μᾶλλον δὲ καὶ πλείονες θεοὶ ὤφειλον εἶναι τῶν ἀνθρώπων, ὥς φησιν Σίβυλλα·*

12 ὑμῖν *E* ὑμνεῖν *MB*

## ΜΑΤΑΙΟΛΟΓΙΑ ΤΗΣ ΕΘΝΙΚΗΣ ΓΡΑΜΜΑΤΕΙΑΣ

2 Διότι μοῦ φαίνεται γελοῖον οἱ μὲν λιθοξόοι καὶ πλάσται ἢ ζωγράφοι ἢ χωνευταὶ νὰ πλάσσουν, νὰ ζωγραφίζουν, νὰ γλύφουν, νὰ χωνεύουν καὶ νὰ κατασκευάζουν θεούς, οἱ ὁποῖοι, ὅταν γίνουν ἀπὸ τοὺς τεχνίτας, δὲν τοὺς θεωροῦν τίποτε· ὅταν δὲ ἀγορασθοῦν καὶ ἀνατεθοῦν εἰς ἕνα καλούμενον ναὸν ἢ δι' ἕνα οἶκον, ὄχι μόνον θυσιάζουν εἰς αὐτοὺς οἱ ἀγορασταί, ἀλλὰ καὶ οἱ ποιήσαντες καὶ πωλήσαντες ἔρχονται μὲ ζῆλον καὶ μὲ παράταξιν θυσιῶν καὶ σπονδῶν διὰ νὰ τοὺς προσκυνήσουν καὶ τοὺς θεωροῦν θεούς, χωρὶς νὰ γνωρίζουν ὅτι εἶναι τοιοῦτοι ὁποῖοι καὶ ὅταν ἔγιναν ἀπὸ αὐτοὺς ἤτοι λίθος ἢ χαλκός, ἢ ξύλον, ἢ χρῶμα, ἢ καὶ κάποια ἄλλη ὕλη. Τοῦτο λοιπὸν συνέβη καὶ εἰς σᾶς οἱ ὁποῖοι ἀναγινώσκετε τὰς ἱστορίας καὶ γενεαλογίας τῶν λεγομένων θεῶν. Διότι ὁσάκις μελετᾶτε τὰς γενεαλογίας αὐτῶν, τοὺς ἐκλαμβάνετε ὡς ἀνθρώπους, ἔπειτα δὲ τοὺς ὀνομάζετε θεοὺς καὶ τοὺς λατρεύετε, χωρὶς νὰ προσέχετε καὶ νὰ καταλαμβάνετε ὅτι ἐγεννήθησαν τοιοῦτοι ὁποῖοι ἀνεγνώσατε ὅτι ἔγιναν.

3 Καὶ τῶν μὲν τότε θεῶν, ἐὰν ἐγεννῶντο, θὰ εὕρισκε κανεὶς μακρὰν γενεαλογικὴν γραμμήν· τώρα δὲ ποῦ δεικνύεται γένεσις θεῶν; Διότι ἐὰν ἐγέννων καὶ ἐγεννῶντο τότε, εἶναι φανερὸν ὅτι ἔπρεπε καὶ ἕως τώρα νὰ γίνωνται γεννητοὶ θεοί· ἄλλως, τὸ τοιοῦτο θὰ θεωρηθῇ ἀδυναμία· πράγματι ἢ θὰ ἐγήρασαν, διὸ δὲν γεννοῦν πλέον, ἢ ἀπέθανον καὶ δὲν ὑπάρχουν πλέον. Ἐὰν ἐγεννῶντο θεοί, ἔπρεπε νὰ γεννῶνται καὶ ἕως τώρα, καθὼς καὶ οἱ ἄνθρωποι γεννῶνται. Μᾶλλον δὲ θὰ ἔπρεπε νὰ ὑπάρχουν περισσότεροι θεοὶ ἀπὸ τοὺς ἀνθρώπους, ὅπως λέγει ἡ Σίβυλλα·

*«Εἰ δὲ θεοὶ γεννῶσι καὶ ἀθάνατοί γε μένουσι,*
*πλείονες ἀνθρώπων γεγενημένοι οἱ θεοὶ ἦσαν,*
*οὐδὲ τόπος στῆναι θνητοῖς οὐκ ἄν ποθ' ὑπῆρξεν».*

*Εἰ γὰρ ἀνθρώπων θνητῶν καὶ ὀλιγοχρονίων ὄντων τὰ γεννώμενα τέκνα ἕως τοῦ δεῦρο δείκνυται, καὶ οὐ πέπαυται τὸ μὴ γεννᾶσθαι ἀνθρώπους, διὸ πληθύουσι πόλεις καὶ κῶμαι, ἔτι μὴν καὶ χῶραι κατοικοῦνται, πῶς οὐχὶ μᾶλλον ἐχρῆν θεοὺς τοὺς μὴ ἀποθνήσκοντας κατὰ τοὺς ποιητὰς γεννᾶν καὶ γεννᾶσθαι, καθὼς φατε θεῶν γένεσιν γεγενῆσθαι;*

*Πρὸς τί δὲ τότε μὲν τὸ ὄρος τὸ καλούμενον Ὄλυμπος ὑπὸ θεῶν κατῳκεῖτο, νυνὶ δὲ ἔρημον τυγχάνει; Ἢ τίνος εἵνεκεν τότε μὲν ὁ Ζεὺς ἐν τῇ Ἴδῃ κατῴκει, νυνὶ δὲ ἀγνοεῖται; Διὰ τί δὲ καὶ οὐκ ἦν πανταχόσε, ἀλλὰ ἐν μέρει γῆς εὑρίσκετο; Ἢ γὰρ τῶν λοιπῶν ἠμέλει, ἢ ἀδύνατος ἦν τοῦ πανταχόσε εἶναι καὶ τῶν πάντων προνοεῖν. Εἰ γὰρ ἦν, εἰ τύχοι εἰπεῖν, ἐν τόπῳ ἀνατολικῷ, οὐκ ἦν ἐν τόπῳ δυτικῷ· εἰ δὲ αὖ πάλιν ἐν τοῖς δυτικοῖς ἦν, οὐκ ἦν ἐν τοῖς ἀνατολικοῖς. Θεοῦ δὲ τοῦ ὑψίστου καὶ παντοκράτορος καὶ τοῦ ὄντως Θεοῦ τοῦτό ἐστιν μὴ μόνον τὸ πανταχόσε εἶναι, ἀλλὰ καὶ πάντα ἐφορᾶν καὶ πάντων ἀκούειν, ἔτι μὴν μηδὲ τὸ ἐν τόπῳ χωρεῖσθαι· εἰ δὲ μή γε, μείζων ὁ χωρῶν τόπος αὐτοῦ εὑρεθήσεται· μεῖζον γάρ ἐστιν τὸ χωροῦν τοῦ χωρουμένου· Θεὸς γὰρ οὐ χωρεῖται, ἀλλὰ αὐτός ἐστι τόπος τῶν ὅλων. Πρὸς τί δὲ καὶ καταλέλοιπεν ὁ Ζεὺς τὴν Ἴδην· πότερον τελευτήσας, ἢ οὐκ ἔτι ἤρεσεν αὐτῷ ἐκεῖνο τὸ ὄρος; Ποῦ δὲ καὶ ἐπορεύθη; Εἰς οὐρανούς; Οὐχί. Ἀλλὰ ἐρεῖς εἰς Κρήτην; Ναί· ὅπου*

2 οἱ θεοὶ *Otto* οἱ δὲ *MB*

12 *μετὰ* κατῴκει *προστίθ.* ἐγινώσκετο οἰκῶν ἐκεῖ κατὰ τὸν Ὅμηρον καὶ τοὺς λοιποὺς ποιητὰς *M* καὶ ἐγινώσκετο...ποιητὰς *B ἐξοβελίζει ὡς γλώσσημα X*

«Ἐὰν δὲ οἱ θεοὶ γεννοῦν καὶ μένουν ἀθάνατοι,
περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους θὰ ἦσαν οἱ θεοί,
καὶ τόπος νὰ σταθοῦν οἱ θνητοὶ δὲν θὰ ὑπῆρχε πουθενά»[3].

Ἐὰν τῶν θνητῶν καὶ ὀλιγοχρονίων ἀνθρώπων τὰ γεννώμενα τέκνα δεικνύονται ἕως σήμερον καὶ δὲν ἔχει παύσει ἡ γέννησις ἀνθρώπων, διὸ εἶναι γεμᾶται ἀπὸ πληθυσμὸν πόλεις καὶ χωριά, ἀκόμη δὲ κατοικοῦνται καὶ αἱ ἐξοχαί, πῶς δὲν ἔπρεπε πολὺ περισσότερον οἱ μὴ ἀποθνήσκοντες κατὰ τοὺς ποιητὰς θεοὶ νὰ γεννοῦν καὶ νὰ γεννῶνται, ἀφοῦ λέγεται ὅτι ὑπάρχει γένεσις θεῶν;

Διὰ ποῖον λόγον δὲ τότε μὲν τὸ ὄρος τὸ καλούμενον Ὄλυμπος ὑπὸ θεῶν κατῳκεῖτο, τώρα δὲ εἶναι ἔρημον; Ἢ διὰ ποίαν αἰτίαν τότε μὲν ὁ Ζεὺς κατῴκει εἰς τὴν Ἴδην, τώρα δὲ ἀγνοεῖται; Διατί δὲ δὲν ἦτο πανταχοῦ, ἀλλ' εὑρίσκετο εἰς μέρος τῆς γῆς; Διότι οὕτω ἢ ἠδιαφόρει διὰ τὰ λοιπὰ ἢ ἦτο ἀνίκανος νὰ εὑρίσκεται πανταχοῦ καὶ νὰ προνοῇ τῶν πάντων. Ἐὰν πράγματι ἦτο, διὰ νὰ εἴπωμεν ὡς τυχαῖον παράδειγμα, εἰς ἀνατολικὸν τόπον, δὲν ἦτο εἰς δυτικὸν τόπον· ἐὰν δὲ πάλιν ἦτο εἰς τὰ δυτικά, δὲν ἦτο εἰς τὰ ἀνατολικά. Τοῦ δὲ ὑψίστου καὶ παντοκράτορος καὶ ὄντος Θεοῦ ἰδιότης εἶναι τοῦτο, ὄχι μόνον νὰ εἶναι πανταχοῦ, ἀλλὰ καὶ νὰ ἐποπτεύῃ τῶν πάντων καὶ νὰ ἀκούῃ τὰ πάντα[4], ἀκόμη βεβαίως καὶ νὰ μὴ χωρῆται εἰς ὡρισμένον τόπον· ἄλλως ὁ τόπος ὁ ὁποῖος τὸν χωρεῖ, θὰ εὑρεθεῖ μεγαλύτερος αὐτοῦ, διότι τὸ χωροῦν εἰναι μεγαλύτερον τοῦ χωρουμένου· ὁ Θεὸς ὅμως δὲν χωρεῖται, ἀλλὰ αὐτὸς εἶναι τόπος τῶν ὅλων. Διατί δὲ ἔχει ἐγκαταλείψει ὁ Ζεὺς τὴν Ἴδην, διὰ ποῖον λόγον; Διότι ἀπέθανεν ἢ διότι δὲν τοῦ ἤρεσε πλέον ἐκεῖνο τὸ ὄρος; Ποῦ δὲ μετέβη; Εἰς τοὺς οὐρανούς; Ὄχι. Ἀλλὰ θὰ εἴπης

3. Οἱ τρεῖς οὗτοι στίχοι τῶν Σιβυλλικῶν ἀπαντῶνται μόνον εἰς τὸν Θεόφιλον. Βλ. σχετικῶς εἰς ΚΩΝΣΤΑΝΤΙΝΟΥ, *Λόγος εἰς τὸν σύλλογον τῶν ἁγίων* 4.

4. Ταῦτα καὶ ὁ Ὅμηρος «Ἠελίου ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει», *Ὀδύσσεια* Λ 108.

*καὶ τάφος αὐτῷ ἕως τοῦ δεῦρο δείκνυται. Πάλιν φήσεις εἰς Πῖσαν, ὁ κλέων ἕως τοῦ δεῦρο τὰς χεῖρας Φειδίου. Ἔλθωμεν τοίνυν ἐπὶ τὰ συγγράμματα τῶν φιλοσόφων καὶ ποιητῶν.*

*Ἔνιοι μὲν ἀρνοῦνται καὶ τὸ ἐξ ὅλου Θεὸν εἶναι, ἤ, εἰ καὶ ἔστιν, μηδενός φασιν φροντίζειν τὸν Θεὸν πλὴν ἑαυτοῦ. Καὶ ταῦτα μὲν παντελῶς Ἐπικούρου καὶ Χρυσίππου ἡ ἄνοια ἀπεφήνατο. Ἕτεροι δέ φασιν αὐτοματισμὸν τῶν πάντων εἶναι, καὶ τὸν κόσμον ἀγένητον καὶ φύσιν ἀΐδιον, καὶ τὸ σύνολον πρόνοιαν μὴ εἶναι Θεοῦ ἐτόλμησαν ἐξειπεῖν, ἀλλὰ θεὸν εἶναι μόνον φασὶν τὴν ἑκάστου συνείδησιν. Ἄλλοι δ' αὖ τὸ δι' ὅλου κεχωρηκὸς πνεῦμα θεὸν δογματίζουσιν.*

*Πλάτων δὲ καὶ οἱ τῆς αἱρέσεως αὐτοῦ Θεὸν μὲν ὁμολογοῦσιν ἀγένητον καὶ πατέρα καὶ ποιητὴν τῶν ὅλων εἶναι· εἶτα ὑποτίθενται θεὸν καὶ ὕλην ἀγένητον, καὶ ταύτην φασὶν συνηκμακέναι τῷ Θεῷ. Εἰ δὲ Θεὸς ἀγένητος καὶ ὕλη ἀγένητος, οὐκ ἔτι ὁ Θεὸς ποιητὴς τῶν ὅλων ἐστὶν κατὰ τοὺς Πλατωνικούς, οὐδὲ μὴν μοναρχία Θεοῦ δείκνυται, ὅσον τὸ κατ' αὐτούς. Ἔτι δὲ καὶ ὥσπερ ὁ Θεός, ἀγένητος ὤν, καὶ ἀναλλοίωτός ἐστιν, οὕτως, εἰ καὶ ἡ ὕλη ἀγένητος ἦν, καὶ ἀναλλοίωτος καὶ ἰσόθεος ἦν· τὸ γὰρ γενητὸν τρεπτὸν καὶ ἀλλοιωτόν, τὸ δὲ ἀγένητον ἄτρεπτον καὶ ἀναλλοίωτον. Τί δὲ μέγα, εἰ ὁ Θεὸς ἐξ ὑποκειμένης ὕλης*

4 *μετὰ* ἔνιοι *προστίθ.* τῆς Στοᾶς *MB ἐξοβελίζει ὡς γλώσσημα Otto*
8 ἀΐδιον *Otto* ἴδιον *MB*

---

5. Ἀφοῦ ἐρωτᾶται ἐδῶ ἂν ὁ Ζεὺς ἐγκαταλείψας τὴν Ἴδην μετέβη εἰς τὴν Κρήτην, ὑποτίθεται ὅτι οὗτος διέμενεν εἰς τὴν Μ. Ἀσίαν καὶ ὄχι εἰς τὴν Κρήτην.

6. Ὅτι ἐδεικνύετο τάφος τοῦ Διός ἦτο κοινὸς τόπος τῶν Χριστιανῶν. Βλ. Τατιανου, *Λόγος πρὸς Ἕλληνας* 27. Κλημεντος Αλεξανδρεως, *Προτρεπτικὸς* 2,37,4. Ωριγενους, *Κατὰ Κέλσου* 3,43. Τερτυλλιανου, *Apologeticus* 25,7. Μινουκιου Φηλικος, *Octavius* 21,8. Τοῦτο ὅμως ἐπιστεύετο καὶ ἀπὸ

εἰς τὴν Κρήτην[5]; Ναί, ὅπου καὶ τάφος αὐτοῦ δεικνύεται ἕως τώρα[6]. Πάλιν θὰ εἴπης εἰς τὴν Πίσαν, δοξάζων ἕως τώρα τὰς χεῖρας τοῦ Φειδίου. Ἂς ἔλθωμεν εἰς τὰ συγγράμματα τῶν φιλοσόφων καὶ ποιητῶν.

4 Μερικοὶ μὲν ἀρνοῦνται καὶ τὸ ὅτι ὑπάρχει Θεὸς γενικῶς, ἤ, ἐὰν ὑπάρχη, λέγουν ὅτι δὲν φροντίζει διὰ τίποτε ἄλλο ὁ Θεὸς πλὴν ἑαυτοῦ· καὶ αὐτὰ μὲν ἀπεφάνθη γενικῶς ἡ ἄνοια τοῦ Ἐπικούρου καὶ τοῦ Χρυσίππου[7]. Ἄλλοι λέγουν ὅτι εἰς τὸ σύμπαν ὑπάρχει αὐτοματισμὸς καὶ ὅτι ὁ κόσμος εἶναι ἀγέννητος καὶ ἡ φύσις ἀΐδιος, γενικῶς δὲ ἐτόλμησαν νὰ ἐπιβεβαιώσουν ὅτι δὲν ὑπάρχει πρόνοια Θεοῦ, ἀλλὰ Θεὸς εἶναι κατὰ τὴν ἄποψίν των μόνον ἡ συνείδησις ἑκάστου. Ἄλλοι πάλιν δογματίζουν ὡς Θεὸν τὸ πνεῦμα τὸ ὁποῖον διήκει διὰ τοῦ σύμπαντος.

Ὁ δὲ Πλάτων καὶ οἱ ὀπαδοί του ὁμολογοῦν ὅτι ὑπάρχει Θεὸς ἀγέννητος, πατὴρ καὶ ποιητὴς τοῦ σύμπαντος· ἔπειτα ὅμως ὑποθέτουν ὅτι ἀγέννητος εἶναι ὄχι μόνον ὁ Θεὸς ἀλλὰ καὶ ἡ ὕλη, καὶ λέγουν ὅτι αὕτη ἤκμασε μαζὶ μὲ τὸν Θεόν. Ἐὰν δὲ ὁ Θεὸς εἶναι ἀγέννητος καὶ ἡ ὕλη ἀγέννητος, ὁ Θεὸς δὲν εἶναι πλέον ποιητὴς τοῦ σύμπαντος, κατὰ τοὺς Πλατωνικούς, οὔτε δύναται νὰ δειχθῆ ἡ μοναρχία τοῦ Θεοῦ, κατὰ τὴν ἄποψιν αὐτῶν. Προσέτι δέ, ὅπως ὁ Θεὸς ὡς ἀγέννητος εἶναι καὶ ἀναλλοίωτος, οὕτω καὶ ἡ ὕλη, ἂν ἦτο ἀγέννητος, θὰ ἦτο ἀναλλοίωτος καὶ ἰσόθεος· διότι τὸ γενητὸν εἶναι τρεπτὸν καὶ ἀλλοιωτόν, τὸ δὲ ἀγέννητον εἶναι ἄτρεπτον καὶ ἀναλλοίωτον. Τί εἶναι δὲ τὸ σπουδαῖον, ἂν ὁ Θεὸς

---

πολλοὺς ἐθνικούς, ὡς δεικνύει τὸ ἀνωτέρω μνημονευθὲν ποίημα τοῦ ΚΑΛΛΙΜΑΧΟΥ, *Ὕμνος εἰς Δία*.

«Ζεῦ, σὲ μὲν Ἰδαίοισιν ἐν οὔρεσί φασι γενέσθαι.
Ζεῦ, σὲ δ' ἐν Ἀρκαδίῃ· πότεροι πάτερ ἐψεύσαντο;
Κρῆτες ἀεὶ ψεῦσται· καὶ γὰρ τάφον, ὦ ἄνα σεῖο
Κρῆτες ἐτεκτήναντο· σὺ δ' οὐ θάνες· ἐσσὶ γὰρ ἀεί».

7. Ὁ Ἐπίκουρος καὶ οἱ ὀπαδοί του ἐδίδασκον ὅτι οἱ θεοί, ζῶντες εἰς τὰ μετακόσμια, ἀδιαφοροῦν διὰ τὸν κόσμον. Οἱ Στωϊκοὶ δὲν ἠρνοῦντο τὴν ὕπαρξιν τοῦ Θεοῦ, ἀλλὰ τὴν ὕπαρξιν προσωπικοῦ Θεοῦ, ἐκλαμβάνοντες αὐτὸν ὡς τὴν δύναμιν τὴν διήκουσαν διὰ τῶν μερῶν τοῦ σύμπαντος. Βραδύτερον ὅμως καὶ αὐτοὶ ἀπεδέχθησαν τὴν ὕπαρξιν προσωπικοῦ Θεοῦ.

*ἐποίει τὸν κόσμον; Καὶ γὰρ τεχνίτης ἄνθρωπος, ἐπὰν ὕλην λάβῃ ἀπό τινος, ἐξ αὐτῆς ὅσα βούλεται ποιεῖ. Θεοῦ δὲ ἡ δύναμις ἐν τούτῳ φανεροῦται ἵνα ἐξ οὐκ ὄντων ποιῇ ὅσα βούλεται, καθάπερ καὶ τὸ ψυχὴν δοῦναι καὶ κίνησιν οὐχ ἑτέρου τινός ἐστιν ἀλλ' ἢ μόνου Θεοῦ. Καὶ γὰρ ἄνθρωπος εἰκόνα μὲν ποιεῖ, λόγον δὲ καὶ πνοὴν ἢ αἴσθησιν οὐ δύναται δοῦναι τῷ ὑπ' αὐτοῦ γινομένῳ. Θεὸς δὲ τούτου πλεῖον τοῦτο κέκτηται, τὸ ποιεῖν λογικόν, ἔμπνουν, αἰσθητικόν. Ὥσπερ οὖν ἐν τούτοις πᾶσιν δυνατώτερός ἐστιν ὁ Θεὸς τοῦ ἀνθρώπου, οὕτω καὶ τῷ ἐξ οὐκ ὄντων ποιεῖν καὶ πεποιηκέναι τὰ ὄντα, καὶ ὅσα βούλεται καὶ ὡς βούλεται.*

5 *Ὥστε ἀσύμφωνός ἐστιν ἡ γνώμη κατὰ τοὺς φιλοσόφους καὶ συγγραφεῖς. Τούτων γὰρ ταῦτα ἀποφηναμένων, εὑρίσκεται ὁ ποιητὴς Ὅμηρος ἑτέρᾳ ὑποθέσει εἰσάγων γένεσιν οὐ μόνον κόσμου ἀλλὰ καὶ θεῶν. Φησὶν γάρ που·*

*«Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,*
*ἐξ οὗ δὴ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα».*

*Ἃ δὴ λέγων οὐκ ἔτι θεὸν συνιστᾷ. Τίς γὰρ οὐκ ἐπίσταται τὸν Ὠκεανὸν ὕδωρ εἶναι; Εἰ δὲ ὕδωρ, οὐκ ἄρα θεός. Ὁ δὲ Θεός, εἰ τῶν ὅλων ποιητής ἐστιν, καθὼς καὶ ἔστιν, ἄρα καὶ τοῦ ὕδατος καὶ τῶν θαλασσῶν κτίστης ἐστίν.*

*Ἡσίοδος δὲ καὶ αὐτὸς οὐ μόνον θεῶν γένεσιν ἐξεῖπεν, ἀλλὰ καὶ αὐτοῦ τοῦ κόσμου. Καὶ τὸν μὲν κόσμον γενητὸν εἰπὼν ἠτόνησεν εἰπεῖν ὑφ' οὗ γέγονεν. Ἔτι μὴν καὶ θεοὺς ἔφησεν Κρόνον καὶ τὸν ἐξ αὐτοῦ Δία, Ποσειδῶνά τε καὶ Πλούτωνα, καὶ τούτους μεταγενεστέρους εὑρίσκομεν τοῦ κόσμου. Ἔτι δὲ καὶ τὸν Κρόνον πολεμεῖσθαι ὑπὸ τοῦ Διὸς τοῦ ἰδίου παιδὸς ἱστορεῖ. Οὕτω γάρ φησιν·*

*«Κάρτεϊ νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα*

---

8. Ἰλιὰς Ξ 201.
9. Ἰλιὰς Φ 126.

ἐδημιούργει τὸν κὀσμον ἀπὸ ὑποκειμένην ὕλην; Διότι καὶ ὁ ἄνθρωπος τεχνίτης, ὅταν λάβη ὕλην ἀπὸ κάποιον ἄλλον, δημιουργεῖ ἐξ αὐτῆς ὅσα θέλει. Τοῦ Θεοῦ ὅμως ἡ δὔναμις εἰς τοῦτο φανερώνεται, εἰς τὸ νὰ δημιουργῆ ὅσα θέλει ἐξ οὐκ ὄντων, ὅπως καὶ τὸ νὰ δώση ψυχὴν καὶ κίνησιν δὲν ἀνήκει εἰς ἄλλον ἀλλὰ μόνον εἰς τὸν Θεὸν. Ὁ ἄνθρωπος κατασκευάζει εἰκὸνα, λὸγον ὅμως καὶ πνοὴν ἢ αἴσθησιν δὲν δὔναται νὰ δώση εἰς τὸ ὑπ' αὐτοῦ γενόμενον. Ὁ δὲ Θεὸς ἔχει περισσὸτερον ἀπὸ αὐτὸν τοῦτο, τὸ ὅτι κάμνει τὸ ποίημά του λογικὸν, ἔμπνουν, αἰσθητικόν. Ὅπως λοιπὸν εἰς ὅλα αὐτὰ ὁ Θεὸς εἶναι δυνατώτερος τοῦ ἀνθρώπου, οὕτω εἶναι ἀνώτερος καὶ εἰς τὸ νὰ κατασκευάζη καὶ νὰ ἔχη κατασκευάσει τὰ ὄντα, καὶ ὅσα θέλει καὶ ὅπως θέλει.

5 Ὥστε ἀσύμφωνοι εἶναι αἱ γνῶμαι καὶ τῶν φιλοσὸφων καὶ τῶν συγγραφέων. Ἐνῶ οὗτοι διακηρὔσσουν ταῦτα, εὑρίσκεται ὁ ποιητὴς Ὅμηρος ἐξηγῶν τὴν γένεσιν ὄχι μὸνον τοῦ κόσμου ἀλλὰ καὶ τῶν θεῶν κατ' ἄλλην ὑπόθεσιν. Λέγει κάπου·

«Τὸν Ὠκεανὸν, τὴν γένεσιν τῶν θεῶν, καὶ τὴν μητέρα Τηθὺν[8],
ἀπὸ ὅπου προέρχονται ὅλοι οἱ ποταμοὶ καὶ πᾶσα θάλασσα»[9].

Λέγων βεβαίως αὐτὰ δὲν συνιστᾶ πλέον Θεὸν. Διότι ποῖος δὲν γνωρίζει ὅτι ὁ Ὠκεανὸς εἶναι ὕδωρ; Ἐὰν δὲ εἶναι ὕδωρ, δὲν εἶναι Θεός. Ὁ δὲ Θεὸς, ἐὰν εἶναι ποιητὴς τῶν ὅλων, καθὼς καὶ εἶναι, ἄρα εἶναι κτίστης καὶ τοῦ ὕδατος καὶ τῶν θαλασσῶν.

Ὁ δὲ Ἡσίοδος ὄχι μὸνον διηγήθη καὶ αὐτὸς τῶν θεῶν τὴν γένεσιν ἀλλὰ καὶ αὐτοῦ τοῦ κόσμου. Καὶ ἐνῶ εἶπε γενητὸν τὸν κόσμον, δὲν κατώρθωσε νὰ εἴπη ἀπὸ ποῖον ἔγινεν. Προσέτι μάλιστα εἶπε θεοὺς τὸν Κρὸνον, τὸν υἱὸν του Δία, Ποσειδῶνα καὶ Πλούτωνα, τοὺς ὁποίους εὑρίσκομεν μεταγενεστέρους τοῦ κόσμου. Ἀκόμη δὲ ἱστορεῖ ὅτι ὁ Κρόνος ἐπολεμήθη ὑπὸ τοῦ υἱοῦ του Διὸς· λέγει πράγματι·

«νικήσας κατὰ κράτος τὸν Πατέρα Κρόνον, ἐτακτοποίησεν συγχρόνως

*ἀθανάτοις διέταξεν ὁμῶς καὶ ἐπέφραδε τιμάς».*

*Εἶτα ἐπιφέρει λέγων τὰς τοῦ Διὸς θυγατέρας, ἃς καὶ Μούσας προσαγορεύει, ὧν ἱκέτης εὑρίσκεται βουλόμενος μαθεῖν παρ' αὐτῶν τίνι τρόπῳ τὰ πάντα γεγένηται. Λέγει γάρ·*

*«Χαίρετε, τέκνα Διός, δότε δ' ἱμερόεσσαν ἀοιδήν.*
*Κλείετε δ' ἀθανάτων μακάρων γένος αἰὲν ἐόντων,*
*οἳ Γῆς ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος,*
*νυκτός τε δνοφερῆς, οὓς ἁλμηρὸς ἔτρεφε πόντος.*
*Εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ Γαῖα γένοντο,*
*καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θύων,*
*ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,*
*ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,*
*ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.*
*Ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι*
*ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅ,τι πρῶτον γένετ' αὐτῶν».*

*Πῶς δὲ ταῦτα ἠπίσταντο αἱ Μοῦσαι, μεταγενέστεραι οὖσαι τοῦ κόσμου; Ἢ πῶς ἠδύναντο διηγήσασθαι τῷ Ἡσιόδῳ, ὅπου δὴ ὁ πατὴρ αὐτῶν οὔπω γεγένηται;*

6 *Καὶ ὕλην μὲν τρόπῳ τινὶ ὑποτίθεται, εἰς κόσμου ποίησιν, λέγων·*

*«Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα*
*Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ*
*ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,*

19 εἰς *X* καὶ MB.

---

10. *Θεογονία* 73 ἑ.

11. *Θεογονία* 104–115, παραλειπομένου τοῦ στίχου 111, ὁ ὁποῖος ἐπίσης παραλείπεται καὶ εἰς μερικὰ χειρόγραφα, θεωρεῖται δὲ ὑπό τινων ὡς παρέμβλητος.

ὅλας τὰς ὑποθέσεις τῶν ἀθανάτων καὶ κατένειμε τὰς
τιμάς»[10].

Ἔπειτα προσθέτει μνείαν τῶν θυγατέρων τοῦ Διός, τὰς ὁποίας ὀνομάζει Μούσας καὶ τῶν ὁποίων εὑρίσκεται καὶ ἱκέτης θέλων νὰ μάθη ἀπὸ αὐτὰς μὲ ποῖον τρόπον ἔχουν γίνει τὰ πάντα. Λέγει·

«Χαίρετε, τέκνα Διός, καὶ δώσατέ μας θελκτικὸν
ᾆσμα.
Δοξάσατε τὸ γένος τῶν ἀθανάτων μακάρων οἱ ὁποῖοι
ζοῦν διαπαντός,
οἱ ὁποῖοι ἐγεννήθησαν ἀπὸ τὴν Γῆν καὶ τὸν ἀστερω-
πὸν Οὐρανόν,
καὶ ἀπὸ τὴν ζοφερὰν Νύκτα, τοὺς ὁποίους ἔτρεφεν ὁ
ἁλμυρὸς πόντος.
Εἴπατε δὲ πῶς κατὰ πρῶτον ἔγιναν οἱ θεοὶ καὶ ἡ Γῆ,
καὶ ποταμοὶ καὶ ἄπειρος πόντος, ὁ τρικυμισμένος,
τὰ λαμπερὰ ἄστρα καὶ ὁ εὐρὺς Οὐρανὸς ἐπάνω,
πῶς ἐμοίρασαν τὴν περιουσίαν καὶ πῶς διένειμαν
τὰς τιμάς,
καθὼς καὶ πῶς κατὰ πρῶτον κατέλαβον τὸν πολύ-
πτυχον Ὄλυμπον.
Ταῦτα εἴπατέ μου, Μοῦσαι, αἱ ὁποῖαι κατοικεῖτε εἰς
τὰ Ὀλύμπια δώματα
ἐξ ἀρχῆς, καὶ εἴπατε τί ἀπὸ αὐτὰ ἔγινε πρῶτον»[11].

Πῶς δὲ αἱ Μοῦσαι ἐγνώριζον ταῦτα, ἀφοῦ ἦσαν μεταγενέστεραι τοῦ κόσμου; Ἢ πῶς ἠδύναντο νὰ τὰ διηγηθοῦν εἰς τὸν Ἡσίοδον, ἀφοῦ δὲν εἶχε γίνει ἀκόμη ὁ πατήρ των;

6 Καὶ κατά τινα τρόπον θέτει ὡς βάσιν εἰς τὴν δημιουργίαν τοῦ κόσμου ὕλην, λέγων·

«Πράγματι εἰς τὴν ἀρχὴν ἔγινε τὸ χάος, ἔπειτα δὲ
ἡ εὐρύστερνος Γῆ, ἕδρα ἀσφαλὴς πάντοτε ὅλων
τῶν ἀθανάτων, οἱ ὁποῖοι κατέχουν τὴν κορυφὴν τοῦ
χιονισμένου Ὀλύμπου,

*Τάρταρά τ' ἠερόεντα, μυχὸν χθονὸς εὐρυοδείης,*
*ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,*
*λυσιμελής, πάντων τε θεῶν πάντων τ' ἀνθρώπων*
*δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.*
*Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο.*
*Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑωυτῇ*
*Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,*
*ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί·*
*γείνατο δ' οὔρεα μακρά, θεῶν χαρίεντας ἐναύλους*
*νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα·*
*ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θῦον,*
*πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα*
*Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην».*

*Καὶ ταῦτα εἰπὼν οὐδὲ οὕτως ἐδήλωσεν ὑπὸ τίνος ἐγένοντο. Εἰ γὰρ ἐν πρώτοις ἦν Χάος, καὶ ὕλη τις προϋπέκειτο ἀγένητος οὖσα, τίς ἄρα ἦν ὁ ταύτην μετασκευάζων καὶ μεταρρυθμίζων καὶ μεταμορφῶν; Πότερον αὐτὴ ἑαυτὴν ἡ ὕλη μετεσχημάτιζε καὶ ἐκόσμει; Ὁ γὰρ Ζεὺς μετὰ χρόνον πολὺν γεγένηται, οὐ μόνον τῆς ὕλης ἀλλὰ καὶ τοῦ κόσμου καὶ πλήθους ἀνθρώπων· ἔτι μὴν καὶ ὁ πατὴρ αὐτοῦ Κρόνος. Ἢ μᾶλλον ἦν κύριόν τι τὸ ποιῆσαν αὐτήν, λέγω δὲ Θεός, ὁ καὶ κατακοσμήσας αὐτήν; Ἔτι*

9 γείνετο *BV*
9–10 θεῶν χαρίεντας ἐναύλους Νυμφέων, αἳ ναίουσιν *Ἡσίοδος* θεὰν χαρίεσσαν ἐν αὐτοῖς νῦν φωναὶ νέουσιν *MB*.

---

12. Μετὰ τὴν λέξιν Νὺξ παραλείπονται δύο στίχοι ἐν συνεχείᾳ (124 καὶ 125), ὁ δεύτερος τῶν ὁποίων ἀπορρίπτεται ὑπό τινων ὡς νόθος.
13. *Θεογονία* 116–133 (πλὴν τῶν στίχων 124 καὶ 125).

καὶ τὰ σκοτεινὰ Τάρταρα, εἰς τὸν μυχὸν τῆς εὐρυ-
δρόμου χθονός,
καὶ ὁ Ἔρως, ὁ ὡραιότερος μεταξὺ τῶν ἀθανάτων
θεῶν,
ὁ παραλύων τὰ μέλη, ὁ ὁποῖος εἰς ὅλων τῶν θεῶν
καὶ ἀνθρώπων
τὰ στήθη δαμάζει τὸν νοῦν καὶ τὴν φρόνιμον σκέ-
ψιν.
Ἀπὸ τὸ χάος δὲ ἔγιναν τό Ἔρεβος καὶ ἡ μαύρη
Νύξ[12].
Ἡ δὲ Γῆ κατὰ πρῶτον ἐγέννησεν ἴσον μὲ ἑαυτὴν
τὸν ἀστερωπὸν Οὐρανόν, διὰ νὰ τὴν καλύπτη εἰς ὅλα
τὰ σημεῖα,
ὥστε νὰ εἶναι πάντοτε ἀσφαλὴς ἕδρα εἰς τοὺς μάκα-
ρας θεούς.
Ἔπειτα ἐγέννησε τὰ ὑψηλὰ ὄρη, τὰ χαριτωμένα κα-
τοικητήρια
τῶν θείων Νυμφῶν, αἱ ὁποῖαι διαμένουν εἰς τὰ δα-
σώδη ὄρη.
Ἐγέννησεν ἐπίσης τὸ ἀνήσυχον πέλαγος, τὸ τρικυμι-
σμένον,
τὸν πόντον, χωρὶς ἡδονικὸν πόθον· ἀλλ' ἔπειτα
κοιμηθεῖσα μὲ τὸν Οὐρανὸν ἐγέννησε τόν Ὠκεα-
νόν»[13].

Καὶ ἀφοῦ εἶπε ταῦτα δὲν ἐδήλωσεν οὔτε τότε ὑπὸ ποίου ἔγιναν. Διότι, ἐὰν ἐν πρώτοις ἦτο τὸ χάος καὶ προϋπέκειτο κάποια ὕλη ἀγένητος, ποῖος λοιπὸν ἦτο ὁ μετασκευάζων καὶ μεταρρυθμίζων καὶ μεταμορφώνων αὐτήν; Ἄραγε αὐτὴ ἡ ὕλη μετεσχημάτιζε καὶ ἐκόσμει ἑαυτήν; Διότι ὁ Ζεὺς ἐγεννήθη μετὰ πολὺν χρόνον, ὄχι μόνον μετὰ τὴν ὕλην ἀλλὰ καὶ μετὰ τὸν κόσμον καὶ πλῆθος ἀνθρώπων· ἀκόμη μάλιστα καὶ ὁ πατὴρ αὐτοῦ Κρόνος. Ἢ μᾶλλον κάτι τὸ κυρίαρχον ἦτο ἐκεῖνο τὸ ὁποῖον τὴν κατεσκεύασε, ἐννοῶ τὸν Θεὸν ὁ ὁποῖος τὴν κατεκόσμησεν;

*μὴν κατὰ πάντα τρόπον φλυαρῶν εὑρίσκεται καὶ ἐναντία ἑαυτῷ λέγων. Εἰπὼν γὰρ γῆν καὶ οὐρανὸν καὶ θάλασσαν ἐξ αὐτῶν τοὺς θεοὺς βούλεται γεγονέναι, καὶ ἐκ τούτων ἀνθρώπους δεινοτάτους τινὰς συγγενεῖς θεῶν καταγγέλλει, Τιτάνων γένος καὶ Κυκλώπων καὶ Γιγάντων πληθύν, τῶν τε κατὰ Αἴγυπτον δαιμόνων, ἢ ματαίων ἀνθρώπων, ὡς μέμνηται Ἀπολλωνίδης, ὁ καὶ Ὀράπιος ἐπικληθείς, ἐν βίβλῳ τῇ ἐπιγραφομένῃ Σεμενουθὶ καὶ ταῖς λοιπαῖς κατ' αὐτὸν ἱστορίαις περί τε τῆς θρησκείας τῆς αἰγυπτιακῆς καὶ τῶν βασιλέων αὐτῶν.*

7 *Τί δέ μοι λέγειν τοὺς κατὰ Ἕλληνας μύθους καὶ τὴν ἐν αὐτοῖς ματαιοπονίαν, Πλούτωνα μὲν σκότους βασιλεύοντα, καὶ Ποσειδῶνα ὑπὸ πόντον δύνοντα καὶ τῇ Μελανίππῃ περιπλεκόμενον καὶ υἱὸν ἀνθρωποβόρον γεννήσαντα, ἢ περὶ τῶν τοῦ Διὸς παίδων ὁπόσα οἱ συγγραφεῖς ἐτραγῴδησαν; Καὶ ὅτι οὗτοι ἄνθρωποι καὶ οὐ θεοὶ ἐγεννήθησαν, τὸ γένος αὐτῶν αὐτοὶ καταλέγουσιν. Ἀριστοφάνης δὲ ὁ κωμικὸς ἐν ταῖς ἐπιγραφομέναις "Ὄρνισιν", ἐπιχειρήσας περὶ τῆς τοῦ κόσμου ποιήσεως, ἔφη ἐν πρώτοις ᾠὸν γεγενῆσθαι τὴν σύστασιν τοῦ κόσμου, λέγων·*

*«Πρώτιστα τεκὼν μελανόπτερος ᾠόν».*

*Ἀλλὰ καὶ Σάτυρος ἱστορῶν τοὺς δήμους Ἀλεξανδρέων, ἀρξάμενος ἀπὸ Φιλοπάτορος τοῦ καὶ Πτολεμαίου προσαγορευθέντος, τούτου μηνύει Διόνυσον ἀρχηγέτην γεγονέναι· διὸ καὶ φυλὴν ὁ Πτολεμαῖος πρώτην κατέστησεν διονυσίαν. Λέγει οὖν ὁ Σάτυρος οὕτω· «Διονύσου καὶ Ἀλθαίας τῆς Θεστίου γεγενῆσθαι Δηϊάνειραν, τῆς δὲ καὶ Ἡρακλέους τοῦ Διὸς Ὕλλον, τοῦ δὲ Κλεόδημον, τοῦ δὲ Ἀριστόμαχον, τοῦ δὲ Τήμενον, τοῦ δὲ Κεῖ-*

10–11 καὶ τὴν ἐν αὐτοῖς ματαιοπονίαν *μετὰ* βασιλέων αὐτῶν *MB μεταφέρει ἐνταῦθα Maran*

Ἐξ ἄλλου εὑρίσκεται νὰ φλυαρῆ κατὰ πάντα τρόπον καὶ ἀντιφάσκων πρὸς αὐτόν. Εἰπὼν γῆν καὶ οὐρανὸν καὶ θάλασσαν θέλει νὰ ἔχουν γίνει ἀπὸ αὐτὰ οἱ θεοὶ καὶ ἐπισημαίνει μερικοὺς δεινοτάτους συγγενεῖς θεῶν, τὸ γένος τῶν Τιτάνων καὶ τὰ πλήθη τῶν Κυκλώπων καὶ Γιγάντων, τῶν δαιμόνων εἰς τὴν Αἴγυπτον ἢ ματαίων ἀνθρώπων[14], ὅπως μνημονεύει ὁ Ἀπολλωνίδης, ὁ ὀνομασθεὶς καὶ Ὁράπιος, εἰς τὸ βιβλίον του τὸ ἐπιγραφόμενον Σεμενουθὶ καὶ εἰς τὰ ἄλλα ἱστορικά του βιβλία περὶ τῆς αἰγυπτιακῆς θρησκείας καὶ τῶν βασιλέων τῆς Αἰγύπτου.

7 Τί χρειάζεται νὰ ἀναφέρω τοὺς μύθους τῶν Ἑλλήνων καὶ τὴν ματαιότητα αὐτῶν, τὸν Πλούτωνα βασιλέα τοῦ σκότους, τὸν Ποσειδῶνα κυρίαρχον τοῦ πόντου ὁ ὁποῖος ἑνωθεὶς μὲ τὴν Μελανίππην ἐγέννησεν ἀνθρωποβόρον υἱὸν ἢ ὅσα ἐτραγώδησαν οἱ συγγραφεῖς περὶ τῶν τέκνων τοῦ Διός; Καὶ ὅτι οὗτοι ἐγεννήθησαν ἄνθρωποι καὶ ὄχι θεοί, αὐτοὶ οἱ ἴδιοι παραθέτουν τὴν γενεαλογίαν των. Ὁ δὲ Ἀριστοφάνης ὁ κωμικὸς εἰς τὴν κωμωδίαν τὴν ἐπιγραφομένην Ὄρνιθες, ἐπιληφθεὶς τοῦ θέματος τῆς δημιουργίας τοῦ κόσμου, εἶπεν ὅτι ἐν πρώτοις ἡ σύστασις τοῦ κόσμου περιελήφθη εἰς ᾠόν·

«Πρώτιστα ἐγέννησεν ᾠὸν ἡ μελανόπτερος»[15].

Ἀλλὰ καὶ ὁ Σάτυρος, ὁ ἱστορικὸς τῶν δήμων τῶν Ἀλεξανδρέων, ἐκκινῶν ἀπὸ τὸν Φιλοπάτορα, τὸν λεγόμενον ἐπίσης Πτολεμαῖον, δεικνύει ὅτι γενάρχης αὐτοῦ ὑπῆρξεν ὁ Διόνυσος· διὸ καὶ πρώτην φυλὴν ὥρισεν ὁ Πτολεμαῖος τὴν Διονυσίαν. Λέγει λοιπὸν ὁ Σάτυρος ταῦτα· «Ἀπὸ τὸν Διόνυσον καὶ τὴν Ἀλθαίαν τοῦ Θεστίου ἐγεννήθη ἡ Δηϊάνειρα, ἀπὸ αὐτὴν καὶ τὸν Ἡρακλῆν τοῦ Διὸς ὁ Ὕλλος, ἀπὸ αὐτὸν ὁ Κλεόδημος, ἀπὸ αὐτὸν ὁ Ἀριστόμαχος, ἀπὸ αὐτὸν ὁ Τήμενος, ἀπὸ αὐτὸν ὁ Κεῖσος,

14. Τὸ κείμενον εἶναι ἐφθαρμένον, προφανῶς δὲ ἀντὶ «ματαίων ἀνθρώπων» ἐγράφετο κάτι ἄλλο. Ἡ διόρθωσις τοῦ Otto εἰς «ἡμιθέων» δὲν ἀποκαθιστᾶ τὴν ἔννοιαν καλῶς.

15. *Ὄρνιθες* 626. Τὰ παρατιθέμενα εἰς τὸ σχετικὸν τμῆμα τῆς κωμωδίας ταύτης τοῦ Ἀριστοφάνους ἐκθέτουν βασικῶς τὴν θεογονίαν τῶν Ὀρφικῶν, εἰς τοὺς ὁποίους περιελαμβάνοντο τότε οἱ βαθύτερον θρησκεύοντες Ἀθηναῖοι.

*σον, τοῦ δὲ Μάρωνα, τοῦ δὲ Θέστιον, τοῦ δὲ Ἀκοόν, τοῦ δὲ Ἀριστομίδαν, τοῦ δὲ Καρανόν, τοῦ δὲ Κοινόν, τοῦ δὲ Τυρίμμαν, τοῦ δὲ Περδίκκαν, τοῦ δὲ Φίλιππον, τοῦ δὲ Ἀέροπον, τοῦ δὲ Ἀλκέταν, τοῦ δὲ Ἀμύνταν, τοῦ δὲ Βόκρον, τοῦ δὲ Μελέαγρον, τοῦ δὲ Ἀρσινόην, τῆς δὲ καὶ Λάγου Πτολεμαῖον τὸν καὶ Σωτῆρα, τοῦ δὲ καὶ Βερενίκης Πτολεμαῖον τὸν Φιλάδελφον, τοῦ δὲ καὶ Ἀρσινόης Πτολεμαῖον τὸν Εὐεργέτην, τοῦ δὲ καὶ Βερενίκης τῆς Μάγα τοῦ ἐν Κυρήνῃ βασιλεύσαντος Πτολεμαῖον τὸν Φιλοπάτορα.*

*Ἡ μὲν οὖν πρὸς Διόνυσον τοῖς ἐν Ἀλεξανδρείᾳ βασιλεύσασι συγγένεια οὕτω περιέχει. Ὅθεν καὶ ἐν τῇ Διονυσίᾳ φυλῇ δῆμοί εἰσιν κατακεχωρισμένοι· Ἀλθηῒς ἀπὸ τῆς γενομένης γυναικὸς Διονύσου, θυγατρὸς δὲ Θεστίου, Ἀλθαίας· Δηϊανειρὶς ἀπὸ τῆς θυγατρὸς Διονύσου καὶ Ἀλθαίας, γυναικὸς δὲ Ἡρακλέους· ὅθεν καὶ τὰς προσωνυμίας ἔχουσιν οἱ κατ' αὐτοὺς δῆμοι· Ἀριαδνὶς ἀπὸ τῆς θυγατρὸς Μίνω, γυναικὸς δὲ Διονύσου, παιδὸς πατροφίλης, τῆς μιχθείσης Διονύσῳ ἐν μορφῇ πρυμνητοῦ, Θεστὶς ἀπὸ Θεστίου τοῦ Ἀλθαίας πατρὸς, Θοαντὶς ἀπὸ Θόαντος παιδὸς Διονύσου, Σταφυλὶς ἀπὸ Σταφύλου υἱοῦ Διονύσου, Εὐαινὶς ἀπὸ Εὐνόος υἱοῦ Διονύσου, Μαρωνὶς ἀπὸ Μάρωνος υἱοῦ Ἀριάδνης καὶ Διονύσου. Οὗτοι γὰρ πάντες υἱοὶ Διονύσου. Ἀλλὰ καὶ ἕτεραι πολλαὶ ὀνομασίαι γεγόνασιν καί εἰσιν ἕως τοῦ δεῦρο, ἀπὸ Ἡρακλέους Ἡρακλεῖδαι καλούμενοι, καὶ ἀπὸ Ἀπόλλωνος Ἀπολλωνίδαι καὶ Ἀπολλώνιοι, καὶ ἀπὸ Ποσειδῶνος Ποσειδώνιοι, καὶ ἀπὸ Διὸς Δῖοι καὶ Διογέναι.*

8 *Καί τί μοι τὸ λοιπὸν τὸ πλῆθος τῶν τοιούτων ὀνομασιῶν καὶ γενεαλογιῶν καταλέγειν; Ὥστε κατὰ πάντα τρόπον ἐμπαίζονται οἱ συγγραφεῖς πάντες καὶ ποιηταὶ καὶ φιλόσοφοι λεγόμενοι, ἔτι μὴν καὶ οἱ προσέχοντες αὐτοῖς. Μύθους γὰρ μᾶλλον καὶ μωρίας συνέταξαν περὶ τῶν κατ' αὐτοὺς θεῶν· οὐ γὰρ ἀπέδει-*

ἀπὸ αὐτὸν ὁ Μάρων, ἀπὸ αὐτὸν ὁ Θέστιος, ἀπὸ αὐτὸν ὁ Ἀκοός, ἀπὸ αὐτὸν ὁ Ἀριστομίδας, ἀπὸ αὐτὸν ὁ Καρανός, ἀπὸ αὐτὸν ὁ Κοινός, ἀπὸ αὐτὸν ὁ Τυρίμμας, ἀπὸ αὐτὸν ὁ Περδίκκας, ἀπὸ αὐτὸν ὁ Φίλιππος, ἀπὸ αὐτὸν ὁ Ἀέροπος, ἀπὸ αὐτὸν ὁ Ἀλκέτας, ἀπὸ αὐτὸν ὁ Ἀμύντας, ἀπὸ αὐτὸν ὁ Βόκρος, ἀπὸ αὐτὸν ὁ Μελέαγρος, ἀπὸ αὐτὸν ἡ Ἀρσινόη, ἀπὸ αὐτὴν καὶ τὸν Λάγον ὁ Πτολεμαῖος ὁ λεγόμενος καὶ Σωτήρ, ἀπὸ αὐτὸν καὶ τὴν Βερενίκην ὁ Πτολεμαῖος Φιλάδελφος, ἀπὸ αὐτὸν καὶ τὴν Ἀρσινόην ὁ Πτολεμαῖος Εὐεργέτης, ἀπὸ αὐτὸν καὶ τὴν Βερενίκην τοῦ Μάγα βασιλέως τῆς Κυρήνης ὁ Πτολεμαῖος Φιλοπάτωρ».

Ἡ πρὸς τὸν Διόνυσον λοιπὸν συγγένεια τῶν βασιλέων τῆς Ἀλεξανδρείας αὐτὴ εἶναι. Ὅθεν καὶ εἰς τὴν Διονυσίαν φυλὴν διακρίνονται κατὰ τὴν συγγένειαν ταύτην, πατριαί· ἡ Ἀλθηῒς ἀπὸ τὴν γενομένην γυναῖκα τοῦ Διονύσου, θυγατέρα δὲ τοῦ Θεστίου, Ἀλθαίαν, ἡ Δηϊανειρὶς ἀπὸ τὴν θυγατέρα τοῦ Διονύσου καὶ τῆς Ἀλθαίας, γυναικὸς δὲ τοῦ Ἡρακλέους, ἀπὸ ὅπου ἔχουν τὰς ὀνομασίας αἱ πατριαὶ αὐτῶν· ἡ Ἀριαδνὶς ἀπὸ τὴν θυγατέρα τοῦ Μίνωος, γυναικὸς δὲ τοῦ Διονύσου, κόρης πατροφίλης ἡ ὁποία ἡνώθη μὲ τὸν Διόνυσον ὑπὸ μορφὴν ναυτικοῦ, ἡ Θεστὶς ἀπὸ τὸν Θέστιον πατέρα τῆς Ἀλθαίας, ἡ Θοαντὶς ἀπὸ τὸν Θόαντα υἱὸν τοῦ Διονύσου, ἡ Σταφυλὶς ἀπὸ τὸν Στάφυλον υἱὸν τοῦ Διονύσου, ἡ Εὐαινὶς ἀπὸ τὸν Εὔνοον υἱὸν τοῦ Διονύσου, ἡ Μαρωνὶς ἀπὸ τὸν Μάρωνα υἱὸν τῆς Ἀριάδνης καὶ τοῦ Διονύσου. Ὅλοι οὗτοι εἶναι υἱοὶ τοῦ Διονύσου». Ἀλλὰ καὶ πολλαὶ ἄλλαι ὀνομασίαι προῆλθον καὶ ὑπάρχουν ἕως τώρα, ἀπὸ τὸν Ἡρακλῆ οἱ καλούμενοι Ἡρακλεῖδαι, ἀπὸ τὸν Ἀπόλλωνα, Ἀπολλωνίδαι καὶ Ἀπολλώνιοι, ἀπὸ τὸν Ποσειδῶνα οἱ Ποσειδώνιοι, ἀπὸ τὸν Δία Δῖοι καὶ Διογέναι.

8 Διατί ὅμως νὰ παραθέτω ἕως τὸ τέλος τὸ πλῆθος τῶν τοιούτων ὀνομασιῶν καὶ γενεαλογιῶν; Ὥστε κατὰ πάντα τρόπον ἐμπαίζονται οἱ συγγραφεῖς ὅλοι καὶ οἱ ποιηταὶ καὶ οἱ λεγόμενοι φιλόσοφοι, καθὼς ἐπίσης καὶ οἱ προσέχοντες εἰς αὐτούς. Διότι μᾶλλον μύθους καὶ μωρίας συνέταξαν περὶ τῶν κατ' αὐ-

*ξαν αὐτοὺς θεοὺς ἀλλὰ ἀνθρώπους, οὓς μὲν μεθύσους, ἑτέρους πόρνους καὶ φονεῖς.*

*Ἀλλὰ καὶ περὶ τῆς κοσμογονίας ἀσύμφωνα ἀλλήλοις καὶ φαῦλα ἐξεῖπον. Πρῶτον μὲν ὅτι τινὲς ἀγένητον τὸν κόσμον ἀπεφήναντο, καθὼς καὶ ἔμπροσθεν ἐδηλώσαμεν. Καὶ οἱ μὲν ἀγένητον αὐτὸν καὶ ἀΐδιον φύσιν φάσκοντες οὐκ ἀκόλουθα εἶπον τοῖς γενητὸν αὐτὸν δογματίσασιν. Εἰκασμῷ γὰρ ταῦτα καὶ ἀνθρωπίνῃ ἐννοίᾳ ἐφθέγξαντο, καὶ οὐ κατὰ ἀλήθειαν. Ἕτεροι δ' αὖ εἶπον πρόνοιαν εἶναι, καὶ τὰ τούτων δόγματα ἀνέλυσαν.*

*Ἄρατος μὲν οὖν φησιν·*

*«Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν*
*ἄρρητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,*
*πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα*
*καὶ λιμένες· πάντη δὲ Διὸς κεχρήμεθα πάντες.*
*Τοῦ γὰρ καὶ γένος ἐσμέν· ὁ δ' ἤπιος ἀνθρώποισιν*
*δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει*
*μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίστη*
*βουσί τε καὶ μακέλῃσι, λέγει δ' ὅτε δεξιαὶ ὧραι*
*καὶ φυτὰ γυρῶσαι καὶ σπέρματα πάντα βαλέσθαι».*

*Τίνι οὖν πιστεύσωμεν, πότερον Ἀράτῳ ἢ Σοφοκλεῖ λέγοντι,*

*«Πρόνοια δ' ἔστιν οὐδενὸς σαφής,*
*εἰκῇ κράτιστον ζῆν ὅπως δύναιτό τις»;*

6 αΐδιον *Otto* ἰδίαν *MB*

---

16. ΑΡΑΤΟΥ, *Φαινόμενα* 1–9. Ὡς εἶναι γνωστόν, ὁ στίχος 5α ἐχρησιμοποιήθη ὑπὸ τοῦ Παύλου εἰς τὴν ὁμιλίαν του ἐπὶ τοῦ Ἀρείου Πάγου, Πράξ. 17,28.

17. *Οἰδίπους Τύραννος* 978 ἑ.

τοὺς θεῶν, ἀφοῦ δὲν ἀπέδειξαν αὐτοὺς θεοὺς ἀλλὰ ἀνθρώπους, ἄλλους μὲν μεθύσους, ἄλλους πόρνους καὶ φονεῖς.

Ἀλλὰ καὶ περὶ τῆς κοσμογονίας διηγήθησαν πράγματα ἀσύμφωνα πρὸς ἀλλήλους καὶ φαῦλα. Πρῶτον μὲν διότι μερικοὶ διεκήρυξαν τὸν κόσμον ἀγέννητον, καθὼς ἐδηλώσαμεν προηγουμένως. Καὶ ὅσοι εἶπον αὐτὸν ἀγέννητον καὶ ἀΐδιον φύσιν δὲν διετύπωσαν σύμφωνα μὲ ἐκείνους οἱ ὁποῖοι ἐδογμάτισαν αὐτὸν γενητόν. Ἐξέφεραν ταῦτα κατ' εἰκασίαν καὶ ἀνθρωπίνην σκέψιν, καὶ ὄχι κατὰ γνῶσιν τῆς ἀληθείας. Ἄλλοι πάλιν εἶπον ὅτι ὑπάρχει πρόνοια, καὶ οὕτω διέλυσαν τὰ τοιαῦτα δόγματα τούτων.

Ὁ Ἄρατος λοιπὸν λέγει·

«Ἀπὸ τὸν Δία ἂς ἀρχίσωμεν, τὸν ὁποῖον ποτὲ οἱ ἄνθρωποι δὲν πρέπει
νὰ ἀφήνωμεν ἄρρητον. Γεμᾶται ἀπὸ τὸν Δία εἶναι ὅλαι αἱ ὁδοί,
ὅλαι αἱ ἀγοραὶ τῶν ἀνθρώπων, γεμάτη ἡ θάλασσα
καὶ οἱ λιμένες· παντοῦ τὸν Δία χρησιμοποιοῦμεν βοηθὸν ὅλοι.
Διότι εἴμεθα ἀπὸ τὴν γενεάν του. Ἀγαθὸς πρὸς τοὺς ἀνθρώπους,
ἀποστέλλει αἴσια σημεῖα, κινεῖ τοὺς ἀνθρώπους πρὸς ἐργασίαν,
ὑπενθυμίζων τὸν βίον· λέγει πότε τὰ χωράφια εἶναι καταλληλότερα
διὰ τὰ βόδια καὶ τὰς ἀξίνας, λέγει δὲ πότε ὁ καιρὸς εἶναι εὐνοϊκὸς
νὰ ξελακκώσουν τὰ φυτὰ καὶ νὰ ρίψουν ὅλους τοὺς σπόρους»[16].

Εἰς ποῖον λοιπὸν νὰ πιστεύσωμεν, εἰς τὸν Ἄρατον ἢ τὸν Σοφοκλῆν, ὁ ὁποῖος λέγει·

«Δὲν ὑπάρχει σαφὴς πρόνοια οὐδενὸς πράγματος,
καλύτερον νὰ ζῇ κανεὶς τυχαίως, ὅπως δύναται»[17];

*Ὅμηρος δὲ πάλιν τούτῳ οὐ συνᾴδει. Λέγει γάρ·*

*«Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε».*

*Καὶ Σιμωνίδης·*

*«Οὔτις ἄνευ θεῶν*
*ἀρετὰν λάβεν, οὐ πόλις, οὐ βροτὸς.*
*Θεὸς ὁ παμμῆτις· ἀπήμαντον δ' οὐδὲν*
*ἔστιν ἐν αὐτοῖς».*

*Ὁμοίως καὶ Εὐριπίδης·*

*«Οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεοῦ».*

*Καὶ Μένανδρος·*

*«Οὐκ ἄρα φροντίζει τις ἡμῶν ἢ μόνος Θεός».*

*Καὶ πάλιν Εὐριπίδης·*

*«Σῶσαι γὰρ ὁπόταν τῷ Θεῷ δοκῇ,*
*πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν».*

*Καί·*

*«Θεοῦ θέλοντος σώζῃ, κἂν ἐπὶ ριπὸς πλέῃς».*

*Καὶ τὰ τοιαῦτα μυρία εἰπόντες ἀσύμφωνα ἑαυτοῖς ἐξεῖπον. Ὁ γοῦν Σοφοκλῆς ἀπρονοησίαν ἐν ἑτέρῳ λέγει·*

*«Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός».*

*Πλὴν καὶ πληθὺν εἰσήγαγον ἢ καὶ μοναρχίαν εἶπον, καὶ*

15 *μετὰ* καὶ *προστίθ.* Θέστιος *MB* Θυέστης *γλώσσημα*

---

18. *Ἰλιὰς* Υ 242.

19. DIEHL, *Anthologia Lyricorum Graecorum* 2,68, ἀπόσπ. 10

20. ΕΥΡΙΠΙΔΟΥ, ἀπόσπ. 391. NAUCK, *Tragicorum Graecorum Fragmenta*, Leipzig 1889, σ. 480.

Ὁ Ὅμηρος πάλιν δὲν συμφωνεῖ μὲ αὐτόν. Διότι λέγει·

«Ὁ Ζεὺς αὐξάνει καὶ μειώνει τὴν ἀρετὴν τῶν ἀνθρώπων»[18].

Καὶ ὁ Σιμωνίδης·

«Χωρὶς τοὺς θεοὺς
κανεὶς δὲν ἔλαβεν ἀρετήν, οὔτε πόλις οὔτε θνητός.
Ὁ Θεὸς γνωρίζει τὰ πάντα, ἐνῶ εἰς τοὺς θνητοὺς
δὲν ὑπάρχει τίποτε ἀβλαβές»[19].

Ὁμοίως καὶ ὁ Εὐριπίδης·

«Τίποτε δὲν ὑπάρχει εἰς τοὺς ἀνθρώπους μακρὰν ἀπὸ τὸν Θεόν»[20].

Καὶ ὁ Μένανδρος·

«Κανεὶς δὲν φροντίζει δι' ἡμᾶς πλὴν τοῦ Θεοῦ μόνου»[21].

Καὶ πάλιν ὁ Εὐριπίδης·

«Ὅταν ὁ Θεὸς θεωρεῖ καλὸν νὰ σώσῃ
δίδει πολλὰς προφάσεις πρὸς σωτηρίαν»[22].

Καί·

«Ἂν θέλῃ ὁ Θεὸς σώζεσαι, ἀκόμη καὶ ἂν πλέῃς εἰς ψάθαν»[23].

Καὶ μὲ τοὺς τοιούτους μυρίους λόγους εἶπαν ἀσύμφωνα πρὸς ἑαυτούς. Ὁ Σοφοκλῆς πράγματι εἰς ἄλλο χωρίον ὁμιλεῖ περὶ ἐλλείψεως προνοίας·

«Τὸ κτύπημα τοῦ Θεοῦ δὲν ὑπερπηδᾶ ὁ θνητός»[24].

Ἐπίσης εἰσήγαγον πολυαρχίαν ἢ εἶπαν μοναρχίαν, καὶ εἰς τοὺς

21. Βλ. MEINEKE, *Fragmenta Comicorum Graecorum*, Berlin 1841, 4, σ. 276.

22. ΕΥΡΙΠΙΔΟΥ, ἀπόσπ. 1089. NAUCK.

23. ΕΥΡΙΠΙΔΟΥ, ἀπόσπ. 397 NAUCK.

24. ΣΟΦΟΚΛΕΟΥΣ, ἀπόσπ. 876. NAUCK.

*πρόνοιαν εἶναι τοῖς λέγουσιν ἀπρονοησίαν τἀναντία εἰρήκασιν. Ὅθεν Εὐριπίδης ὁμολογεῖ λέγων·*

*«Σπουδάζομεν δὲ πολλ' ὑπ' ἐλπίδων, μάτην*
*πόνους ἔχοντες, οὐδὲν εἰδότες».*

*Καὶ μὴ θέλοντες ὁμολογοῦσιν τὸ ἀληθὲς μὴ ἐπίστασθαι· ὑπὸ δαιμόνων δὲ ἐμπνευσθέντες καὶ ὑπ' αὐτῶν φυσιωθέντες ἃ εἶπον δι' αὐτῶν εἶπον. Ἤτοι γὰρ οἱ ποιηταί, Ὅμηρος δὴ καὶ Ἡσίοδος, ὥς φασιν ὑπὸ Μουσῶν ἐμπνευσθέντες, φαντασίᾳ καὶ πλάνῃ ἐλάλησαν, καὶ οὐ καθαρῷ πνεύματι ἀλλὰ πλάνῳ. Ἐκ τούτου δὲ σαφῶς δείκνυται, εἰ καὶ οἱ δαιμονῶντες ἐνίοτε καὶ μέχρι τοῦ δεῦρο ἐξορκίζονται κατὰ τοῦ ὀνόματος τοῦ ὄντως Θεοῦ, καὶ ὁμολογεῖ αὐτὰ τὰ πλάνα πνεύματα εἶναι δαίμονες, οἱ καὶ τότε εἰς ἐκείνους ἐνεργήσαντες· πλὴν ἐνίοτέ τινες τῇ ψυχῇ ἐκνήψαντες ἐξ αὐτῶν εἶπον ἀκόλουθα τοῖς προφήταις, ὅπως εἰς μαρτύριον αὐτοῖς τε καὶ πᾶσιν ἀνθρώποις, περί τε Θεοῦ μοναρχίας καὶ κρίσεως καὶ τῶν λοιπῶν ὧν ἔφασαν.*

### *ΥΠΕΡΟΧΗ ΤΗΣ ΠΑΛΑΙΟΔΙΑΘΗΚΙΚΗΣ ΓΡΑΜΜΑΤΕΙΑΣ*

9 *Οἱ δὲ τοῦ Θεοῦ ἄνθρωποι, πνευματοφόροι Πνεύματος ἁγίου καὶ προφῆται γενόμενοι, ὑπ' αὐτοῦ τοῦ Θεοῦ ἐμπνευσθέντες καὶ σοφισθέντες, ἐγένοντο θεοδίδακτοι καὶ ὅσιοι καὶ δίκαιοι. Διὸ καὶ κατηξιώθησαν τὴν ἀντιμισθίαν ταύτην λαβεῖν, ὄργανα Θεοῦ γενόμενοι καὶ χωρήσαντες σοφίαν τὴν παρ' αὐτοῦ, δι' ἧς σοφίας εἶπον καὶ τὰ περὶ τῆς κτίσεως τοῦ κόσμου καὶ τῶν λοιπῶν ἁπάντων. Καὶ γὰρ περὶ λοιμῶν καὶ λιμῶν καὶ πολέμων προεῖπον. Καὶ οὐχ εἷς ἢ δύο ἀλλὰ πλείονες κατὰ χρόνους καὶ καιροὺς*

---

25. ΕΥΡΙΠΙΔΟΥ, ἀπόσπ. 391. NAUCK.

διδάσκοντας ἀπρονοησίαν ἀπήντησαν ὅτι ὑπάρχει πρόνοια. Ὅθεν ὁ Εὐριπίδης ὁμολογεῖ λέγων·

«Μεριμνῶμεν διὰ πολλὰ ὑποκινούμενα ἀπὸ ἐλπίδας
ματαίως,
κατεχόμενοι ἀπὸ πόνους, μὴ γνωρίζοντες τίποτε»[25].

Καὶ χωρὶς νὰ θέλουν ὁμολογοῦν ὅτι δὲν γνωρίζουν τὴν ἀλήθειαν, ἀλλὰ ἐμπνευσθέντες ὑπὸ δαιμόνων καὶ καθοδηγηθέντες ὑπ' αὐτῶν εἶπον δι' ἑαυτῶν ὅσα εἶπον. Πράγματι οἱ ποιηταί, ἰδίως ὁ Ὅμηρος καὶ ὁ Ἡσίοδος, ἐμπνευσθέντες ὅπως λέγουν ὑπὸ τῶν Μουσῶν, ἐλάλησαν μὲ φαντασίαν καὶ πλάνην, ὄχι μὲ καθαρὸν πνεῦμα ἀλλὰ μὲ πλάνον. Αὐτὸ δὲ δεικνύεται σαφῶς ἐκ τούτου, ὅτι καὶ οἱ δαιμονιόπληκτοι ἐνίοτε καὶ ἕως τώρα ἐξορκίζονται εἰς τὸ ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ ὅτι αὐτὰ τὰ πλάνα πνεύματα εἶναι δαίμονες, οἱ ὁποῖοι καὶ τότε ἐνήργησαν εἰς ἐκείνους. Πλὴν ὅμως ἐνίοτε μερικοὶ ἐκ τῶν ποιητῶν συνελθόντες ψυχικῶς διεκήρυξαν πράγματα σύμφωνα μὲ τοὺς προφήτας, ὥστε νὰ ὑπάρχῃ μαρτυρία δι' αὐτοὺς καὶ δι' ὅλους τοὺς ἄλλους ἀνθρώπους, περὶ τῆς μοναρχίας Θεοῦ, τῆς κρίσεως καὶ ὅλων τῶν ἄλλων θεμάτων περὶ τῶν ὁποίων ὡμίλησαν.

## ΥΠΕΡΟΧΗ ΤΗΣ ΠΑΛΑΙΟΔΙΑΘΗΚΙΚΗΣ ΓΡΑΜΜΑΤΕΙΑΣ

9 Οἱ δὲ ἄνθρωποι τοῦ Θεοῦ, γενόμενοι πνευματοφόροι, ἀπὸ τὸ ἅγιον Πνεῦμα, καὶ προφῆται, ἐμπνευσθέντες καὶ σοφισθέντες ὑπ' αὐτοῦ τοῦ Θεοῦ, ἔγιναν θεοδίδακτοι καὶ ὅσιοι καὶ δίκαιοι. Διὸ καὶ κατηξιώθησαν νὰ λάβουν τὴν ἀντιμισθίαν ταύτην, γενόμενοι ὄργανα τοῦ Θεοῦ καὶ δεχθέντες τὴν παρ' αὐτοῦ σοφίαν, διὰ τῆς ὁποίας εἶπαν καὶ τὰ περὶ τῆς κτίσεως τοῦ κόσμου καὶ ὅλων τῶν ἄλλων. Διότι προεῖπον καὶ περὶ λοιμῶν καὶ λιμῶν καὶ πολέμων. Καὶ δὲν ἔγιναν εἷς ἢ δύο εἰς τοὺς Ἑβραίους ἀλλὰ περισσότεροι, καὶ εἰς τοὺς Ἕλληνας δὲ ἡ Σίβυλλα· καὶ

*ἐγενήθησαν παρὰ Ἑβραίοις, ἀλλὰ καὶ παρὰ Ἕλλησι Σίβυλλα· καὶ πάντες φίλα ἀλλήλοις καὶ σύμφωνα εἰρήκασι, τά τε πρὸ αὐτῶν γεγενημένα καὶ τὰ κατ' αὐτοὺς γεγονότα καὶ τὰ καθ' ἡμᾶς νυνὶ τελειούμενα· διὸ καὶ πεπείσμεθα καὶ περὶ τῶν μελλόντων οὕτως ἔσεσθαι, καθὼς καὶ τὰ πρῶτα ἀπήρτισται.*

10 *Καὶ πρῶτον μὲν συμφώνως ἐδίδαξαν ἡμᾶς, ὅτι ἐξ οὐκ ὄντων τὰ πάντα ἐποίησεν. Οὐ γάρ τι τῷ Θεῷ συνήκμασεν· ἀλλ' αὐτὸς ἑαυτοῦ τόπος ὢν καὶ ἀνενδεὴς ὢν καὶ ὑπάρχων πρὸ τῶν αἰώνων ἠθέλησεν ἄνθρωπον ποιῆσαι ᾧ γνωσθῇ· τούτῳ οὖν προητοίμασε τὸν κόσμον. Ὁ γὰρ γενητὸς καὶ προσδεής ἐστιν, ὁ δὲ ἀγένητος οὐδενὸς προσδεῖται.*

*Ἔχων οὖν ὁ Θεὸς τὸν ἑαυτοῦ λόγον ἐνδιάθετον ἐν τοῖς ἰδίοις σπλάγχνοις ἐγέννησεν αὐτὸν μετὰ τῆς ἑαυτοῦ σοφίας ἐξερευξάμενος πρὸ τῶν ὅλων. Τοῦτον τὸν λόγον ἔσχεν ὑπουργὸν τῶν ὑπ' αὐτοῦ γεγενημένων, καὶ δι' αὐτοῦ τὰ πάντα πεποίηκεν. Οὗτος λέγεται ἀρχή, ὅτι ἄρχει καὶ κυριεύει πάντων τῶν δι' αὐτοῦ δεδημιουργημένων. Οὗτος οὖν, ὢν Πνεῦμα Θεοῦ καὶ ἀρχὴ καὶ σοφία καὶ δύναμις ὑψίστου, κατήρχετο εἰς τοὺς προφήτας καὶ δι' αὐτῶν ἐλάλει τὰ περὶ τῆς ποιήσεως τοῦ κόσμου καὶ τῶν λοιπῶν ἁπάντων. Οὐ γὰρ ἦσαν οἱ προφῆται ὅτε ὁ κόσμος ἐγίνετο, ἀλλὰ ἡ σοφία ἡ ἐν αὐτῷ οὖσα ἡ τοῦ Θεοῦ καὶ ὁ λόγος ὁ ἅγιος αὐτοῦ ὁ ἀεὶ συμπαρὼν αὐτῷ. Διὸ δὴ καὶ διὰ Σολομῶνος προφήτου οὕτω λέγει· «ἡνίκα δ' ἡτοίμασε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα». Μωσῆς δὲ ὁ καὶ Σολομῶνος πρὸ πολλῶν ἐτῶν γενόμενος, μᾶλλον δὲ ὁ λόγος ὁ τοῦ Θεοῦ ὡς δι' ὀρ-*

---

26. Διὰ πρώτην φορὰν εἰς τὴν χριστιανικὴν γραμματείαν ἀπαντῶνται οἱ ὅροι λόγος ἐνδιάθετος καὶ (κατωτέρω) λόγος προφορικός, οἱ ὁποῖοι εἶναι στωϊκῆς προελεύσεως. Ἐν συνεχείᾳ τοὺς ἐχρησιμοποίησαν καὶ ἄλλοι, φαίνεται δὲ εἶχον εἰσαχθῇ εἰς τὸ λεξιλόγιον τῶν Ἀπολογητῶν ἤδη πρὸ τοῦ Θεοφίλου.

ὅλοι διεκήρυξαν πράγματα ταυτόσημα καὶ σύμφωνα, τὰ πρὶν ἀπὸ αὐτοὺς συμβάντα, τὰ κατὰ τοὺς χρόνους των γεγονότα καὶ τὰ τώρα εἰς τὴν ἐποχήν μας πραγμαοποιούμενα. Διὰ τοῦτο εἴμεθα πεπεισμένοι ὅτι καὶ διὰ τὰ μέλλοντα οὕτω θὰ συμβῆ, καθὼς ἐξεπληρώθησαν καὶ τὰ πρῶτα.

Καὶ πρῶτον μὲν ἐδίδαξαν ἡμᾶς ὅτι ἐδημιούργησε τὰ πάντα ἐξ οὐκ ὄντων. Δὲν ὑπάρχει τίποτε τὸ ὁποῖον νὰ συνήκμασε μὲ τὸν Θεόν, ἀλλ᾽ αὐτός, ὑπάρχων τόπος ἑαυτοῦ, ἀνειδεὴς καὶ προαιώνιος, ἠθέλησε νὰ δημιουργήση ἄνθρωπον, εἰς τὸν ὁποῖον νὰ γνωσθῆ· δι᾽ αὐτὸν λοιπὸν προητοίμασε τὸν κόσμον. Διότι ὁ γενητὸς εἶναι καὶ προσδεής, ὁ δὲ ἀγένητος δὲν ἔχει τίποτε ἀνάγκην.

Ἔχων λοιπὸν ὁ Θεὸς ἐνδιάθετον τὸν Λόγον του[26] εἰς τὰ σπλάγχνα του τὸν ἐγέννησε παραγαγὼν αὐτὸν μαζὶ μὲ τὴν σοφίαν του[27] πρὸ τῶν ὅλων. Τοῦτον τὸν Λόγον εἶχεν ὑπουργὸν εἰς τὰ ἔργα του καὶ δι᾽ αὐτοῦ ἐδημιούργησε τὰ πάντα. Οὗτος λέγεται Ἀρχή, διότι ἄρχει καὶ κυριεύει ὅλων τῶν δι᾽ αὐτοῦ δημιουργημένων. Οὗτος λοιπόν, ὡς Πνεῦμα τοῦ Θεοῦ καὶ ἀρχὴ καὶ σοφία καὶ δύναμις τοῦ ὑψίστου, κατήρχετο εἰς τοὺς προφήτας καὶ δι᾽ αὐτῶν ἐλάλει τὰ περὶ τῆς δημιουργίας τοῦ κόσμου καὶ ὅλων τῶν ἄλλων. Διότι δὲν ὑπῆρχον οἱ προφῆται, ὅταν ἔγινεν ὁ κόσμος, ἀλλὰ μόνον ἡ σοφία τοῦ Θεοῦ ἡ κατοικοῦσα εἰς αὐτὸν καὶ ὁ Λόγος ὁ ἅγιος αὐτοῦ ὁ ὁποῖος εἶναι πάντοτε παρὼν εἰς αὐτόν. Διὰ τοῦτο λοιπὸν οὕτω λέγει διὰ τοῦ προφήτου Σολομῶντος· «ὅταν ἡτοίμασε τὸν οὐρανὸν παρευρισκόμην εἰς αὐτόν, καὶ ὅταν ἰσχυροποίει τὰ θεμέλια τῆς γῆς, ἤμην πλησίον αὐτοῦ τακτοποιοῦσα τὰ πράγματα»[28]. Ὁ δὲ Μωϋσῆς, ὁ ὁποῖος ἔζησε πολλὰ ἔτη πρὸ τοῦ Σολομῶντος, μᾶλλον δὲ ὁ Λόγος τοῦ Θεοῦ δι᾽ αὐτοῦ ὡς δι᾽ ὀργάνου, λέγει· «εἰς τὴν ἀρχὴν ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[29]. Πρῶτον ἐχρησιμοποίησε τὰς

---

27. Βλ. ἀνωτέρω 1,7 καὶ τὴν ἐκεῖ σημείωσιν.
28. Παροιμ. 8,27–29.
29. Γεν. 1,1.

*γάνου δι᾽ αὐτοῦ φησιν· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Πρῶτον ἀρχὴν καὶ ποίησιν ὠνόμασεν, εἶθ᾽ οὕτω τὸν Θεὸν συνέστησεν· οὐ γὰρ ἀργῶς χρὴ καὶ ἐπὶ κενῷ Θεὸν ὀνομάζειν. Προῄδει γὰρ ἡ θεία σοφία μέλλειν φλυαρεῖν τινας καὶ πληθὺν θεῶν ὀνομάζειν τῶν οὐκ ὄντων.*

*Ὅπως οὖν ὁ τῷ ὄντι Θεὸς διὰ ἔργων νοηθῇ, καὶ ὅτι ἐν τῷ λόγῳ αὐτοῦ ὁ Θεὸς πεποίηκε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς, ἔφη· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Εἶτα, εἰπὼν τὴν ποίησιν αὐτῶν, δηλοῖ ἡμῖν· «ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». Ταῦτα ἐν πρώτοις διδάσκει ἡ θεία γραφή, τρόπῳ τινὶ ὕλην γενητήν, ὑπὸ τοῦ Θεοῦ γεγονυῖαν, ἀφ᾽ ἧς πεποίηκε καὶ δεδημιούργηκεν ὁ Θεὸς τὸν κόσμον.*

11 *Ἀρχὴ δὲ τῆς ποιήσεως φῶς ἐστιν, ἐπειδὴ τὰ κοσμούμενα τὸ φῶς φανεροῖ. Διὸ λέγει·*

*«Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς. Καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν». Δηλονότι καλὸν ἀνθρώπῳ γεγονός. «Καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία.*

*»Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. Καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα.*

17 καὶ ἐγένετο...καλὸν *παραλ. MB*

λέξεις 'ἀρχὴ' καὶ 'ποίησις', οὕτω δὲ συνέστησεν ἔπειτα τὸν Θεόν· διότι δὲν πρέπει ἐλαφρῶς καὶ ματαίως νὰ χρησιμοποιοῦμεν τὸ ὄνομα τοῦ Θεοῦ. Ἡ θεία σοφία προεγνώριζεν ὅτι πρόκειται μερικοὶ νὰ φλυαρήσουν καὶ νὰ ἀναγνωρίσουν πλῆθος ἀνυπάρκτων θεῶν.

Διὰ νὰ κατανοηθῇ λοιπὸν διὰ τῶν ἔργων ὁ ἀληθινὸς Θεὸς καὶ διὰ νὰ γνωσθῇ ὅτι ὁ Θεὸς ἐδημιούργησεν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐντὸς αὐτῶν ἐν τῷ Λόγῳ αὐτοῦ, εἶπε, «εἰς τὴν ἀρχὴν ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἔπειτα, μνημονεύσας τὴν ποίησιν αὐτῶν, δηλώνει εἰς ἡμᾶς, «ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἀκατασκεύαστος καὶ σκότος ἦτο ὑπεράνω τῆς ἀβύσσου καὶ Πνεῦμα Θεοῦ ἐφέρετο ὑπεράνω τοῦ ὕδατος»[30]. Αὐτὰ διδάσκει κατ' ἀρχὰς ἡ θεία Γραφή, παρουσιάζουσα κατά τινα τρόπον ὕλην γενητήν, γενομένην ὑπὸ τοῦ Θεοῦ, ἀπὸ τὴν ὁποίαν ἔκαμε καὶ ἐδημιούργησεν ὁ Θεὸς τὸν κόσμον.

11 Ἡ ἀρχὴ δὲ τῆς ποιήσεως εἶναι τὸ φῶς, ἐπειδὴ τὸ φῶς φανερώνει τὰ διακοσμούμενα. Διὰ τοῦτο λέγει·

«Καὶ εἶπεν ὁ Θεός· ἂς γίνῃ φῶς. Καὶ ἔγινε φῶς· καὶ εἶδεν ὁ Θεὸς ὅτι τὸ φῶς ἦτο καλόν»[31]. Δηλαδὴ ὅτι διὰ τὸν ἄνθρωπον ἦτο καλόν· «καὶ διεχώρισεν ὁ Θεὸς τὸ φῶς ἀπὸ τὸ σκότος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἔγινεν ἑσπέρα καὶ ἔγινε πρωΐ, ἡμέρα μία.

»Καὶ εἶπεν ὁ Θεός· ἂς γίνῃ στερέωμα εἰς τὸ μέσον τοῦ ὕδατος καὶ ἂς διαχωρίζῃ μεταξὺ ὕδατος καὶ ὕδατος. Καὶ οὕτω ἔγινε. Καὶ κατεσκεύασεν ὁ Θεὸς τὸ στερέωμα καὶ διεχώρισεν μεταξὺ τοῦ ὕδατος τὸ ὁποῖον ἦτο ὑποκάτω τοῦ στερεώματος καὶ τοῦ ὕδατος τὸ ὁποῖον ἦτο ὑπεράνω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν· καὶ εἶδεν ὁ Θεὸς ὅτι τοῦτο ἦτο καλόν. Καὶ ἔγινεν ἑσπέρα καὶ ἔγινε πρωΐ, ἡμέρα δευτέρα.

---

30. Γεν. 1,2.
31. Γεν. 1,3 ἑ.

*»Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Καὶ ἐγένετο οὕτως. Καὶ συνήχθη τὸ ὕδωρ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσεν θαλάσσας. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ εἰς ὁμοιότητα. Καὶ ἐγένετο οὕτως. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.*

*»Καὶ εἶπεν ὁ Θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, εἰς φαῦσιν ἐπὶ τῆς γῆς καὶ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός, καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς, καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ φαίνειν ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας· καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη.*

*»Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. Καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν κατὰ γένος. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. Καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα τῆς θαλάσσης, καὶ τὰ πετεινὰ πληθυνέτω ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη.*

»Καὶ εἶπεν ὁ Θεός· ἂς συναχθῇ τὸ κάτω τοῦ οὐρανοῦ ὕδωρ εἰς μίαν δεξαμενὴν καὶ ἂς φανῇ ἡ ξηρά. Καὶ ἔγινεν οὕτω. Καὶ συνήχθη τὸ ὕδωρ εἰς τὰς δεξαμενὰς αὐτοῦ καὶ ἐφάνη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. Καὶ εἶδεν ὁ Θεὸς ὅτι τοῦτο εἶναι καλόν. Καὶ εἶπεν ὁ Θεός· ἂς βλαστήσῃ ἡ γῆ παντὸς εἴδους χόρτα, φέρουσα σπέρμα κατὰ γένος καὶ κατὰ ὁμοιότητα, καὶ δένδρα καρποφόρα δίδοντα καρπόν, τὰ ὁποῖα φέρουν μέσα των σπέρμα κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι τοῦτο ἦτο καλόν. Καὶ ἔγινεν ἑσπέρα καὶ ἔγινε πρωί, ἡμέρα τρίτη.

»Καὶ εἶπεν ὁ Θεός· ἂς γίνουν φωστῆρες εἰς τὸ στερέωμα τοῦ οὐρανοῦ, διὰ νὰ φωτίζουν ἐπὶ τῆς γῆς καὶ διαχωρίζουν μεταξὺ τῆς ἡμέρας καὶ τῆς νυκτός, καὶ ἂς εἶναι ὡς σημεῖα πρὸς διάκρισιν ἐποχῶν, ἡμερῶν καὶ ἐτῶν, καὶ ἂς εἶναι διὰ νὰ φωτίζουν εἰς τὸ στερέωμα τοῦ οὐρανοῦ καὶ νὰ φέγγουν ἐπὶ τῆς γῆς. Καὶ οὕτως ἔγινε. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς τὰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν φωστῆρα τὸν μικρὸν εἰς τὰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας· καὶ ἐτοποθέτησεν αὐτοὺς ὁ Θεὸς εἰς τὸ στερέωμα τοῦ οὐρανοῦ, ὥστε νὰ φέγγουν ἐπὶ τῆς γῆς, καὶ νὰ ἄρχουν τῆς ἡμέρας καὶ τῆς νυκτὸς καὶ νὰ διαχωρίζουν μεταξὺ τοῦ φωτὸς καὶ τοῦ σκότους. Καὶ εἶδεν ὁ Θεὸς ὅτι τοῦτο ἦτο καλόν. Καὶ ἔγινεν ἑσπέρα καὶ ἔγινε πρωΐ, ἡμέρα τετάρτη.

»Καὶ εἶπεν ὁ Θεός· ἂς ἐξαγάγουν τὰ ὕδατα ψυχὰς ἑρπετῶν ζώσας καὶ πετεινὰ ἱπτάμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. Καὶ οὕτως ἔγινε. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ μεγάλα κήτη καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, τὰ ὁποῖα ἐξήγαγον τὰ ὕδατα κατὰ τὰ γένη αὐτῶν καὶ ὅλα τὰ πτερωτὰ πτηνὰ κατὰ γένος. Καὶ εἶδεν ὁ Θεὸς ὅτι ταῦτα ἦσαν καλά. Καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα τῆς θαλάσσης, καὶ τὰ πτηνὰ ἂς πολλαπλασιασθοῦν ἐπὶ τῆς γῆς. Καὶ ἔγινεν ἑσπέρα καὶ ἔγινε πρωΐ, ἡμέρα πέμπτη.

*»Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος. Καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ δέδωκα ὑμῖν πᾶν χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν αὐτῷ καρπὸν σπέρματος σπορίμου· ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσιν τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν αὐτῷ πνοὴν ζωῆς, πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. Καὶ ἐγένετο οὕτως. Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη.*

*»Καὶ συντελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν. Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι».*

»Καὶ εἶπεν ὁ Θεός· ἂς ἐξαγάγη ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος, καὶ ὅλα τὰ ἑρπετὰ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι τοῦτο ἦτο καλόν. Καὶ εἶπεν ὁ Θεός· ἂς κάμωμεν ἄνθρωπον κατ' εἰκόνα ἰδικήν μας καὶ καθ' ὁμοίωσιν, καὶ ἂς ἄρχουν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πτηνῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ ὅλης τῆς γῆς καὶ ὅλων τῶν ἑρπετῶν τὰ ὁποῖα ἕρπουν ἐπὶ τῆς γῆς. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρρενα καὶ θήλειαν ἐποίησεν αὐτούς. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πτηνῶν τοῦ οὐρανοῦ καὶ ὅλων τῶν κτηνῶν καὶ ὅλης τῆς γῆς καὶ ὅλων τῶν ἑρπετῶν τὰ ὁποῖα ἕρπουν ἐπὶ τῆς γῆς. Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ ἔδωσα εἰς σᾶς πᾶν χόρτον φέρον σπέρμα τὸ ὁποῖον ὑπάρχει ἐπὶ ὅλης τῆς γῆς καὶ πᾶν δένδρον φέρον καρπὸν περιέχοντα σπέρμα· θὰ χρησιμεύουν εἰς τροφὴν ὑμῶν καὶ ὅλων τῶν θηρίων τῆς γῆς καὶ ὅλων τῶν πτηνῶν τοῦ οὐρανοῦ καὶ παντὸς ἑρπετοῦ ἕρποντος ἐπὶ τῆς γῆς, τὸ ὁποῖον ἔχει μέσα του πνοὴν ζωῆς, πᾶν χόρτον χλωρὸν θὰ εἶναι εἰς τροφήν. Καὶ οὕτως ἔγινε. Καὶ εἶδεν ὁ Θεὸς ὅλα ὅσα ἐποίησε, καὶ ἰδοὺ ὑπῆρξαν καλὰ λίαν. Καὶ ἔγινεν ἑσπέρα καὶ ἔγινε πρωΐ, ἡμέρα ἕκτη.

» Καὶ ἀπετελειώθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ὅλος ὁ διάκοσμος αὐτῶν. Καὶ ἐτελείωσεν ὁ Θεὸς κατὰ τὴν ἕκτην ἡμέραν τὰ ἔργα αὐτοῦ τὰ ὁποῖα ἐποίησε καὶ ἀνεπαύθη κατὰ τὴν ἑβδόμην ἡμέραν ἀπὸ ὅλα τὰ ἔργα αὐτοῦ τὰ ὁποῖα ἐποίησε. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἑβδόμην ἡμέραν καὶ ἡγίασεν αὐτήν, διότι κατ' αὐτὴν ἀνεπαύθη ἀπὸ ὅλα τὰ ἔργα αὐτοῦ τὰ ὁποῖα ἤρχισε νὰ ἐκτελῇ ὁ Θεός»[32].

---

32. Γεν. 1,3–2,3.

12 *Τῆς μὲν οὖν ἑξαημέρου οὐδεὶς ἀνθρώπων δυνατὸς κατ' ἀξίαν τὴν ἐξήγησιν καὶ τὴν οἰκονομίαν πᾶσαν ἐξειπεῖν, οὐδὲ εἰ μυρία στόματα ἔχοι καὶ μυρίας γλώσσας· ἀλλ' οὐδὲ εἰ μυρίοις ἔτεσιν βιώσει τις, ἐπιδημῶν ἐν τῷδε τῷ βίῳ, οὐδὲ οὕτως ἔσται ἱκανὸς πρὸς ταῦτα ἀξίως τι εἰπεῖν, διὰ τὸ ὑπερβάλλον μέγεθος καὶ τὸν πλοῦτον τῆς σοφίας τοῦ Θεοῦ τῆς οὔσης ἐν ταύτῃ τῇ προγεγραμμένῃ ἑξαημέρῳ.*

*Πολλοὶ μὲν οὖν τῶν συγγραφέων ἐμιμήσαντο καὶ ἠθέλησαν περὶ τούτων διήγησιν ποιήσασθαι, καίτοι λαβόντες ἐντεῦθεν τὰς ἀφορμάς, ἤτοι περὶ κόσμου κτίσεως ἢ περὶ φύσεως ἀνθρώπου, καὶ οὐδὲ τὸ τυχὸν ἔναυσμα ἄξιόν τι τῆς ἀληθείας ἐξεῖπον. Δοκεῖ δὲ τὰ ὑπὸ τῶν φιλοσόφων ἢ συγγραφέων καὶ ποιητῶν εἰρημένα ἀξιόπιστα μὲν εἶναι παρὰ τὸ φράσει κεκαλλωπίσθαι· μωρὸς δὲ καὶ κενὸς ὁ λόγος αὐτῶν δείκνυται, ὅτι πολλὴ μὲν πληθὺς τῆς φλυαρίας αὐτῶν ἐστιν, τὸ τυχὸν δὲ τῆς ἀληθείας ἐν αὐτοῖς οὐχ εὑρίσκεται. Καὶ γὰρ εἴ τι δοκεῖ ἀληθὲς δι' αὐτῶν ἐκπεφωνῆσθαι, σύγκρασιν ἔχει τῇ πλάνῃ. Καθάπερ φάρμακόν τι δηλητήριον συγκραθὲν μέλιτι ἢ οἴνῳ ἢ ἑτέρῳ τινὶ τὸ πᾶν ποιεῖ βλαβερὸν καὶ ἄχρηστον, οὕτω καὶ ἡ ἐν αὐτοῖς πολυλογία εὑρίσκεται ματαιοπονία καὶ βλάβη μᾶλλον τοῖς πειθομένοις αὐτῇ.*

*Ἔτι μὴν καὶ περὶ τῆς ἑβδόμης ἡμέρας, ἣν πάντες μὲν ἄνθρωποι ὀνομάζουσιν, οἱ δὲ πλείους ἀγνοοῦσιν· ὅτι παρ' Ἑβραίοις ὃ καλεῖται σάββατον ἑλληνιστὶ ἑρμηνεύεται ἑβδομάς, ἥτις εἰς πᾶν γένος ἀνθρώπων ὀνομάζεται μέν, δι' ἣν δὲ αἰτίαν καλοῦσιν αὐτὴν οὐκ ἐπίστανται. Τὸ δὲ εἰπεῖν Ἡσίοδον τὸν ποιητὴν ἐκ Χάους γεγενῆσθαι Ἔρεβος καὶ τὴν Γῆν καὶ Ἔρωτα κυριεύοντα τῶν κατ' αὐτὸν θεῶν τε καὶ ἀνθρώπων, μάταιον καὶ*

5 κατ' αὐτὸν θεῶν τε *Χ* κατ' αὐτῶν τε θεῶν *Μ* κατ' αὐτὸν τε θεῶν *διορθ. Μ*

12 Κανεὶς ἄνθρωπος δὲν εἶναι ἱκανὸς νὰ παράσχῃ τὴν ἑρμηνείαν καὶ ὅλην τὴν διάταξιν τῆς ἑξαημέρου, οὔτε ἂν ἔχῃ μυρία στόματα καὶ μυρίας γλώσσας· ἀλλ' οὔτε ἂν ζήσῃ κανεὶς μυρία ἔτη, παραμένων εἰς τὸν βίον τοῦτον, οὔτε τότε δὲν θὰ εἶναι ἱκανὸς νὰ εἴπῃ κάτι ἀξίως πρὸς ταῦτα, λόγῳ τοῦ ὑπερβολικοῦ μεγαλείου καὶ τοῦ πλούτου τῆς σοφίας τοῦ Θεοῦ ἡ ὁποία ἀπαντᾶται εἰς αὐτὴν τὴν παρατεθεῖσαν ἀνωτέρω διήγησιν περὶ τῆς ἑξαημέρου.

Πολλοὶ λοιπὸν ἀπὸ τοὺς συγγραφεῖς ἐμιμήθησαν καὶ ἠθέλησαν νὰ συντάξουν διήγησιν περὶ τούτων, καὶ λαβόντες ἀπὸ ἐδῶ τὰς ἀφορμάς, εἴτε περὶ τῆς κτίσεως τοῦ κόσμου εἴτε περὶ τῆς φύσεως τοῦ ἀνθρώπου, δὲν διετύπωσαν οὔτε κἂν ἕνα σπινθῆρα ἄξιον τῆς ἀληθείας. Φαίνεται δὲ ὅτι τὰ ὑπὸ τῶν φιλοσόφων ἢ συγγραφέων καὶ ποιητῶν λεγόμενα εἶναι ἀξιόπιστα ἐξ ἀπόψεως ἐκφραστικοῦ καλλωπισμοῦ· ἀλλ' ὁ λόγος των δεικνύεται μωρὸς καὶ κενός, καθ' ὅσον ἡ φλυαρία των εἶναι ἄφθονος, δὲν εὑρίσκεται δὲ εἰς αὐτὰ ἡ τυχὸν ὑπάρχουσα ἀλήθεια. Διότι, ἐὰν φαίνεται ὅτι ἔχει διατυπωθῆ ὑπ' αὐτῶν κάτι ἀληθές, εἶναι ἀνάμικτον μὲ τὴν πλάνην. Καθὼς ἓν δηλητηριῶδες φάρμακον ἀναμιχθὲν μὲ μέλι ἢ οἶνον ἢ κάτι ἄλλο καθιστᾶ τὸ ὅλον ἐπιβλαβὲς καὶ ἄχρηστον, οὕτω καὶ ἡ εἰς αὐτοὺς πολυλογία εὑρίσκεται μᾶλλον ματαιοπονία καὶ βλάβη εἰς τοὺς παρασυρομένους ἀπὸ αὐτήν.

Προσέτι καὶ περὶ τῆς ἑβδόμης ἡμέρας, τὴν ὁποίαν ὅλοι οἱ ἄνθρωποι ὀνομάζουν, οἱ δὲ περισσότεροι ἀγνοοῦν· διότι τὸ καλούμενον ἀπὸ τοὺς Ἑβραίους σάββατον ἑλληνιστὶ ἑρμηνεύεται ἑβδομάς[33], ἥτις ὀνομάζεται εἰς πᾶν γένος ἀνθρώπων, ἀλλὰ δὲν γνωρίζουν διὰ ποῖον λόγον τὴν καλοῦν οὕτω. Τὸ ὅτι δὲ ὁ ποιητὴς Ἡσίοδος λέγει ὅτι ἀπὸ τὸ χάος ἔγινε τὸ Ἔρεβος καὶ ἡ Γῆ καὶ ὁ Ἔρως, κυρίαρχον κατ' αὐτὸν τῶν θεῶν καὶ τῶν ἀνθρώ-

---

33. Ὁ ὅρος σάββατον παράγεται ἀπὸ τὴν λέξιν σιαμπάτ, σημαίνουσαν ἀνάπαυσιν, ἀλλ' ὁ Θεόφιλος φαίνεται νὰ παράγῃ αὐτὸν ἀπὸ τὴν λέξιν σιεμπά, σημαίνουσαν ἑπτά.

*ψυχρὸν τὸ ῥῆμα αὐτοῦ καὶ ἀλλότριον πάσης ἀληθείας δείκνυται· Θεὸν γὰρ οὐ χρὴ ὑφ' ἡδονῆς νικᾶσθαι, ὅπου γε καὶ οἱ σώφρονες ἄνθρωποι ἀπέχονται πάσης αἰσχρᾶς ἡδονῆς καὶ ἐπιθυμίας κακῆς.*

13 *Ἀλλὰ καὶ τὸ ἐκ τῶν ἐπιγείων κάτωθεν ἄρξασθαι καταλέγειν τὴν ποίησιν τῶν γεγενημένων ἀνθρώπινον καὶ ταπεινὸν καὶ πάνυ ἀσθενὲς τὸ ἐννόημα αὐτοῦ, ὡς πρὸς Θεόν, ἐστίν. Ἄνθρωπος γὰρ κάτω ὢν ἄρχεται ἐκ τῆς γῆς οἰκοδομεῖν, καὶ οὐ πρὸς τάξιν δύναται καὶ τὴν ὀροφὴν ποιῆσαι ἐὰν μὴ τὸν θεμέλιον ὑπόθηται. Θεοῦ δὲ τὸ δυνατὸν ἐν τούτῳ δείκνυται ἵνα πρῶτον μὲν ἐξ οὐκ ὄντων ποιῇ τὰ γινόμενα, καὶ ὡς βούλεται. «Τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα δυνατά ἐστιν παρὰ Θεῷ».*

*Διὸ καὶ ὁ προφήτης πρῶτον εἴρηκεν τὴν ποίησιν τοῦ οὐρανοῦ γεγενῆσθαι τόπον ἐπέχοντος ὀροφῆς, λέγων· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν», τουτέστιν διὰ τῆς ἀρχῆς γεγενῆσθαι τὸν οὐρανόν, καθὼς ἔφθημεν δεδηλωκέναι. Γῆν δὲ λέγει δυνάμει ἔδαφος καὶ θεμέλιον, ἄβυσσον δὲ τὴν πληθὺν τῶν ὑδάτων, καὶ σκότος, διὰ τὸ τὸν οὐρανὸν γεγονότα ὑπὸ τοῦ Θεοῦ ἐσκεπακέναι καθαπερεὶ πῶμα τὰ ὕδατα σὺν τῇ γῇ, πνεῦμα δὲ τὸ ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος ὃ ἔδωκεν ὁ Θεὸς εἰς ζωογόνησιν τῇ κτίσει, καθάπερ ἀνθρώπῳ ψυχήν, τῷ λεπτῷ τὸ λεπτὸν συγκεράσας (τὸ γὰρ πνεῦμα λεπτὸν καὶ τὸ ὕδωρ λεπτόν), ὅπως τὸ μὲν πνεῦμα τρέφῃ τὸ ὕδωρ, τὸ δὲ ὕδωρ σὺν τῷ πνεύματι τρέφῃ τὴν κτίσιν διϊκνούμενον πανταχόσε. Ἔτι μὴν τὸ πνεῦμα φωτὸς τόπον ἐπέχον ἐμεσίτευσε τοῦ ὕδατος καὶ τοῦ οὐρανοῦ,*

10 καταλέγειν *X* καὶ λέγειν *MB*
19 τόπον ἐπέχοντος *X* τρόπον ἐπέχοντα *Mβ*
2 ἔτι μὴν *X* ἓν μὲν *MB*

πων, ὁ λόγος οὗτος εἶναι μάταιος καὶ ψυχρὸς καὶ δεικνύεται ξένος πρὸς πᾶσαν ἀλήθειαν. Διότι ὁ Θεὸς δὲν πρέπει νὰ νικᾶται ἀπὸ τὴν ἡδονήν, καθ' ἣν στιγμὴν καὶ οἱ σώφρονες ἄνθρωποι ἀπέχουν ἀπὸ πᾶσαν αἰσχρὰν ἡδονὴν καὶ κακὴν ἐπιθυμίαν.

13 Ἀλλὰ καὶ τὸ ὅτι ἤρχισε νὰ διηγῆται[33α] τὴν δημιουργίαν τῶν ὄντων ἀπὸ τὰ ἐπίγεια κάτω εἶναι σκέψις ἀνθρωπίνη, ταπεινὴ καὶ πολὺ ἀσθενὴς ἐν ἀναφορᾷ πρὸς τὸν Θεόν. Διότι ὁ ἄνθρωπος, εὑρισκόμενος κάτω, ἄρχεται νὰ οἰκοδομῇ ἀπὸ τὸ ἔδαφος καὶ κατὰ τάξιν δὲν δύναται νὰ κατασκευάσῃ τὴν ὀροφὴν ἐὰν δὲν τοποθετήσῃ τὸ θεμέλιον. Τοῦ Θεοῦ δὲ ἡ δύναμις δεικνύεται εἰς τοῦτο, ὅτι πρῶτον μὲν κατασκευάζει τὰ ποιήματα ἐξ οὐκ ὄντων καὶ ὅπως θέλει. «Διότι τὰ ἀδύνατα εἰς τοὺς ἀνθρώπους εἶναι δυνατὰ εἰς τὸν Θεόν»[34].

Διὰ τοῦτο καὶ ὁ προφήτης πρῶτον εἶπεν ὅτι συνετελέσθη ἡ ποίησις τοῦ οὐρανοῦ ἐπέχοντος θέσιν ὀροφῆς, λέγων· «εἰς τὴν ἀρχὴν ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν», ἤτοι ὅτι ὁ οὐρανὸς ἔγινε διὰ τῆς Ἀρχῆς, ὅπως πρὸ ὀλίγου ἐδηλώσαμεν. Γῆν δὲ λέγει κατά τινα τρόπον τὸ ἔδαφος καὶ τὸ θεμέλιον, ἄβυσσον δὲ τὸ πλῆθος τῶν ὑδάτων, καὶ ἐπίσης σκότος, διότι ὁ οὐρανὸς δημιουργηθεὶς ὑπὸ τοῦ Θεοῦ ἐσκέπασεν ὡσὰν πῶμα τὰ ὕδατα καθὼς καὶ τὴν γῆν, πνεῦμα δὲ λέγει τὸ φερόμενον ἐπάνω εἰς τὸ ὕδωρ, τὸ ὁποῖον ἔδωσεν ὁ Θεὸς πρὸς ζωογόνησιν εἰς τὴν κτίσιν, ὡσὰν ψυχὴν εἰς τὸν ἄνθρωπον, ἀναμίξας τὸ λεπτὸν εἰς τὸ λεπτὸν (διότι τὸ πνεῦμα εἶναι λεπτὸν καὶ τὸ ὕδωρ λεπτόν), μὲ σκοπὸν τὸ μὲν πνεῦμα νὰ τρέφῃ τὸ ὕδωρ, τὸ δὲ ὕδωρ μαζὶ μὲ τὸ πνεῦμα νὰ τρέφῃ τὴν κτίσιν διεισδῦον πανταχοῦ. Προσέτι βεβαίως τὸ πνεῦμα ἐπέχον θέσιν φωτὸς ἐμεσίτευσε μεταξὺ τοῦ

---

33α. Ὁ Ἡσίοδος.
34. Λουκᾶ 18,27.

*ἵνα τρόπῳ τινὶ μὴ κοινωνῇ τὸ σκότος τῷ οὐρανῷ ἐγγυτέρῳ ὄντι τοῦ Θεοῦ, πρὸ τοῦ εἰπεῖν τὸν Θεόν, «γενηθήτω φῶς». Ὥσπερ οὖν καμάρα ὁ οὐρανὸς ὢν συνεῖχε τὴν ὕλην βώλῳ ἐοικυῖαν. Καὶ γὰρ εἴρηκεν περὶ τοῦ οὐρανοῦ ἕτερος προφήτης ὀνόματι Ἠσαΐας, λέγων· «Θεὸς οὗτος ὁ ποιήσας τὸν οὐρανὸν ὡς καμάραν καὶ διατείνας ὡς σκηνὴν κατοικεῖσθαι».*

*Ἡ διάταξις οὖν τοῦ Θεοῦ, τοῦτό ἐστιν ὁ λόγος αὐτοῦ, φαίνων ὥσπερ λύχνος ἐν οἰκήματι συνεχομένῳ, ἐφώτισε τὴν ὑπ' οὐρανόν, χωρὶς μὲν τοῦ κόσμου ποιήσας. «Καὶ τὸ μὲν φῶς ὁ Θεὸς ἐκάλεσεν ἡμέραν, τὸ δὲ σκότος νύκτα»· ἐπεὶ τοί γε ἄνθρωπος οὐκ ἂν ᾔδει καλεῖν τὸ φῶς ἡμέραν ἢ τὸ σκότος νύκτα, ἀλλ' οὐδὲ μὴν τὰ λοιπά, εἰ μὴ τὴν ὀνομασίαν εἰλήφει ἀπὸ τοῦ ποιήσαντος αὐτὰ Θεοῦ.*

*Τῇ μὲν οὖν πρώτῃ ὑποθέσει τῆς ἱστορίας, καὶ γενέσεως τοῦ κόσμου, εἴρηκεν ἡ ἁγία γραφὴ οὐ περὶ τούτου τοῦ στερεώματος, ἀλλὰ περὶ ἑτέρου οὐρανοῦ τοῦ ἀοράτου ἡμῖν ὄντος, μεθ' ὃν οὗτος ὁ ὁρατὸς ἡμῖν οὐρανὸς κέκληται στερέωμα, ἐφ' ᾧ ἀνείληπται τὸ ἥμισυ τοῦ ὕδατος, ὅπως ᾖ τῇ ἀνθρωπότητι εἰς ὑετοὺς καὶ ὄμβρους καὶ δρόσους. Τὸ δὲ ἥμισυ ὕδατος ὑπελείφθη ἐν τῇ γῇ εἰς ποταμοὺς καὶ πηγὰς καὶ θαλάσσας. Ἔτι οὖν συνέχοντος τοῦ ὕδατος τὴν γῆν, μάλιστα κοίλους τόπους, ἐποίησεν ὁ Θεὸς διὰ τοῦ λόγου αὐτοῦ τὸ ὕδωρ συναχθῆναι εἰς συναγωγὴν μίαν, καὶ ὁρατὴν γενηθῆναι τὴν ξηράν, πρότερον γεγονυῖαν αὐ-*

15 μὴν *X* μὲν *MB*
20 ὁρατὸς *E* ἀόρατος *MB*

ὕδατος καὶ τοῦ οὐρανοῦ, ὥστε κατὰ κάποιον τρόπον νὰ μὴ ἐπικοινωνῆ τὸ σκότος μὲ τὸν οὐρανὸν εὑρισκόμενον πλησιέστερον εἰς τὸν Θεόν, προτοῦ εἴπη ὁ Θεός, «ἂς γίνη φῶς»[35]. Ὁ οὐρανὸς λοιπόν, ὡσὰν καμάρα συνεῖχε τὴν ὕλην ὁμοιάζουσαν μὲ βῶλον. Διότι περὶ τοῦ οὐρανοῦ ἄλλος προφήτης ὀνόματι Ἡσαΐας εἶπεν· «αὐτὸς εἶναι ὁ Θεός, ὁ ὁποῖος ἐδημιούργησε τὸν οὐρανὸν ὡσὰν καμάραν καὶ τὸν ἥπλωσεν ὡσὰν σκηνὴν διὰ νὰ κατοικῆται»[36].

Ἡ ἐντολὴ λοιπὸν τοῦ Θεοῦ, δηλαδὴ ὁ Λόγος αὐτοῦ, φωτίζων ὡσὰν λύχνος εἰς κλειστὸν οἴκημα, ἐφώτισε τὴν ὑπὸ τὸν οὐρανὸν γῆν, διὰ ποιήσεως ἐκτὸς τοῦ κόσμου. «Καὶ τὸ μὲν φῶς ὁ Θεὸς ἐκάλεσεν ἡμέραν, τὸ δὲ σκότος νύκτα»[37]· καθ' ὅσον ὁ ἄνθρωπος δὲν θὰ ἐγνώριζε νὰ καλέση τὸ φῶς ἡμέραν ἢ τὸ σκότος νύκτα, ἀλλ' οὔτε τὰ ἄλλα βεβαίως, ἐὰν δὲν εἶχε λάβει τὴν ὀνομασίαν ἀπὸ τὸν Θεὸν ὁ ὁποῖος τὰ ἐδημιούργησε.

Κατὰ τὴν ἔναρξιν τῆς ἐκθέσεως τῆς ἱστορίας καὶ τῆς γενέσεως τοῦ κόσμου ἡ ἁγία Γραφὴ ἀνέφερεν ὄχι περὶ τούτου τοῦ στερεώματος, ἀλλὰ περὶ ἄλλου οὐρανοῦ ἀοράτου εἰς ἡμᾶς[38], μετ' αὐτὸν δὲ οὗτος ὁ ὁρατὸς εἰς ἡμᾶς οὐρανὸς ὠνομάσθη στερέωμα λόγω τοῦ ὅτι συγκρατεῖ τὸ ἥμισυ τοῦ ὕδατος, διὰ νὰ προμηθεύη τὴν ἀνθρωπότητα μὲ ὑετοὺς καὶ ὄμβρους καὶ δρόσους. Τὸ δὲ ἥμισυ τοῦ ὕδατος ἀφέθη εἰς τὴν γῆν διὰ ποταμούς, πηγὰς καὶ θαλάσσας. Ἐνῶ δὲ ἀκόμη τὸ ὕδωρ συνεῖχε τὴν γῆν, μάλιστα τοὺς κοίλους τόπους, ἔκαμεν ὁ Θεὸς διὰ τοῦ λόγου αὐτοῦ νὰ συναχθῆ τὸ ὕδωρ εἰς μίαν δεξαμενὴν καὶ νὰ γίνη ὁρατὴ

---

35. Γεν. 1,3.

36. Ἡσ. 40,22.

37. Γεν. 1,5.

38. Εὑρίσκομεν ἐδῶ ἴχνη τῆς διδασκαλίας περὶ δημιουργίας τοῦ νοητοῦ κόσμου εἰς ἄλλο στάδιον τῆς θείας ἐνεργείας καὶ πρὸ τοῦ παρόντος κόσμου, τὴν ὁποίαν συναντῶμεν εἰς τὸν Ὠριγένην, *Περὶ Ἀρχῶν* 2,9,7, τὸν Μ. Βασίλειον, εἰς *Ἑξαήμερον* 1,5 καὶ ἄλλους.

τὴν ἀόρατον. Ὁρατὴ οὖν ἡ γῆ γενομένη ἔτι ὑπῆρχεν ἀκατασκεύαστος. Κατεσκεύασεν οὖν αὐτὴν καὶ κατεκόσμησεν ὁ Θεὸς διὰ παντοδαπῶν χλοῶν καὶ σπερμάτων καὶ φυτῶν.

14 Σκόπει τὸ λοιπὸν τὴν ἐν τούτοις ποικιλίαν καὶ διάφορον καλλονὴν καὶ πληθύν, καὶ ὅτι δι' αὐτῶν δείκνυται ἡ ἀνάστασις, εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως ἁπάντων ἀνθρώπων. Τίς γὰρ κατανοήσας οὐ θαυμάσει ἐκ συκῆς κεγχραμίδος γίνεσθαι συκῆν, ἢ τῶν λοιπῶν σπερμάτων ἐλαχίστων φύειν παμμεγέθη δένδρα;

Τὸν δὲ κόσμον ἐν ὁμοιώματι ἡμῖν λέγομεν εἶναι τῆς θαλάσσης. Ὥσπερ γὰρ θάλασσα, εἰ μὴ εἶχεν τὴν τῶν ποταμῶν καὶ πηγῶν ἐπίρρυσιν καὶ ἐπιχορηγίαν εἰς τροφήν, διὰ τὴν ἁλμυρότητα αὐτῆς πάλαι ἂν ἐκπεφρυγμένη ἦν, οὕτω καὶ ὁ κόσμος, εἰ μὴ ἐσχήκει τὸν τοῦ Θεοῦ νόμον καὶ τοὺς προφήτας ῥέοντας καὶ πηγάζοντας τὴν γλυκύτητα καὶ εὐσπλαγχνίαν καὶ δικαιοσύνην καὶ διδαχὴν τῶν ἁγίων ἐντολῶν τοῦ Θεοῦ, διὰ τὴν κακίαν καὶ ἁμαρτίαν τὴν πληθύουσαν ἐν αὐτῷ ἤδη ἂν ἐκλελοίπει. Καὶ καθάπερ ἐν θαλάσσῃ νῆσοί εἰσιν αἱ μὲν οἰκηταὶ καὶ ἔνυδροι καὶ καρποφόροι, ἔχουσαι ὅρμους καὶ λιμένας πρὸς τὸ τοὺς χειμαζομένους ἔχειν ἐν αὐτοῖς καταφυγάς, οὕτω δέδωκεν ὁ Θεὸς τῷ κόσμῳ κυμαινομένῳ καὶ χειμαζομένῳ ὑπὸ τῶν ἁμαρτημάτων τὰς συναγωγάς, λεγομένας δὲ ἐκκλησίας ἁγίας, ἐν αἷς καθάπερ λιμέσιν εὐόρμοις ἐν νήσοις αἱ διδασκαλίαι τῆς ἀληθείας εἰσίν, πρὸς ἃς καταφεύγουσιν οἱ θέλοντες σώζεσθαι, ἐρασταὶ γινόμενοι τῆς ἀληθείας καὶ βουλόμενοι ἐκφυγεῖν τὴν ὀργὴν καὶ κρίσιν τοῦ Θεοῦ. Καὶ ὥσπερ αὖ νῆσοί εἰσιν ἕτεραι πετρώδεις καὶ ἄνυδροι καὶ ἄκαρποι καὶ θηριώδεις καὶ ἀοίκητοι ἐπὶ βλάβῃ τῶν πλεόντων καὶ χειμαζομένων, ἐν αἷς περιπείρεται τὰ πλοῖα καὶ ἐξαπόλλυνται ἐν αὐταῖς οἱ κατερχόμενοι, οὕτως εἰσὶν αἱ διδασκαλίαι τῆς πλάνης, λέγω δὲ τῶν αἱρέσεων, αἳ ἐξαπολλύουσιν τοὺς προσιόντας αὐταῖς. Οὐ γὰρ ὁδηγοῦνται ὑπὸ τοῦ λόγου τῆς

ἡ ξηρά, ἡ ὁποία προηγουμένως ἦτο ἀόρατος. Μολονότι λοιπὸν ἔγινεν ὁρατὴ ἡ γῆ, ἦτο ἀκόμη ἀκατασκεύαστος. Κατεσκεύασε λοιπὸν καὶ διεκόσμησεν αὐτὴν ὁ Θεὸς μὲ παντὸς εἴδους χλόην καὶ σπέρματα καὶ φυτά.

14 Παρατήρησε ἐξ ἄλλου τὴν εἰς αὐτὰ ποικιλίαν καὶ διάφορον καλλονὴν καὶ πληθὺν καὶ ὅτι δι' αὐτῶν δεικνύεται ἡ ἀνάστασις, εἰς δεῖγμα τῆς μελλούσης ἀναστάσεως ὅλων τῶν ἀνθρώπων. Πράγματι ποῖος δὲν θὰ θαυμάση, ἂν κατανοήση, ὅτι ἀπὸ ἓν σπορίδιον σύκου γίνεται μία συκῆ ἢ ὅτι ἀπὸ τὰ ἄλλα μικροσκοπικὰ σπέρματα φυτρώνουν παμμεγέθη δένδρα;

Ὁ δὲ κόσμος λέγομεν ὅτι μᾶς φαίνεται ὅμοιος μὲ θάλασσαν. Διότι καθὼς ἡ θάλασσα, ἂν δὲν εἶχε τὴν ροὴν καὶ χορήγησιν τροφῆς ὑπὸ τῶν ποταμῶν καὶ πηγῶν, θὰ ἦτο φρυγμένη ἀπὸ καιρὸν ἀπὸ τὴν ἁλμύραν της, οὕτω καὶ ὁ κόσμος, ἐὰν δὲν εἶχε τὸν νόμον τοῦ Θεοῦ καὶ τοὺς προφήτας νὰ ρέουν καὶ νὰ πηγάζουν τὴν γλυκύτητα, τὴν εὐσπλαγχνίαν, τὴν δικαιοσύνην, τὴν διαδοχὴν τῶν ἁγίων ἐντολῶν τοῦ Θεοῦ, θὰ εἶχεν ἤδη ἐκλείψει λόγω τῆς μεγάλης κακίας καὶ ἁμαρτίας εἰς αὐτόν. Καὶ καθὼς εἰς τὴν θάλασσαν ὑπάρχουν νῆσοι ἄλλαι κατοικήσιμοι, ὑδατοῦχοι καὶ καρποφόροι, μὲ ὅρμους καὶ λιμένας διὰ νὰ εὑρίσκουν εἰς αὐτὰς καταφύγιον οἱ πληττόμενοι ἀπὸ τρικυμίαν, οὕτως ἔδωσεν ὁ Θεὸς εἰς τὸν κόσμον, ὁ ὁποῖος ταράσσεται καὶ χειμάζεται ὑπὸ τῶν ἁμαρτημάτων, τὰς συναγωγάς, τὰς λεγομένας ἁγίας ἐκκλησίας, εἰς τὰς ὁποίας ὑπάρχουν αἱ διδασκαλίαι τῆς ἀληθείας ὡσὰν καλοὶ λιμένες εἰς νήσους, πρὸς τὰς ὁποίας καταφεύγουν οἱ θέλοντες νὰ σωθοῦν, γινόμενοι φίλοι τῆς ἀληθείας καὶ ἐπιθυμοῦντες νὰ ἀποφύγουν τὴν ὀργὴν καὶ κρίσιν τοῦ Θεοῦ. Καὶ καθὼς ἐπίσης ὑπάρχουν ἄλλαι νῆσοι πετρώδεις, ἄνυδροι, ἄκαρποι, θηριώδεις καὶ ἀκατοίκητοι πρὸς ζημίαν τῶν πλεόντων καὶ χειμαζομένων, εἰς τὰς ὁποίας προσαράσσουν τὰ πλοῖα καὶ ἀφανίζονται οἱ κατερχόμενοι, οὕτως ὑπάρχουν αἱ διδασκαλίαι τῆς πλάνης, δηλαδὴ τῶν αἱρέσεων, αἱ ὁποῖαι καταστρέφουν τοὺς πλησιάζοντας εἰς αὐτάς. Διότι δὲν καθοδηγοῦνται ὑπὸ τοῦ λόγου τῆς ἀληθείας, ἀλλὰ καθὼς οἱ πειραταί, ὅταν

*ἀληθείας, ἀλλὰ καθᾶπερ πειραταί, ἐπὰν πληρώσωσι τὰς νεῦς, ἐπὶ τοὺς προειρημένους τόπους περιπείρουσιν ὅπως ἐξαπολέσωσιν αὐτάς, οὕτω συμβαίνει καὶ τοῖς πλανωμένοις ἀπὸ τῆς ἀληθείας ἐξαπόλλυσθαι ὑπὸ τῆς πλάνης.*

15 *Τετάρτῃ ἡμέρᾳ ἐγένοντο οἱ φωστῆρες. Ἐπειδὴ ὁ Θεὸς προγνώστης ὢν ἠπίστατο τὰς φλυαρίας τῶν ματαίων φιλοσόφων, ὅτι ἤμελλον λέγειν ἀπὸ τῶν στοιχείων εἶναι τὰ ἐπὶ τῆς γῆς φυόμενα, πρὸς τὸ ἀθετεῖν τὸν Θεόν, ἵν' οὖν τὸ ἀληθὲς δειχθῇ, προγενέστερα γέγονεν τὰ φυτὰ καὶ τὰ σπέρματα τῶν στοιχείων· τὰ γὰρ μεταγενέστερα οὐ δύναται ποιεῖν τὰ αὐτῶν προγενέστερα.*

*Ταῦτα δὲ δεῖγμα καὶ τόπον ἐπέχει μεγάλου μυστηρίου. Ὁ γὰρ ἥλιος ἐν τύπῳ Θεοῦ ἐστιν, ἡ δὲ σελήνη ἀνθρώπου. Καὶ ὥσπερ ὁ ἥλιος πολὺ διαφέρει τῆς σελήνης δυνάμει καὶ δόξῃ, οὕτω πολὺ διαφέρει ὁ Θεὸς τῆς ἀνθρωπότητος· καὶ καθάπερ ὁ ἥλιος πλήρης πάντοτε διαμένει μὴ ἐλάσσων γινόμενος, οὕτω πάντοτε ὁ Θεὸς τέλειος διαμένει, πλήρης ὢν πάσης δυνάμεως καὶ συνέσεως καὶ σοφίας καὶ ἀθανασίας καὶ πάντων τῶν ἀγαθῶν. Ἡ δὲ σελήνη κατὰ μῆνα φθίνει καὶ δυνάμει ἀποθνῄσκει, ἐν τύπῳ οὖσα ἀνθρώπου, ἔπειτα ἀναγεννᾶται καὶ αὔξει εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως. Ὡσαύτως καὶ αἱ τρεῖς ἡμέραι πρὸ τῶν φωστήρων γεγονυῖαι τύποι εἰσὶν τῆς Τριάδος, τοῦ Θεοῦ καὶ τοῦ Λόγου αὐτοῦ καὶ τῆς Σοφίας αὐτοῦ. Τετάρτῳ δὲ τόπῳ ἐστὶν ἄνθρωπος ὁ προσδεὴς τοῦ φωτός, ἵνα ᾖ Θεός, Λόγος, Σοφία, Ἄνθρωπος. Διὰ τοῦτο καὶ τετάρτῃ ἡμέρᾳ ἐγενήθησαν φωστῆρες.*

11 τόπον *X* τύπον *MB*
23 τόπῳ *Maran* τύπῳ *MB*

γεμίσουν τὰ πλοῖα μὲ ἐπιβάτας, τὰ προσαράσσουν εἰς τοὺς προαναφερθέντας τόπους διὰ νὰ τὰ καταστρέψουν, οὕτω συμβαίνει καὶ μὲ τοὺς περιπλανωμένους ἀπὸ τὴν ἀλήθειαν νὰ καταστρέφωνται ὑπὸ τῆς πλάνης.

15 Κατὰ τὴν τετάρτην ἡμέραν ἔγιναν οἱ φωστῆρες. Ἐπειδὴ ὁ Θεὸς ὡς προγνώστης ἐγνώριζε τὰς φλυαρίας τῶν ματαιολόγων φιλοσόφων, ὅτι ἐπρόκειτο νὰ εἴπουν ὅτι τὰ φυόμενα εἰς τὴν γῆν προέρχονται ἀπὸ τὰ ἄστρα, διὰ νὰ ἀθετήσουν τὸν Θεόν, διὰ νὰ δειχθῆ ἡ ἀλήθεια, προηγουμένως ἔγιναν τὰ φυτὰ καὶ τὰ σπέρματα ἀπὸ τὰ ἄστρα· τὰ δὲ μεταγενέστερα δὲν δύνανται νὰ κάμουν τὰ προγενέστερα αὐτῶν.

Ταῦτα δὲ ἀποτελοῦν δεῖγμα καὶ ἐπέχουν θέσιν μεγάλου μυστηρίου. Πράγματι ὁ ἥλιος εἶναι τύπος[39] τοῦ Θεοῦ, ἡ δὲ σελήνη τοῦ ἀνθρώπου. Καὶ ὅπως ὁ ἥλιος διαφέρει τῆς σελήνης εἰς δύναμιν καὶ δόξαν, τόσον πολὺ διαφέρει ὁ Θεὸς τῆς ἀνθρωπότητος· καὶ ὅπως ὁ ἥλιος παραμένει πάντοτε πλήρης, χωρὶς νὰ μειώνεται, οὕτω ὁ Θεὸς διαμένει πάντοτε τέλειος, διότι εἶναι πλήρης πάσης δυνάμεως, συνέσεως, σοφίας, ἀθανασίας καὶ ὅλων τῶν ἀγαθῶν. Ἡ δὲ σελήνη κατὰ μῆνα φθίνει καὶ τρόπον τινὰ ἀποθνήσκει, ὡσὰν τύπος ἀνθρώπου, ἔπειτα ἀναγεννᾶται καὶ αὐξάνει εἰς ἔνδειξιν τῆς μελλούσης νὰ πραγματοποιηθῆ ἀναστάσεως. Ὡσαύτως καὶ αἱ τρεῖς ἡμέραι αἱ ὁποῖαι προηγήθησαν τῶν φωστήρων εἶναι τύπος τῆς Τριάδος[40], τοῦ Θεοῦ, τοῦ Λόγου αὐτοῦ, τῆς Σοφίας αὐτοῦ. Εἰς τετάρτην δὲ θέσιν εἶναι ὁ ἄνθρωπος ὁ ἔχων ἀνάγκην τοῦ φωτός, οὕτως ὥστε ὑπάρχει Θεός, Λόγος, Σοφία, Ἄνθρωπος[41]. Διὰ τοῦτο τὴν τετάρτην ἡμέραν ἔγιναν οἱ φωστῆρες.

---

39. Ἡ λέξις τύπος χρησιμοποιεῖται ἐδῶ ὑπὸ τὴν ἔννοιαν τοῦ συμβόλου, τοῦ ἀντιτύπου, καὶ ὄχι τοῦ προτύπου.

40. Ἡ ἔννοια τῆς Τριάδος βεβαίως προϋπῆρχε τοῦ Θεοφίλου, ἀλλ' ὁ ὅρος Τριὰς διὰ πρώτην φορὰν χρησιμοποιεῖται ἀπὸ τὴν πένναν αὐτοῦ. Πιθανὸν ἦτο ἤδη εἰς κοινὴν χρῆσιν προφορικῶς.

41. Ἡ τοποθέτησις τοῦ ἀνθρώπου μεταξὺ τῶν θείων προσώπων ὑποδεικνύει ἴχνη γνωστικῆς ἐπιδράσεως.

*Ἡ δὲ τῶν ἄστρων θέσις οἰκονομίαν καὶ τάξιν ἔχει τῶν δικαίων καὶ εὐσεβῶν καὶ τηρούντων τὸν νόμον καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ. Οἱ γὰρ ἐπιφανεῖς ἀστέρες καὶ λαμπροί εἰσιν εἰς μίμησιν τῶν προφητῶν· διὰ τοῦτο καὶ μένουσιν ἀκλινεῖς, μὴ μεταβαίνοντες εἰς τόπον ἐκ τόπου. Οἱ δὲ ἑτέραν ἔχοντες τάξιν τῆς λαμπρότητος τύποι εἰσὶν τοῦ λαοῦ τῶν δικαίων. Οἱ δ᾽ αὖ μεταβαίνοντες καὶ φεύγοντες τόπον ἐκ τόπου, οἱ καὶ πλάνητες καλούμενοι, καὶ αὐτοὶ τύπος τυγχάνουσιν τῶν ἀφισταμένων ἀνθρώπων ἀπὸ τοῦ Θεοῦ, καταλιπόντων τὸν νόμον καὶ τὰ προστάγματα αὐτοῦ.*

16 *Τῇ δὲ πέμπτῃ ἡμέρᾳ τὰ ἐκ τῶν ὑδάτων ἐγενήθη ζῶα, δι᾽ ὧν καὶ ἐν τούτοις δείκνυται ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. Τίς γὰρ δύναιτ᾽ ἂν τὴν ἐν αὐτοῖς πληθὺν καὶ γονὴν παμποίκιλον ἐξαριθμῆσαι; Ἔτι μὴν καὶ εὐλογήθη ὑπὸ τοῦ Θεοῦ τὰ ἐκ τῶν ὑδάτων γενόμενα, ὅπως ᾖ καὶ τοῦτο εἰς δεῖγμα τοῦ μέλλειν λαμβάνειν τοὺς ἀνθρώπους μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν διὰ ὕδατος καὶ λουτροῦ παλιγγενεσίας, πάντας τοὺς προσιόντας τῇ ἀληθείᾳ καὶ ἀναγεννωμένους καὶ λαμβάνοντας εὐλογίαν παρὰ τοῦ Θεοῦ.*

*Ἀλλὰ καὶ τὰ κήτη καὶ τὰ πετεινὰ τὰ σαρκοβόρα ἐν ὁμοιώματι τυγχάνει τῶν πλεονεκτῶν καὶ παραβατῶν. Ὥσπερ γὰρ ἐκ μιᾶς φύσεως ὄντα τὰ ἔνυδρα καὶ τὰ πετεινά, ἔνια μὲν μένει ἐν τῷ κατὰ φύσιν μὴ ἀδικοῦντα τὰ ἑαυτῶν ἀσθενέστερα, ἀλλὰ τηρεῖ νόμον τοῦ Θεοῦ καὶ ἀπὸ τῶν σπερμάτων τῆς γῆς ἐσθίει, ἔνια δὲ ἐξ αὐτῶν παραβαίνει τὸν νόμον τοῦ Θεοῦ σαρκοβοροῦντα καὶ ἀδικεῖ τὰ ἑαυτῶν ἀσθενέστερα, οὕτω καὶ οἱ δίκαιοι φυλάσσοντες τὸν νόμον τοῦ Θεοῦ οὐδένα δάκνουσιν ἢ ἀδικοῦσιν, ὁσίως καὶ δικαίως ζῶντες, οἱ δὲ ἅρπαγες καὶ φονεῖς καὶ ἄθεοι ἐοίκασιν κήτεσιν καὶ θηρίοις καὶ πετεινοῖς τοῖς σαρκοβόροις· δυνάμει γὰρ καταπίνουσιν τοὺς ἀσθενεστέρους ἑαυτῶν.*

Ἡ δὲ θέσις τῶν ἄστρων παριστάνει τὴν διευθέτησιν καὶ τάξιν τῶν δικαίων καὶ εὐσεβῶν, τῶν τηρούντων τὸν νόμον καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ. Δηλαδὴ οἱ ἐπιφανεῖς καὶ λαμπροὶ ἀστέρες εἶναι πρὸς μίμησιν τῶν προφητῶν· διὰ τοῦτο μένουν ἀκίνητοι μὴ μεταβαίνοντες ἀπὸ τόπον εἰς τόπον. Οἱ δὲ ἔχοντες κατωτέραν τάξιν εἰς λαμπρότητα εἶναι τύποι τοῦ πλήθους τῶν δικαίων. Οἱ δὲ μεταβαίνοντες ἀπὸ τόπον εἰς τόπον, οἱ καλούμενοι πλανῆται, εἶναι τύπος τῶν ἀνθρώπων οἱ ὁποῖοι ἀπομακρύνονται τοῦ Θεοῦ, ἐγκαταλείποντες τὸν νόμον καὶ τὰ προστάγματα αὐτοῦ.

16 Τὴν πέμπτην δὲ ἡμέραν ἐγενήθησαν τὰ ζῶα ἀπὸ τὰ ὕδατα, διὰ τῶν ὁποίων καὶ εἰς τὰ ὁποῖα δεικνύεται ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ[42]. Διότι ποῖος θὰ ἠδύνατο νὰ ἀπαριθμήσῃ τὸ εἰς αὐτὰ πλῆθος καὶ τὴν ποικιλόμορφον γενεάν; Προσέτι μάλιστα καὶ εὐλογήθησαν ὑπὸ τοῦ Θεοῦ τὰ γενόμενα ἀπὸ τὰ ὕδατα, διὰ νὰ εἶναι καὶ τοῦτο ὡς δεῖγμα τοῦ ὅτι ἐπρόκειτο οἱ ἄνθρωποι νὰ λαμβάνουν μετάνοιαν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν διὰ ὕδατος καὶ λουτροῦ παλιγγενεσίας[43], ὅλοι οἱ προσερχόμενοι εἰς τὴν ἀλήθειαν καὶ ἀναγεννώμενοι καὶ λαμβάνοντες εὐλογίαν παρὰ τοῦ Θεοῦ.

Ἀλλὰ καὶ τὰ κήτη καὶ τὰ πτηνὰ τὰ σαρκοβόρα ὁμοιάζουν μὲ τοὺς πλεονέκτας καὶ παραβάτας. Ὅπως δηλαδὴ τὰ ἔνυδρα καὶ τὰ πτηνά, ἂν καὶ εἶναι μιᾶς φυλῆς, ἄλλα μένουν εἰς κατὰ φύσιν κατάστασιν, μὴ ἀδικοῦντα τὰ ἀσθενέστερα αὐτῶν, ἀλλὰ τηροῦν τὸν νόμον τοῦ Θεοῦ καὶ τρώγουν ἀπὸ τοὺς σπόρους τῆς γῆς, ἄλλα δὲ παραβαίνουν τὸν νόμον τοῦ Θεοῦ, τρώγοντα σάρκας, καὶ ἀδικοῦν τὰ ἀσθενέστερα αὐτῶν, οὕτω καὶ οἱ δίκαιοι, φυλάσσοντες τὸν νόμον τοῦ Θεοῦ, κανένα δὲν δαγκάνουν ἢ ἀδικοῦν, ζῶντες ὁσίως καὶ δικαίως, ἐνῶ οἱ ἅρπαγες καὶ φονεῖς καὶ ἄθεοι ὁμοιάζουν μὲ κήτη καὶ θηρία καὶ πτηνὰ σαρκοβόρα· διότι κατά τινα τρόπον καταπίνουν τοὺς ἀσθενέστερους ἀπὸ αὐτούς.

---

42. Βλ. Ἐφεσ. 3,10.
43. Βλ. Τίτ. 3,5.

*Ἡ μὲν οὖν τῶν ἐνύδρων καὶ ἑρπετῶν γονή, μετεσχηκυῖα τῆς εὐλογίας τοῦ Θεοῦ, οὐδὲν ἴδιον πάνυ κέκτηται.*

17 *Ἕκτῃ δὲ ἡμέρᾳ ὁ Θεὸς ποιήσας τὰ τετράποδα καὶ τὰ θηρία καὶ ἑρπετὰ τὰ χερσαῖα τὴν πρὸς αὐτὰ εὐλογίαν παρασιωπᾷ, τηρῶν τῷ ἀνθρώπῳ τὴν εὐλογίαν, ὃν ἤμελλεν ἐν τῇ ἕκτῃ ἡμέρᾳ ποιεῖν. Ἅμα καὶ εἰς τύπον ἐγένοντο τά τε τετράποδα καὶ θηρία ἐνίων ἀνθρώπων τῶν τὸν Θεὸν ἀγνοούντων καὶ ἀσεβούντων καὶ τὰ ἐπίγεια φρονούντων καὶ μὴ μετανοούντων. Οἱ γὰρ ἐπιστρέφοντες ἀπὸ τῶν ἀνομιῶν καὶ δικαίως ζῶντες ὥσπερ πετεινὰ ἀνίπτανται τῇ ψυχῇ, τὰ ἄνω φρονοῦντες καὶ εὐαρεστοῦντες τῷ θελήματι τοῦ Θεοῦ. Οἱ δὲ τὸν Θεὸν ἀγνοοῦντες καὶ ἀσεβοῦντες ὅμοιοί εἰσιν ὀρνέοις τοῖς πτερὰ μὲν ἔχουσιν, μὴ δυναμένοις δὲ ἀνίπτασθαι καὶ τὰ ἄνω τρέχειν τῆς θειότητος. Οὕτω καὶ οἱ τοιοῦτοι ἄνθρωποι μὲν λέγονται, τὰ δὲ χαμαιφερῆ καὶ τὰ ἐπίγεια φρονοῦσιν, καταβαρούμενοι ὑπὸ τῶν ἁμαρτιῶν.*

*Θηρία δὲ ὠνόμασται τὰ ζῶα ἀπὸ τοῦ θηρεύεσθαι, οὐχ ὡς κακὰ ἀρχῆθεν γεγενημένα ἢ ἰοβόλα, οὐ γάρ τι κακὸν ἀρχῆθεν γέγονεν ἀπὸ Θεοῦ ἀλλὰ τὰ πάντα καλὰ καὶ καλὰ λίαν, ἡ δὲ ἁμαρτία ἡ περὶ τὸν ἄνθρωπον κεκάκωκεν αὐτά· τοῦ γὰρ ἀνθρώπου παραβάντος καὶ αὐτὰ συμπαρέβη. Ὥσπερ γὰρ δεσπότης οἰκίας ἐὰν αὐτὸς εὖ πράσσῃ, ἀναγκαίως καὶ οἱ οἰκέται εὐτάκτως ζῶσιν, ἐὰν δὲ ὁ κύριος ἁμαρτάνῃ, καὶ οἱ δοῦλοι συναμαρτάνουσιν, τῷ αὐτῷ τρόπῳ γέγονεν καὶ τὰ περὶ τὸν ἄνθρωπον κύριον ὄντα, ἁμαρτήσαντα, καὶ τὰ δοῦλα συνήμαρτεν. Ὁπόταν οὖν πάλιν ὁ ἄνθρωπος ἀναδράμῃ εἰς τὸ κατὰ φύσιν μηκέτι κακοποιῶν, κἀκεῖνα ἀποκατασταθήσεται εἰς τὴν ἀρχῆθεν ἡμερότητα.*

18 *Τὰ δὲ περὶ τῆς τοῦ ἀνθρώπου ποιήσεως, ἀνέκφραστός ἐστιν ὡς πρὸς ἄνθρωπον ἡ κατ' αὐτὸν δημιουργία, καίπερ σύν-*

24 ἁμαρτήσαντα *X* ἁμαρτῆσαι *MB*

Ἡ τάξις λοιπὸν τῶν ἐνύδρων καὶ ἑρπετῶν, μετασχοῦσα τῆς εὐλογίας τοῦ Θεοῦ, δὲν ἔχει λάβει τίποτε ἀπολύτως ἰδικόν της.

17 Κατὰ τὴν ἕκτην δὲ ἡμέραν ὁ Θεός, δημιουργήσας τὰ τετράποδα, τὰ θηρία καὶ τὰ χερσαῖα ἑρπετά, παραλείπει τὴν πρὸς αὐτὰ εὐλογίαν, ἐπιφυλάσσων τὴν εὐλογίαν διὰ τὸν ἄνθρωπον, τὸν ὁποῖον ἐπρόκειτο νὰ πλάση κατὰ τὴν ἕκτην ἡμέραν. Συγχρόνως τὰ τετράποδα καὶ θηρία κατέστησαν τύποι μερικῶν ἀνθρώπων οἱ ὁποῖοι ἀγνοοῦν τὸν Θεόν, ἀσεβοῦν, ἔχουν ἐπίγειον φρόνημα καὶ δὲν μετανοοῦν. Πράγματι οἱ ἐπιστρέφοντες ἀπὸ τὰς ἀνομίας καὶ ζῶντες δικαίως πετοῦν ψυχικῶς ὡσὰν τὰ πτηνά, σκέπτονται τὰ οὐράνια καὶ εὐαρεστοῦν τὸ θέλημα τοῦ Θεοῦ. Ὅσοι δὲ ἀγνοοῦν τὸν Θεὸν καὶ ἀσεβοῦν εἶναι ὅμοιοι μὲ ὄρνεα, τὰ ὁποῖα ἔχουν μὲν πτερά, ἀλλὰ δὲν δύνανται νὰ πετάξουν καὶ νὰ τρέξουν ἄνω πρὸς τὴν θεότητα. Οὕτω καὶ οἱ τοιοῦτοι λέγονται μὲν ἄνθρωποι, σκέπτονται δὲ τὰ χαμερπῆ καὶ ἐπίγεια, βαρυνόμενοι ἀπὸ τὰς ἁμαρτίας.

Θηρία δὲ ἔχουν ὀνομασθῆ τὰ ζῶα ἀπὸ τὸ θηρεύεσθαι, ὄχι ἀπὸ τὸ ὅτι ἔγιναν ἐξ ἀρχῆς κακὰ ἢ ἰοβόλα, διότι τίποτε κακὸν δὲν ἔγινεν ἐξ ἀρχῆς ἀπὸ τὸν Θεὸν ἀλλὰ τὰ πάντα ἦσαν καλὰ λίαν, ἡ δὲ ἁμαρτία τοῦ ἀνθρώπου τὰ κατέστησε κακά· ὅταν παρενόμησεν ὁ ἄνθρωπος, παρενόμησαν καὶ αὐτά. Δηλαδὴ καθὼς ἐὰν ὁ δεσπότης οἰκίας διάγη καλῶς, ἀναγκαίως ζοῦν εὐτάκτως καὶ οἱ ὑπηρέται, ἐὰν δὲ ὁ Κύριος ἁμαρτάνη, συναμαρτάνουν καὶ οἱ δοῦλοι, κατὰ τὸν αὐτὸν τρόπον συμβαίνει καὶ εἰς τὸν ἄνθρωπον, ὁ ὁποῖος εἶναι κυρίαρχος, ἂν ἁμαρτήση, καὶ τὰ δοῦλα εἰς αὐτὸν ζῶα συνημάρτησαν. Ὅταν δὲ πάλιν ὁ ἄνθρωπος ἐπιστρέψη εἰς τὴν κατὰ φύσιν διαγωγήν, μὴ διαπράττων πλέον κακὰς πράξεις, καὶ ἐκεῖνα θὰ ἀποκατασταθοῦν εἰς τὴν ἀρχικὴν ἡμερότητα[44].

18 Τῶρα σχετικῶς μὲ τὴν ποίησιν τοῦ ἀνθρώπου. Ἡ δημιουργία τοῦ ἀνθρώπου εἶναι ἀνέκφραστος δι' αὐτόν, μολονότι ἡ θεία

44. Βλ. Ρωμ. 8,19–21.

*τομον ἔχει ἡ θεία γραφὴ τὴν κατ' αὐτὸν ἐκφώνησιν. Ἐν τῷ γὰρ εἰπεῖν τὸν Θεόν, «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τὴν ἡμετέραν», πρῶτον μηνύει τὸ ἀξίωμα τοῦ ἀνθρώπου. Πάντα γὰρ λόγῳ ποιήσας ὁ Θεὸς καὶ τὰ πάντα πάρεργα ἡγησάμενος μόνον ἀΐδιον ἔργον χειρῶν ἄξιον ἡγεῖται τὴν ποίησιν τοῦ ἀνθρώπου. Ἔτι μὴν καὶ ὡς βοηθείας χρῄζων ὁ Θεὸς εὑρίσκεται λέγων, «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν». Οὐκ ἄλλῳ δέ τινι εἴρηκεν 'ποιήσωμεν', ἀλλ' ἢ τῷ ἑαυτοῦ Λόγῳ καὶ τῇ ἑαυτοῦ Σοφίᾳ. Ποιήσας δὲ αὐτὸν καὶ εὐλογήσας εἰς τὸ αὐξάνεσθαι καὶ πληρῶσαι τὴν γῆν ὑπέταξεν αὐτῷ ὑποχείρια καὶ ὑπόδουλα τὰ πάντα, προσέταξε δὲ καὶ ἔχειν τὴν δίαιταν αὐτὸν ἀρχῆθεν ἀπὸ τῶν καρπῶν τῆς γῆς καὶ τῶν σπερμάτων καὶ χλοῶν καὶ ἀκροδρύων, ἅμα καὶ συνδίαιτα κελεύσας εἶναι τὰ ζῶα τῷ ἀνθρώπῳ εἰς τὸ καὶ αὐτὰ ἐσθίειν ἀπὸ τῶν σπερμάτων ἁπάντων τῆς γῆς.*

19 *Οὕτω συντελέσας ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα ὅσα ἐν αὐτοῖς ἐν τῇ ἕκτῃ ἡμέρᾳ κατέπαυσεν ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν. Εἶθ' οὕτως ἀνακεφαλαιοῦται λέγουσα ἡ ἁγία γραφή· «αὕτη βίβλος γενέσεως οὐρανοῦ καὶ τῆς γῆς, ὅτε ἐγένετο ἡμέρᾳ ᾗ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν». Διὰ τούτου ἐμήνυσεν ἡμῖν ὅτι καὶ ἡ γῆ πᾶσα κατ' ἐκεῖνο καιροῦ ἐποτίζετο ὑπὸ πηγῆς θείας, καὶ οὐκ εἶχεν χρείαν ἐργάζεσθαι αὐτὴν ἄνθρωπον, ἀλλὰ τὰ πάντα αὐτοματισμῷ ἀνέφυεν ἡ γῆ κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, πρὸς τὸ μὴ κοπιᾶν ἐργαζόμενον τὸν ἄνθρωπον.*

*Ὅπως δὲ καὶ ἡ πλάσις δειχθῇ, πρὸς τὸ μὴ δοκεῖν εἶναι ζήτημα ἐν ἀνθρώποις ἀνεύρετον, ἐπειδὴ εἴρητο ὑπὸ τοῦ Θεοῦ,*

Γραφὴ ἔχει σύντομον τὴν ἀναφερομένην εἰς αὐτὸν διατύπωσιν. Μὲ τὸν λόγον του, «ἂς κάμωμεν ἄνθρωπον κατ' εἰκόνα ἰδικήν μας καὶ ὁμοίωσιν»[45], ὁ Θεὸς πρῶτον δηλώνει τὴν ἀξίαν τοῦ ἀνθρώπου. Διότι, ἐνῶ ἐδημιούργησεν ὅλα μὲ λόγον ὁ Θεὸς καὶ ἐθεώρησεν ὅλα ὡς πάρεργα, μόνον ἀΐδιον ἔργον τῶν χειρῶν αὐτοῦ θεωρεῖ τὴν ποίησιν τοῦ ἀνθρώπου. Προσέτι μάλιστα εὑρίσκεται νὰ λέγῃ, ὥσὰν νὰ ἔχῃ ἀνάγκην βοηθείας, «ἂς κάμωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν». Δὲν εἶπε δὲ εἰς κανένα ἄλλον «ἂς κάμωμεν» παρὰ εἰς τὸν Λόγον αὐτοῦ καὶ τὴν Σοφίαν αὐτοῦ. Πλάσας δὲ αὐτὸν καὶ εὐλογήσας διὰ νὰ αὐξάνεται καὶ γεμίσῃ τὴν γῆν, κατέστησεν ὑποχείρια καὶ ὑπόδουλα εἰς αὐτὸν τὰ πάντα, διέταξε δὲ ἐξ ἀρχῆς νὰ διαιτᾶται μὲ καρποὺς τῆς γῆς, χορταρικὰ καὶ ὀπώρας, ἐνῶ συγχρόνως παρήγγειλε τὰ ζῶα νὰ εἶναι συνδίαιτα μὲ τὸν ἄνθρωπον, δηλαδὴ νὰ τρώγουν καὶ αὐτὰ ἀπὸ ὅλα τὰ σπέρματα τῆς γῆς.

19 Ἀποτελειώσας οὕτω ὁ Θεὸς τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν καὶ ὅλα ὅσα εἶναι εἰς αὐτὰ κατὰ τὴν ἕκτην ἡμέραν, ἀνεπαύθη κατὰ τὴν ἑβδόμην ἡμέραν ἀπὸ ὅλα τὰ ἔργα τὰ ὁποῖα ἐξετέλεσε. Ἔπειτα ἡ Γραφὴ ἀνακεφαλειώνει ὡς ἑξῆς· «αὐτὴ εἶναι ἡ βίβλος τῆς γενέσεως τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅταν ἔγιναν καθ' ἣν ἡμέραν ὁ Θεὸς ἐδημιούργησε τὸν οὐρανὸν καὶ τὴν γῆν, πρὶν γίνῃ οἱονδήποτε χλωρὸν καὶ πρὶν φυτρώσῃ οἱονδήποτε χόρτον τοῦ ἀγροῦ· διότι δὲν εἶχε βρέξει ὁ Θεὸς ἐπὶ τὴν γῆν καὶ δὲν ὑπῆρχεν ὁ ἄνθρωπος διὰ νὰ ἐργάζεται τὴν γῆν»[46]. Δι' αὐτῶν διεμήνυσεν εἰς ἡμᾶς ὅτι καὶ ἡ γῆ ὅλη ἐποτίζετο τὸν καιρὸν ἐκεῖνον ὑπὸ θείας πηγῆς καὶ δὲν εἶχεν ἀνάγκην νὰ ἐργάζεται αὐτὴν ὁ ἄνθρωπος, ἀλλὰ τὰ πάντα ἀνέφυεν ἡ γῆ αὐτομάτως κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ νὰ μὴ κοπιάζῃ ὁ ἄνθρωπος ἐργαζόμενος.

Διὰ νὰ δειχθῇ δὲ πῶς συνετελέσθη ἡ πλάσις, ὥστε νὰ μὴ φανῇ ὅτι εἶναι ζήτημα ἄλυτον διὰ τοὺς ἀνθρώπους, ἐπειδὴ εἶχε

---

45. Γεν. 1,26.
46. Γεν. 2,4 ἑ.

*«ποιήσωμεν ἄνθρωπον», καὶ οὔπω ἡ ποίησις αὐτοῦ πεφανέρωται, διδάσκει ἡμᾶς ἡ γραφὴ λέγουσα, «πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζεν πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Ὅθεν καὶ ἀθάνατος ἡ ψυχὴ ὠνόμασται παρὰ τοῖς πλείοσι. Μετὰ δὲ τὸ πλάσαι τὸν ἄνθρωπον ὁ Θεὸς ἐξελέξατο αὐτῷ χωρίον ἐν τοῖς τόποις τοῖς ἀνατολικοῖς, διάφορον φωτί, διαυγὲς ἀέρι λαμπροτέρῳ, φυτοῖς παγκάλοις, ἐν ᾧ ἔθετο τὸν ἄνθρωπον.*

20 *Τὰ δὲ ῥητὰ τῆς ἱστορίας τῆς ἱερᾶς ἡ γραφὴ οὕτω περιέχει.*

*«Καὶ ἐφύτευσεν ὁ Θεὸς τὸν παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν. Καὶ ἐξανέτειλεν ὁ Θεὸς ἐκ τῆς γῆς πᾶν ξύλον, ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ.*

*»Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. Ὄνομα τῷ ἑνὶ Φεισών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ. Ἐκεῖ οὖν ἐστιν τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν. Κἀκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. Καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών· οὗτος κυκλοῖ πᾶσαν τὴν γῆν Αἰθιοπίας. Καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων. Ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης.*

*»Καὶ ἔλαβεν Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασεν, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. Καὶ ἐνετείλατο ὁ Θεὸς τῷ Ἀδάμ, λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ*

47. Γεν. 2,6 ἑ.

λεχθῆ ὑπὸ τοῦ Θεοῦ «ἂς κάμωμεν ἄνθρωπον» καὶ δὲν ἦτο φανερὰ ἡ πλάσις αὐτοῦ, διδάσκει ἡμᾶς ἡ Γραφὴ λέγουσα, «πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τὴν γῆν καὶ ἐπότιζεν ὅλην τὴν ἐπιφάνειαν τῆς γῆς· καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον μὲ χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ ἔγινεν ὁ ἄνθρωπος ψυχὴ ζῶσα»[47]. Ὅθεν ἡ ψυχὴ ὠνομάσθη καὶ ἀθάνατος ἀπὸ τοὺς περισσοτέρους[48]. Μετὰ δὲ τὴν πλάσιν τοῦ ἀνθρώπου ὁ Θεὸς ἐξέλεξε δι' αὐτὸν τοποθεσίαν εἰς τὰς ἀνατολικὰς περιοχάς, διακεκριμένην διὰ τὸ φῶς, διαυγῆ ἀπὸ τὸν λαμπρότερον ἀέρα, μὲ ὡραιότατα φυτά, εἰς τὴν ὁποίαν ἔθεσε τὸν ἄνθρωπον.

Οὕτω δὲ περιγράφει ἡ Γραφὴ τὰ γεγονότα τῆς ἱερᾶς ἱστορίας.

«Καὶ ἐφύτευσεν ὁ Θεὸς τὸν παράδεισον εἰς τὴν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθεσεν ἐκεῖ τὸν ἄνθρωπον τὸν ὁποῖον ἔπλασε. Καὶ ἔκαμεν ὁ Θεὸς νὰ φυτρώση ἀπὸ τὴν γῆν πᾶν δένδρον, ὡραῖον εἰς θέαν καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ δένδρον τῆς ζωῆς εἰς τὸ μέσον τοῦ παραδείσου καὶ τὸ δένδρον τῆς γνώσεως καλοῦ καὶ πονηροῦ.

»Ποταμὸς δὲ πηγάζει ἀπὸ τὴν Ἐδὲμ καὶ ποτίζει τὸν παράδεισον· ἀπὸ ἐκεῖ χωρίζεται εἰς τέσσαρας βραχίονας. Τὸ ὄνομα τοῦ πρώτου εἶναι Φεισών· οὗτος διασχίζει ὅλην τὴν γῆν Εὐϊλάτ. Ἐκεῖ λοιπὸν εἶναι ὁ χρυσός, ὁ δὲ χρυσὸς τῆς γῆς ἐκείνης εἶναι καλός. Καὶ ἐκεῖ εἶναι ὁ ἄνθραξ καὶ ὁ πράσινος λίθος. Καὶ τὸ ὄνομα τοῦ δευτέρου ποταμοῦ εἶναι Γεών· οὗτος διασχίζει ὅλην τὴν γῆν τῆς Αἰθιοπίας. Καὶ ὁ τρίτος ποταμὸς εἶναι ὁ Τίγρις· οὗτος ῥέει ἀπέναντι τῶν Ἀσσυρίων. Ὁ δὲ τέταρτος ποταμὸς εἶναι ὁ Εὐφράτης.

»Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον τὸν ὁποῖον ἔπλασεν καὶ ἔθεσεν αὐτὸν εἰς τὸν παράδεισον νὰ ἐργάζεται καὶ φυλάττη αὐτόν. Καὶ παρήγγειλεν ὁ Θεὸς εἰς τὸν Ἀδὰμ λέγων· ἀπὸ πᾶν δένδρον εἰς τὸν παράδεισον θὰ φάγετε, ἀπὸ δὲ τὸ δέν-

---

48. Φαίνεται πάντως ὅτι ὁ Θεόφιλος δὲν ἀποδέχεται τὴν ἰδιότητα ταύτην τῆς ψυχῆς.

*γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγησθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγεσθε ἀπ' αὐτοῦ θανάτῳ ἀποθανεῖσθε. Καὶ εἶπεν Κύριος ὁ Θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν 'Αδάμ. Καὶ πᾶν ὃ ἂν ἐκάλεσεν αὐτὰ 'Αδάμ, ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. Καὶ ἐκάλεσεν 'Αδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσιν καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ· τῷ δὲ 'Αδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ.*

*»Καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν 'Αδάμ, καὶ ὕπνωσε· καὶ ἔλαβεν μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἐνεπλήρωσε σάρκα ἀντ' αὐτῆς. Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ 'Αδάμ, εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν 'Αδάμ. Καὶ εἶπεν 'Αδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὐτή. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε 'Αδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.*

21 *»Ὁ δὲ ὄφις ἦν φρονιμώτερος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν Κύριος ὁ Θεός. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; Καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγόμεθα, ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός, οὐ μὴ φάγεσθε ἀπ' αὐτοῦ οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· οὐ θανάτῳ ἀποθανεῖσθε· ᾔδει γὰρ ὁ Θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν.*

δρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ δὲν θὰ φάγετε· καθ' ἣν δὲ ἡμέραν φάγετε ἀπὸ αὐτὸ θὰ ἀποθάνετε μὲ θάνατον. Καὶ εἶπε Κύριος ὁ Θεός· δὲν εἶναι καλὸν νὰ εἶναι μόνος ὁ ἄνθρωπος· ἂς κάμωμεν εἰς αὐτὸν βοηθὸν ὅμοιον μὲ αὐτόν. Καὶ ἔπλασεν ὁ Θεὸς ἀκόμη ἀπὸ τὴν γῆν ὅλα τὰ θηρία τοῦ ἀγροῦ καὶ ὅλα τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ ἔφερεν αὐτὰ πρὸς τὸν Ἀδάμ. Καὶ πᾶν ὄνομα τὸ ὁποῖον ἔδωσεν εἰς αὐτὰ ὁ Ἀδάμ, εἰς πᾶσαν ψυχὴν ζῶσαν, τοῦτο ἔμεινεν ὡς ὄνομα αὐτοῦ. Καὶ ἔδωσεν ὁ Ἀδὰμ ὀνόματα εἰς ὅλα τὰ κτήνη καὶ εἰς ὅλα τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ εἰς ὅλα τὰ θηρία τοῦ ἀγροῦ· δὲν εὑρέθη ὅμως εἰς τὸν Ἀδὰμ βοηθὸς ὅμοιος μὲ αὐτόν.

»Καὶ ἐπέβαλεν ὁ Θεὸς εἰς τὸν Ἀδὰμ ἔκστασιν καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν ἀπὸ τὰς πλευρὰς αὐτοῦ καὶ ἀνεπλήρωσεν αὐτὴν μὲ σάρκα. Καὶ διεμόρφωσε Κύριος ὁ Θεὸς τὴν πλευρὰν τὴν ὁποίαν ἔλαβεν ἀπὸ τὸν Ἀδὰμ εἰς γυναῖκα καὶ ἔφερεν αὐτὴν πρὸς τὸν Ἀδάμ. Καὶ εἶπεν ὁ Ἀδάμ· τοῦτο εἶναι ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὐτὴ θὰ ὀνομασθῇ γυνή, διότι ἐλήφθη ἀπὸ τὸν ἄνδρα αὐτῆς. Διὰ τὸν λόγον τοῦτον θὰ ἐγκαταλείψῃ ὁ ἀνὴρ τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ θὰ προσκολληθῇ πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ θὰ εἶναι οἱ δύο εἰς μίαν σάρκα. Καὶ ἦσαν οἱ δύο γυμνοί, καὶ ὁ Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ δὲν ᾐσχύνοντο.

»Ὁ δὲ ὄφις ἦτο τὸ φρονιμώτερον ὅλων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, τὰ ὁποῖα ἐδημιούργησεν Κύριος ὁ Θεός. Καὶ εἶπεν ὁ ὄφις εἰς τὴν γυναῖκα· διατί εἶπεν ὁ Θεός, νὰ μὴ φάγετε ἀπὸ πᾶν δένδρον τοῦ παραδείσου; Καὶ εἶπεν ἡ γυνὴ εἰς τὸν ὄφιν· ἀπὸ πᾶν δένδρον τοῦ παραδείσου τρώγομεν, ἀπὸ τὸν καρπὸν δὲ τοῦ δένδρου, τὸ ὁποῖον εἶναι εἰς τὸ μέσον τοῦ παραδείσου, ὁ Θεὸς εἶπε, νὰ μὴ φάγετε ἀπὸ αὐτὸν οὔτε νὰ ἐγγίσετε αὐτόν, διὰ νὰ μὴ ἀποθάνετε. Καὶ εἶπεν ὁ ὄφις εἰς τὴν γυναῖκα· δὲν θὰ ἀποθάνετε μὲ θάνατον· διότι ἐγνώριζεν ὁ Θεὸς ὅτι τὴν ἡμέραν καθ' ἣν θὰ φάγετε ἀπὸ αὐτὸν θὰ διανοιχθοῦν οἱ ὀφθαλμοί σας καὶ θὰ εἶσθε ὡσὰν θεοί, γνωρίζοντες καλὸν καὶ πονηρόν.

*»Καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστιν τοῦ κατανοῆσαι· καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγε καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μεθ' ἑαυτῆς, καὶ ἔφαγον. Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.*

*»Καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ, περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. Καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν αὐτῷ· ποῦ εἶ; Καὶ εἶπεν αὐτῷ· τὴν φωνήν σου ἤκουσα ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. Καὶ εἶπεν αὐτῷ· τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; Καὶ εἶπεν Ἀδάμ· ἡ γυνή, ἣν ἔδωκάς μοι, αὐτή μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. Καὶ εἶπεν ὁ Θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίησας; Καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον.*

*»Καὶ εἶπεν Κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ σου πορεύσῃ καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἔχθραν ποιήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει τὴν κεφαλήν, καὶ σὺ αὐτοῦ τηρήσεις τὴν πτέρναν. Καὶ τῇ γυναικὶ εἶπεν· πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπῃ τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Τῷ δὲ Ἀδὰμ εἶπεν· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι μόνου τούτου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπῃ φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ*

»Καὶ εἶδεν ἡ γυνὴ ὅτι τὸ δένδρον εἶναι καλὸν εἰς βρῶσιν καὶ εὐχάριστον εἰς τὴν θέαν τῶν ὀφθαλμῶν καὶ ὡραῖον διὰ τὴν κατανόησιν· καὶ λαβοῦσα ἀπὸ τὸν καρπὸν αὐτοῦ ἔφαγε καὶ ἔδωσε καὶ εἰς τὸν ἄνδρα αὐτῆς μετ' αὐτῆς καὶ ἔφαγον. Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο καὶ ἀντελήφθησαν ὅτι ἦσαν γυμνοὶ καὶ ἔρραψαν φύλλα συκῆς καὶ κατεσκεύασαν δι' ἑαυτοὺς ζωστῆρας.

»Καὶ ἤκουσαν τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ, καθὼς περιεπάτει εἰς τὸν παράδεισον τὸ δειλινόν, καὶ ἐκρύβησαν ὁ Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ τὴν παρουσίαν τοῦ Θεοῦ εἰς τὸ μέσον τῶν δένδρων τοῦ παραδείσου. Καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν εἰς αὐτόν· ποῦ εἶσαι; Καὶ εἶπεν εἰς αὐτόν· ἤκουσα τὴν φωνήν σου εἰς τὸν παράδεισον καὶ ἐφοβήθην ὅτι εἶμαι γυμνὸς καὶ ἐκρύβην. Καὶ εἶπεν εἰς αὐτόν· ποῖος σὲ ἐπληροφόρησεν ὅτι εἶσαι γυμνός, ἐκτὸς ἐὰν ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον μόνον σὲ διέταξα νὰ μὴ φάγης; Καὶ εἶπεν ὁ Ἀδάμ· ἡ γυνὴ τὴν ὁποίαν μοῦ ἔδωσες, αὐτὴ μοῦ ἔδωσε ἀπὸ τὸ δένδρον καὶ ἔφαγον. Καὶ εἶπεν ὁ Θεὸς εἰς τὴν γυναῖκα. Διατί ἔκαμες τοῦτο; Καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις μὲ ἠπάτησε καὶ ἔφαγον.

»Καὶ εἶπε Κύριος ὁ Θεὸς εἰς τὸν ὄφιν· ἐπειδὴ ἔκαμες αὐτό, θὰ εἶσαι κατηραμένος ἀπὸ ὅλα τὰ ἐπὶ γῆς θηρία, θὰ βαδίζης ἐπὶ τοῦ στήθους καὶ τῆς κοιλίας σου καὶ θὰ τρώγης γῆν ὅλας τάς ἡμέρας τῆς ζωῆς σου. Καὶ θὰ συστήσω ἔχθραν ἀνάμεσα εἰς σὲ καὶ τὴν γυναῖκα καὶ ἀνάμεσα εἰς τοὺς ἀπογόνους σου καὶ τούς ἀπογόνους της· αὐτὸς θὰ σοῦ συντρίψη τὴν κεφαλὴν καὶ σὺ θὰ συντρίψης τὴν πτέρναν του. Καὶ εἰς τὴν γυναῖκα εἶπε· θὰ πληθύνω ἀφθόνως τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· μὲ πόνον θὰ γεννήσης τέκνα καὶ θά στρέφης τὸν πόθον σου πρὸς τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ κυριαρχῆ εἰς σέ. Εἰς τὸν Ἀδὰμ δὲ εἶπε· ἐπειδὴ ἤκουσες τὴν φωνὴν τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον μόνον σὲ διέταξα νὰ μὴ φάγης, θὰ εἶναι κατηραμένη ἡ γῆ εἰς τὰ ἔργα σου· μὲ πόνον θὰ τρώγης αὐτὴν ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου, θὰ σοῦ παράγη ἀκάνθας καὶ τριβόλους καὶ θὰ τρώγης τὸν χόρτον τοῦ ἀγροῦ σου. Μὲ

*ἀγροῦ σου. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ».*

*Τῆς μὲν οὖν ἱστορίας τοῦ ἀνθρώπου καὶ τοῦ παραδείσου τὰ ῥητὰ τῆς ἁγίας γραφῆς οὕτως περιέχει.*

*22 Ἐρεῖς οὖν μοι· σὺ φῂς τὸν Θεὸν ἐν τόπῳ μὴ δεῖν χωρεῖσθαι, καὶ πῶς νῦν λέγεις αὐτὸν ἐν τῷ παραδείσῳ περιπατεῖν; Ἄκουε ὅ φημι. Ὁ μὲν Θεὸς καὶ Πατὴρ τῶν ὅλων ἀχώρητός ἐστιν καὶ ἐν τόπῳ οὐχ εὑρίσκεται· οὐ γὰρ ἔστιν «τόπος τῆς καταπαύσεως αὐτοῦ». Ὁ δὲ Λόγος αὐτοῦ, δι' οὗ τὰ πάντα πεποίηκεν, δύναμις ὢν καὶ σοφία αὐτοῦ, ἀναλαμβάνων τὸ πρόσωπον τοῦ Πατρὸς καὶ Κυρίου τῶν ὅλων, οὗτος παρεγίνετο εἰς τὸν παράδεισον ἐν προσώπῳ τοῦ Θεοῦ καὶ ὡμίλει τῷ Ἀδάμ. Καὶ γὰρ αὐτὴ ἡ θεία γραφὴ διδάσκει ἡμᾶς τὸν Ἀδὰμ λέγοντα τῆς φωνῆς ἀκηκοέναι. Φωνὴ δὲ τί ἄλλο ἐστὶν ἀλλ' ἢ ὁ Λόγος ὁ τοῦ Θεοῦ, ὅς ἐστιν καὶ Υἱὸς αὐτοῦ; Οὐχ ὡς οἱ ποιηταὶ καὶ μυθογράφοι λέγουσιν υἱοὺς θεῶν ἐκ συνουσίας γεννωμένους, ἀλλὰ ὡς ἀλήθεια διηγεῖται τὸν λόγον τὸν ὄντα διὰ παντὸς ἐνδιάθετον ἐν καρδίᾳ Θεοῦ. Πρὸ γάρ τι γίνεσθαι τοῦτον εἶχεν σύμβουλον, ἑαυτοῦ νοῦν καὶ φρόνησιν ὄντα.*

*Ὁπότε δὲ ἠθέλησεν ὁ Θεὸς ποιῆσαι ὅσα ἐβουλεύσατο, τοῦτον τὸν Λόγον ἐγέννησε προφορικόν, πρωτότοκον πάσης κτίσεως, οὐ κενωθεὶς αὐτὸς τοῦ Λόγου, ἀλλὰ Λόγον γεννήσας καὶ τῷ Λόγῳ αὐτοῦ διὰ παντὸς ὁμιλῶν. Ὅθεν διδάσκουσιν ἡμᾶς αἱ ἅγιαι γραφαὶ καὶ πάντες οἱ πνευματοφόροι, ἐξ ὧν Ἰωάννης λέγει «ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν», δεικνὺς ὅτι ἐν πρώτοις μόνος ἦν ὁ Θεὸς καὶ ἐν αὐτῷ ὁ Λόγος. Ἔπειτα*

---

49. Γεν. 2,8–3,19.
50. Ἠσ. 66,1. Πράξ. 7,49.
51. Βλ. Γεν. 3,10.

ἱδρῶτα τοῦ προσώπου σου θὰ τρώγης τὸν ἄρτον σου, ἕως ὅτου ἐπιστρέψης εἰς τὴν γῆν ἀπὸ τὴν ὁποίαν ἐλήφθης· διότι γῆ εἶσαι καὶ εἰς γῆν θὰ ἐπιστρέψης»[49].

Κατ' αὐτὸν τὸν τρόπον προχωρεῖ εἰς τὴν ἁγίαν Γραφὴν ἡ διήγησις τῆς ἱστορίας τοῦ ἀνθρώπου καὶ τοῦ παραδείσου.

22 Θὰ μοῦ εἴπης λοιπόν· σὺ λέγεις ὅτι ὁ Θεὸς δὲν δύναται νὰ χωρηθῇ εἰς τόπον, πῶς δὲ τώρα λέγεις ὅτι αὐτὸς περιπατεῖ εἰς τὸν παράδεισον; Ἄκουε τί λέγω. Ὁ μὲν Θεὸς καὶ Πατὴρ τῶν ὅλων εἶναι ἀχώρητος καὶ δὲν εὑρίσκεται εἰς τόπον· διότι δὲν ὑπάρχει «τόπος τῆς ἀναπαύσεως αὐτοῦ»[50]. Ὁ δὲ Λόγος αὐτοῦ, διὰ τοῦ ὁποίου ἐδημιούργησε τὰ πάντα, ὡς δύναμις καὶ σοφία αὐτοῦ, ἀναλαμβάνων τὸ πρόσωπον τοῦ Πατρὸς καὶ Κυρίου τῶν ὅλων, οὗτος μετέβαινεν εἰς τὸν παράδεισον ὑπὸ τὸ πρόσωπον τοῦ Θεοῦ καὶ ὡμίλει εἰς τὸν Ἀδάμ. Πράγματι αὐτὴ ἡ θεία Γραφὴ διδάσκει ἡμᾶς ὅτι ὁ Ἀδὰμ λέγει ὅτι εἶχεν ἀκούσει τὴν φωνήν[51]. Φωνὴ δὲ τί ἄλλο εἶναι παρὰ ὁ Λόγος τοῦ Θεοῦ, ὁ ὁποῖος εἶναι καὶ υἱὸς αὐτοῦ; Ὄχι ὅπως οἱ ποιηταὶ καὶ μυθογράφοι λέγουν ὅτι γεννῶνται υἱοὶ θεῶν ἀπὸ συνουσίαν, ἀλλὰ ὅπως ἡ ἀλήθεια διηγεῖται ὅτι ὁ Λόγος εἶναι προαιωνίως ἐνδιάθετος εἰς τὴν καρδίαν τοῦ Θεοῦ. Διότι πρὶν γίνη ὁ,τιδήποτε εἶχεν αὐτὸν σύμβουλον, ὡς νοῦν ἑαυτοῦ καὶ φρόνησιν.

Ὅταν δὲ ἠθέλησεν ὁ Θεὸς νὰ πράξῃ ὅσα ἐσκέφθη, ἐγέννησε προφορικὸν τὸν λόγον τοῦτον[52], πρωτότοκον ὅλης τῆς κτίσεως[53], μὴ κενωθεὶς ὁ ἴδιος τοῦ Λόγου, ἀλλὰ γεννήσας Λόγον καὶ συνομιλῶν διαπαντὸς μὲ τὸν Λόγον αὐτοῦ. Ὅθεν διδάσκουν ἡμᾶς σχετικῶς αἱ ἅγιαι Γραφαὶ καὶ ὅλοι οἱ πνευματοφόροι, ἐκ τῶν ὁποίων ὁ Ἰωάννης λέγει· «εἰς τὴν ἀρχὴν ἦτο ὁ Λόγος καὶ ὁ Λόγος ἦτο παρὰ τὸν Θεόν»[54], δεικνύων ὅτι ἐν πρώτοις μόνος ἦτο ὁ Θεὸς καὶ εἰς αὐτὸν ἦτο ὁ Λόγος. Ἔπειτα λέγει· «καὶ Θεὸς ἦτο ὁ Λόγος· ὅλα δι' αὐτοῦ ἔγιναν καὶ χωρὶς

52. Βλ. ἀνωτέρω 2,10.
53. Κολ. 1,15.
54. Ἰω. 1,1.

λέγει· «καὶ Θεὸς ἦν ὁ Λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲν ἕν». Θεὸς οὖν ὢν ὁ Λόγος καὶ ἐκ Θεοῦ πεφυκώς, ὁπόταν βούληται ὁ Πατὴρ τῶν ὅλων πέμπει αὐτὸν εἴς τινα τόπον, ὃς παραγινόμενος καὶ ἀκούεται καὶ ὁρᾶται, πεμπόμενος ὑπ' αὐτοῦ, καὶ ἐν τόπῳ εὑρίσκεται.

23 Τὸν οὖν ἄνθρωπον ὁ Θεὸς πεποίηκεν ἐν τῇ ἕκτῃ ἡμέρᾳ, τὴν δὲ πλάσιν αὐτοῦ πεφανέρωκε μετὰ τὴν ἑβδόμην ἡμέραν, ὁπότε καὶ τὸν παράδεισον πεποίηκεν, εἰς τὸ ἐν κρείσσονι τόπῳ καὶ χωρίῳ διαφόρῳ αὐτὸν εἶναι. Καὶ ὅτι ταῦτά ἐστιν ἀληθῆ, αὐτὸ τὸ ἔργον δείκνυσιν. Πῶς γὰρ οὐκ ἔστιν κατανοῆσαι τὴν μὲν ὠδῖνα, ἣν πάσχουσιν ἐν τῷ τοκετῷ αἱ γυναῖκες, καὶ μετὰ τοῦτο λήθην τοῦ πόνου ποιοῦνται, ὅπως πληρωθῇ ὁ τοῦ Θεοῦ λόγος εἰς τὸ αὐξάνεσθαι καὶ πληθύνεσθαι τὸ γένος τῶν ἀνθρώπων; Τί δ' οὐχὶ καὶ τὴν τοῦ ὄφεως κατάκρισιν, πῶς στυγητὸς τυγχάνει ἕρπων ἐπὶ τῇ κοιλίᾳ καὶ ἐσθίων γῆν, ὅπως καὶ τοῦτο ᾖ εἰς ἀπόδειξιν ἡμῖν τῶν προειρημένων;

24 Ἐξανατείλας οὖν ὁ Θεὸς ἐκ τῆς γῆς ἔτι πᾶν ξύλον, ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν. Ἐν γὰρ πρώτοις μόνα ἦν τὰ ἐν τῇ τρίτῃ ἡμέρᾳ γεγενημένα, φυτὰ καὶ σπέρματα καὶ χλόαι· τὰ δὲ ἐν τῷ παραδείσῳ ἐγενήθη διαφόρῳ καλλονῇ καὶ ὡραιότητι, ὅπου γε καὶ φυτεία ὠνόμασται ὑπὸ Θεοῦ πεφυτευμένη. Καὶ τὰ μὲν λοιπὰ φυτὰ ὅμοια καὶ ὁ κόσμος ἔσχηκε, τὰ δὲ δύο ξύλα, τὸ τῆς ζωῆς καὶ τὸ τῆς γνώσεως, οὐκ ἔσχηκεν ἑτέρα γῆ ἀλλ' ἢ ἐν μόνῳ τῷ παραδείσῳ.

25 Ὅτι δὲ καὶ ὁ παράδεισος γῆ ἐστιν καὶ ἐπὶ τῆς γῆς πεφύτευται, ἡ γραφὴ λέγει· «καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον· καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἀπὸ τῆς γῆς πᾶν ξύλον, ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν». Τῷ «οὖν ἔτι ἐκ τῆς γῆς» καὶ «κατὰ ἀνατο-

---

29 τῷ οὖν *X* τὸ οὖν *MB*

αὐτὸν δὲν ἔγινε τίποτε»[55]. Ἀφοῦ λοιπὸν ὁ Λόγος εἶναι Θεὸς καὶ ἐγεννήθη ἀπὸ τὸν Θεόν, ὁ Πατὴρ τῶν ὅλων ὅταν θέλη τὸν ἀποστέλλει εἰς ὡρισμένον τόπον, οὗτος δὲ ἀφιχθεὶς ἐκεῖ καὶ ἀκούεται καὶ βλέπεται, στελλόμενος ὑπ' αὐτοῦ, καὶ εὑρίσκεται εἰς τόπον.

23 Τὸν ἄνθρωπον λοιπὸν ὁ Θεὸς ἔπλασε κατὰ τὴν ἕκτην ἡμέραν, τὴν δὲ πλάσιν αὐτοῦ ἐφανέρωσε μετὰ τὴν ἑβδόμην ἡμέραν, ὁπότε ἐδημιούργησε καὶ τὸν παράδεισον, ὥστε νὰ εἶναι οὗτος εἰς ἀνώτερον τόπον καὶ εἰς ἐξαίρετον μέρος. Καὶ ὅτι ταῦτα εἶναι ἀληθῆ, δεικνύει αὐτὸ τὸ ἔργον. Πράγματι πῶς νὰ μὴ κατανοήσωμεν ὅτι ὁ πόνος, τὸν ὁποῖον αἰσθάνονται κατὰ τὸν τοκετὸν αἱ γυναῖκες, ἐνῷ ἔπειτα λησμονοῦν τὸν πόνον, εἶναι διὰ νὰ ἐκπληρωθῆ ὁ λόγος τοῦ Θεοῦ ὁ ἀναφερόμενος εἰς τὴν αὔξησιν καὶ τὸν πολλαπλασιαμὸν τοῦ γένους τῶν ἀνθρώπων; Διατί δὲ νὰ μὴ θεωρήσωμεν ὅτι καὶ ἡ κατάκρισις τοῦ ὄφεως, πῶς εἶναι μισητὸς βαδίζων ἐπὶ τῆς κοιλίας καὶ τρώγων γῆν, συμβάλλει εἰς τὴν ἀπόδειξιν τῶν ἀνωτέρω λεχθέντων ἀπὸ ἡμᾶς;

24. Ἔκαμε λοιπὸν ὁ Θεὸς νὰ φυτρώση ἐπίσης ἀπὸ τὴν γῆν πᾶν δένδρον, ὡραῖον εἰς θέαν καὶ καλὸν εἰς βρῶσιν. Κατ' ἀρχὰς ἦσαν μόνα τὰ κατὰ τὴν τρίτην ἡμέραν, φυτά, σπέρματα καὶ χλόαι· τὰ δὲ εἰς τὸν παράδεισον διεκρίνοντο διὰ τὴν καλλονὴν καὶ ὡραιότητα, ἀφοῦ μάλιστα ὠνομάσθησαν καὶ φυτεία φυτευομένη ὑπὸ τοῦ Θεοῦ. Καὶ τὰ μὲν ἄλλα φυτὰ εἶχεν ὅμοια καὶ ὁ κόσμος· τὰ δὲ δύο ξύλα, τὸ τῆς ζωῆς καὶ τὸ τῆς γνώσεως, δὲν εἶχεν ἄλλη γῆ, ἀλλ' ὑπῆρχαν μόνον εἰς τὸν παράδεισον.

Ὅτι δὲ καὶ ὁ παράδεισος εἶναι γῆ καὶ ἔχει φυτευθῆ ἐπὶ τῆς γῆς, λέγει ἡ Γραφή· «καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον εἰς τὴν Ἐδὲμ κατὰ τὰς ἀνατολάς, καὶ ἔθεσεν ἐκεῖ τὸν ἄνθρωπον· καὶ ἔκαμεν ὁ Θεὸς νὰ φυτρώση ἐπίσης ἀπὸ τὴν γῆν πᾶν δένδρον, ὡραῖον εἰς θέαν καὶ καλὸν εἰς βρῶσιν»[56]. Μὲ τὰς λέξεις «ἐπίσης ἀπὸ τὴν γῆν» καὶ «κατὰ τὰς ἀνατολάς» σαφῶς διδά-

55. Ἰω. 1,1 · 3.
56. Γεν. 2,8 ἑ.

*λάς» σαφῶς διδάσκει ἡμᾶς ἡ θεία γραφὴ τὸν παράδεισον ὑπὸ τοῦτον τὸν οὐρανόν, ὑφ᾽ ὃν καὶ ἀνατολαὶ καὶ γῆ εἰσιν. Ἐδὲμ δὲ ἑβραϊστὶ τὸ εἰρημένον ἑρμηνεύεται τροφή. Ποταμὸν δὲ σεσήμακεν ἐκπορεύεσθαι ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον, κἀκεῖθεν διαχωρίζεσθαι εἰς τέσσαρας ἀρχάς· ὧν δύο, καλούμενοι Φεισὼν καὶ Γεών, ποτίζουσιν τὰ ἀνατολικὰ μέρη, μάλιστα ὁ Γεών, ὁ κυκλῶν πᾶσαν γῆν Αἰθιοπίας, ὅν φασιν ἐν τῇ Αἰγύπτῳ ἀναφαίνεσθαι τὸν καλούμενον Νεῖλον. Οἱ δὲ ἄλλοι δύο ποταμοὶ φανερῶς γινώσκονται παρ᾽ ἡμῖν, οἱ καλούμενοι Τίγρις καὶ Εὐφράτης· οὗτοι γὰρ γειτνιῶσιν ἕως τῶν ἡμετέρων κλιμάτων.*

*Θεὶς δὲ ὁ Θεὸς τὸν ἄνθρωπον, καθὼς προειρήκαμεν, ἐν τῷ παραδείσῳ εἰς τὸ ἐργάζεσθαι καὶ φυλάσσειν αὐτόν, ἐνετείλατο αὐτῷ ἀπὸ πάντων τῶν καρπῶν ἐσθίειν, δηλονότι καὶ ἀπὸ τοῦ τῆς ζωῆς, μόνου δὲ ἐκ τοῦ ξύλου τοῦ τῆς γνώσεως ἐνετείλατο αὐτῷ μὴ γεύσασθαι. Μετέθηκε δὲ αὐτὸν ὁ Θεὸς ἐκ τῆς γῆς, ἐξ ἧς ἐγεγόνει, εἰς τὸν παράδεισον, διδοὺς αὐτῷ ἀφορμὴν προκοπῆς, ὅπως αὐξάνων καὶ τέλειος γενόμενος, ἔτι δὲ καὶ Θεὸς ἀναδειχθείς, οὕτω καὶ εἰς τὸν οὐρανὸν ἀναβῇ (μέσος γὰρ ὁ ἄνθρωπος ἐγεγόνει, οὔτε θνητὸς ὁλοσχερῶς οὔτε ἀθάνατος τὸ καθόλου, δεκτικὸς δὲ ἑκατέρων· οὕτω καὶ τὸ χωρίον ὁ παράδεισος, ὡς πρὸς καλλονήν, μέσος τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ γεγένηται), ἔχων ἀϊδιότητα. Τὸ δὲ εἰπεῖν «ἐργάζεσθαι» οὐκ ἄλλην τινὰ ἐργασίαν δηλοῖ ἀλλ᾽ ἢ τὸ φυλάσσειν τὴν ἐντολὴν τοῦ Θεοῦ, ὅπως μὴ παρακούσας ἀπολέσῃ ἑαυτόν, καθὼς καὶ ἀπώλεσε διὰ ἁμαρτίας.*

*Τὸ μὲν ξύλον τὸ τῆς γνώσεως αὐτὸ μὲν καλὸν καὶ ὁ καρπὸς αὐτοῦ καλός. Οὐ γάρ, ὡς οἴονταί τινες, θάνατον εἶχε τὸ ξύλον, ἀλλ᾽ ἡ παρακοή. Οὐ γάρ τι ἕτερον ἦν ἐν τῷ καρπῷ ἢ μόνον γνῶσις. Ἡ δὲ γνῶσις καλή, ἐπὰν αὐτῇ οἰκείως τις χρήσηται.*

*Τῇ δὲ οὔσῃ ἡλικίᾳ ὅδε Ἀδὰμ ἔτι νήπιος ἦν· διὸ οὔπω ἠδύ-*

29 ἔτι *X* ἔτη *MB*

σκει ἡμᾶς ἡ θεία Γραφή, ὅτι ὁ παράδεισος εἶναι ὑπὸ τὸν οὐρανὸν τοῦτον, ὑπὸ τὸν ὁποῖον εἶναι καὶ αἱ ἀνατολαὶ καὶ ἡ γῆ. Ἐδέμ, λέξις ἑβραϊκή, σημαίνει τρυφήν. Παρήγγειλε δὲ νὰ πηγάση ποταμὸς ἀπὸ τὴν Ἐδὲμ διὰ νὰ ποτίζη τὸν παράδεισον, καὶ ἀπὸ ἐκεῖ νὰ διαχωρίζεται εἰς τέσσαρας βραχίονας τῶν ὁποίων δύο, οἱ καλούμενοι Φεισὼν καὶ Γεών, ποτίζουν τὰ ἀνατολικὰ μέρη, μάλιστα ὁ Γεών, ὁ ὁποῖος διασχίζει ὅλην τὴν γῆν τῆς Αἰθιοπίας, ὁ ὁποῖος καθὼς λέγουν ἀναφαίνεται εἰς τὴν Αἴγυπτον μὲ τὸ ὄνομα Νεῖλος. Οἱ δὲ ἄλλοι δύο ποταμοὶ εἶναι πολὺ γνωστοὶ εἰς ἡμᾶς, οἱ καλούμενοι Τίγρις καὶ Εὐφράτης· διότι οὗτοι γειτονεύουν ἕως τὰ ἰδικά μας κλίματα.

Ἀφοῦ δὲ ἔθεσεν ὁ Θεὸς τὸν ἄνθρωπον, καθὼς προηγουμένως εἴπομεν, εἰς τὸν παράδεισον διὰ νὰ ἐργάζεται καὶ φυλάσση αὐτόν, τὸν διέταξε νὰ τρώγη ἀπὸ ὅλους τοὺς καρπούς, δηλαδὴ καὶ ἀπὸ τοῦ τῆς ζωῆς, μόνον δὲ ἀπὸ τὸ δένδρον τῆς γνώσεως τὸν διέταξε νὰ μὴ γευθῇ. Μετέφερε δὲ αὐτὸν ὁ Θεὸς ἀπὸ τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἔγινεν, εἰς τὸν παράδεισον, δίδων εἰς αὐτὸν εὐκαιρίαν προκοπῆς, ὥστε αὐξάνων καὶ τελειοποιούμενος, ἀκόμη δὲ καὶ ἀναδεικνυόμενος νὰ ἀναβῇ εἰς τὸν οὐρανὸν (διότι ὁ ἄνθρωπος ἐδημιουργήθη μέσος, οὔτε θνητὸς ὁλοσχερῶς οὔτε ἐντελῶς ἀθάνατος, δεκτικὸς δὲ καὶ τῶν δύο· οὕτω καὶ ὁ τόπος, ὁ παράδεισος, ὡς πρὸς τὴν καλλονήν, ἐκτίσθη ἐνδιάμεσος μεταξὺ τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ), ἔχων ἀϊδιότητα. Ἡ δὲ λέξις 'ἐργάζεται' δὲν σημαίνει ἄλλην ἐργασίαν παρὰ τὴν φύλαξιν τῆς ἐντολῆς τοῦ Θεοῦ, ὥστε νὰ μὴ καταστρέψη ἑαυτὸν παρακούσας, καθὼς καὶ τὸν κατέστρεψε διὰ τῆς ἁμαρτίας.

Τὸ μὲν δένδρον τῆς γνώσεως, αὐτὸ μὲν ἦτο καλὸν καὶ ὁ καρπὸς αὐτοῦ καλός. Τὸν θάνατον δὲν περιεῖχε τὸ δένδρον, ὅπως νομίζουν μερικοί, ἀλλ' ἡ παρακοή[57]. Δὲν ὑπῆρχε τίποτε ἄλλο εἰς τὸν καρπὸν ἀπὸ τὴν γνῶσιν μόνον. Ἡ δὲ γνῶσις εἶναι καλή, ἐὰν τὴν χρησιμοποιήση κανεὶς καταλλήλως.

Κατὰ τὴν πραγματικήν του δὲ ἡλικίαν ὁ Ἀδὰμ οὗτος ἦτο

---

57. Βλ. ΕΙΡΗΝΑΙΟΥ, *Ἔλεγχος* 5,23,1.

*νατο τὴν γνῶσιν κατ' ἀξίαν χωρεῖν. Καὶ γὰρ νῦν, ἐπὰν γεννηθῇ παιδίον, οὐκ ἤδη δύναται ἄρτον ἐσθίειν, ἀλλὰ πρῶτον γάλακτι ἀνατρέφεται, ἔπειτα κατὰ πρόσβασιν τῆς ἡλικίας καὶ ἐπὶ τὴν στερεὰν τροφὴν ἔρχεται. Οὕτως ἂν γεγόνει καὶ τῷ Ἀδάμ. Διὸ οὐχ ὡς φθονῶν αὐτῷ ὁ Θεός, ὡς οἴονταί τινες, ἐκέλευσε μὴ ἐσθίειν ἀπὸ τῆς γνώσεως. Ἔτι μὴν καὶ ἐβούλετο δοκιμάσαι αὐτόν, εἰ ὑπήκοος γίνεται τῇ ἐντολῇ αὐτοῦ. Ἅμα δὲ καὶ ἐπὶ πλείονα χρόνον ἐβούλετο ἁπλοῦν καὶ ἀκέραιον διαμεῖναι τὸν ἄνθρωπον νηπιάζοντα. Τοῦτο γὰρ ὅσιόν ἐστιν, οὐ μόνον παρὰ Θεῷ ἀλλὰ καὶ παρὰ ἀνθρώποις, τὸ ἐν ἁπλότητι καὶ ἀκακίᾳ ὑποτάσσεσθαι τοῖς γονεῦσιν. Εἰ δὲ χρὴ τὰ τέκνα τοῖς γονεῦσιν ὑποτάσεσθαι, πόσῳ μᾶλλον τῷ Θεῷ καὶ Πατρὶ τῶν ὅλων; Ἔτι μὴν καὶ ἄσχημόν ἐστιν τὰ παιδία τὰ νήπια ὑπὲρ ἡλικίαν φρονεῖν. Καθάπερ γὰρ τῇ ἡλικίᾳ τις πρὸς τάξιν αὔξει, οὕτω καὶ ἐν τῷ φρονεῖν.*

*Ἄλλως τε ἐπὰν νόμος κελεύσῃ ἀπέχεσθαι ἀπό τινος καὶ μὴ ὑπακούῃ τις, δῆλον ὅτι οὐχ ὁ νόμος κόλασιν παρέχει, ἀλλὰ ἡ ἀπείθεια καὶ ἡ παρακοή. Καὶ γὰρ πατὴρ ἰδίῳ τέκνῳ ἐνίοτε προστάσσει ἀπέχεσθαί τινων, καὶ ἐπὰν οὐχ ὑπακούῃ τῇ πατρικῇ ἐντολῇ, δέρεται καὶ ἐπιτιμίας τυγχάνει διὰ τὴν παρακοήν· καὶ οὐκ ἤδη αὐτὰ τὰ πράγματα πληγαί εἰσιν, ἀλλ' ἡ παρακοὴ τῷ ἀπειθοῦντι ὕβρεις περιποιεῖται. Οὕτω καὶ τῷ πρωτοπλάστῳ ἡ παρακοὴ περιεποιήσατο ἐκβληθῆναι αὐτὸν ἐκ τοῦ παραδείσου· οὐ μέντοι γε ὡς κακοῦ τι ἔχοντος τοῦ ξύλου τῆς γνώσεως, διὰ δὲ τῆς παρακοῆς ὁ ἄνθρωπος ἐξήντλησε πόνον, ὀδύνην, λύπην, καὶ τὸ τέλος ὑπὸ θάνατον ἔπεσεν.*

26 *Καὶ τοῦτο δὲ ὁ Θεὸς μεγάλην εὐεργεσίαν παρέσχε τῷ ἀνθρώπῳ, τὸ μὴ διαμεῖναι αὐτὸν εἰς τὸν αἰῶνα ἐν ἁμαρτίᾳ ὄντα.*

11 *μετὰ* γονεῦσιν *προστίθ.* ἔτι δὲ χρὴ τὰ τέκνα τοῖς γονεῦσιν ὑποτάσσεσθαι *MB ἐξοβελίζει Otto*

ἀκόμη νήπιος· διὰ τοῦτο δὲν ἠδύνατο ἀκόμη νὰ δεχθῇ ἀξίως τὴν γνῶσιν[58]. Διότι καὶ τώρα, ὅταν γεννηθῇ παιδίον, δὲν δύναται νὰ τρώγῃ ἀμέσως ἄρτον, ἀλλὰ πρῶτον τρέφεται μὲ γάλα, ἔπειτα μὲ τὴν πρόοδον τῆς ἡλικίας ἔρχεται καὶ εἰς τὴν στερεὰν τροφήν[59]. Οὕτω συνέβη καὶ μὲ τὸν Ἀδάμ. Διὰ τοῦτο ὁ Θεὸς τὸν διέταξε νὰ μὴ τρώγῃ ἀπὸ τὸ δένδρον τῆς γνώσεως[60]. Προσέτι μάλιστα καὶ ἤθελε νὰ τὸν δοκιμάσῃ, ἐὰν θὰ ὑπήκουεν εἰς τὴν ἐντολὴν αὐτοῦ. Συγχρόνως δὲ ἤθελε νὰ μείνῃ ὁ νηπιάζων ἄνθρωπος ἐπὶ περισσότερον χρόνον ἁπλοῦς καὶ ἀκέραιος. Διότι τοῦτο εἶναι ὅσιον, ὄχι μόνον ἐνώπιον τοῦ Θεοῦ ἀλλὰ καὶ ἐνώπιον τοῦ ἀνθρώπου, τὸ νὰ ὑποτασσώμεθα μὲ ἁπλότητα καὶ ἀκακίαν εἰς τοὺς γονεῖς. Ἐὰν δὲ πρέπει τὰ τέκνα νὰ ὑποτάσσωνται εἰς τοὺς γονεῖς, πόσον μᾶλλον εἰς τὸν Θεὸν καὶ Πατέρα ὅλων[61]; Εἶναι μάλιστα καὶ ἄσχημον νὰ σκέπτωνται ὑπὲρ τὴν ἡλικίαν των τὰ νήπια παιδιά. Διότι καθὼς αὐξάνει κανεὶς εἰς τὴν ἡλικίαν κατὰ τάξιν, οὕτω καὶ εἰς τὴν σκέψιν.

Ἄλλωστε, ὅταν ὁ νόμος διατάσσῃ νὰ ἀπέχωμεν ἀπὸ κάτι καὶ δὲν ὑπακούῃ κανείς, εἶναι φανερὸν ὅτι τὴν τιμωρίαν δὲν παρέχει ὁ νόμος, ἀλλ' ἡ ἀπείθεια καὶ ἡ παρακοή. Ἐνίοτε πατὴρ προστάσσει τὸ τέκνον του νὰ ἀπέχῃ ἀπὸ ὡρισμένα πράγματα καὶ ὅταν δὲν ὑπακούῃ τοῦτο εἰς τὴν πατρικὴν ἐντολήν, δέρεται καὶ ἐπιτιμᾶται διὰ τὴν παρακοήν· καὶ αὐτὰ τὰ πράγματα δὲν εἶναι ἤδη κτυπήματα, ἀλλ' ἡ παρακοὴ προξενεῖ εἰς τὸν ἀπειθῆ ὕβρεις. Οὕτω καὶ εἰς τὸν πρωτόπλαστον ἡ παρακοὴ προεκάλεσε τὴν ἐκβολήν του ἀπὸ τὸν παράδεισον, ὄχι βεβαίως διότι τὸ δένδρον τῆς γνώσεως περιέκλειε κάτι κακόν, ἀλλὰ διότι ὁ ἄνθρωπος διὰ τῆς παρακοῆς ἐπέσυρεν εἰς ἑαυτὸν πόνον, ὀδύνην, λύπην, καὶ τελικῶς ἔπεσεν εἰς τὸν θάνατον.

26 Καὶ ταύτην δὲ τὴν μεγάλην εὐεργεσίαν παρέσχεν ὁ Θεὸς εἰς τὸν ἄνθρωπον, τὸ νὰ μὴ διαμείνῃ οὗτος αἰωνίως εἰς τὴν

58. Βλ. ΕΙΡΗΝΑΙΟΥ, *Ἔλεγχος* 4,38.
59. Α' Κορ. 3,2. Ἑβρ. 5,12.
60. Βλ. ΕΙΡΗΝΑΙΟΥ, *Ἔλεγχος* 3,23,6.
61. Βλ. Ἑβρ. 12,9.

*Ἀλλὰ τρόπῳ τινὶ ἐν ὁμοιώματι ἐξορισμοῦ ἐξέβαλεν αὐτὸν ἐκ τοῦ παραδείσου, ὅπως διὰ τῆς ἐπιτιμίας τακτῷ ἀποτίσας χρόνῳ τὴν ἁμαρτίαν καὶ παιδευθεὶς ἐξ ὑστέρου ἀνακληθῇ. Διὸ καὶ πλασθέντος τοῦ ἀνθρώπου ἐν τῷ κόσμῳ τούτῳ μυστηριωδῶς ἐν τῇ Γενέσει γέγραπται, ὡς δὶς αὐτοῦ ἐν τῷ παραδείσῳ τεθέντος· ἵνα τὸ μὲν ἅπαξ ᾖ πεπληρωμένον ὅτε ἐτέθη, τὸ δὲ δεύτερον μέλλῃ πληροῦσθαι μετὰ τὴν ἀνάστασιν καὶ κρίσιν. Οὐ μὴν ἀλλὰ καὶ καθάπερ σκεῦός τι, ἐπὰν πλασθὲν αἰτίαν τινὰ σχῇ, ἀναχωνεύεται ἢ ἀναπλάσσεται εἰς τὸ γενέσθαι καινὸν καὶ ὁλόκληρον, οὕτω γίνεται καὶ τῷ ἀνθρώπῳ διὰ θανάτου· δυνάμει γὰρ τέθραυσται ἵνα ἐν τῇ ἀναστάσει ὑγιὴς εὑρεθῇ, λέγω δὲ ἄσπιλος καὶ δίκαιος καὶ ἀθάνατος. Τὸ δὲ καλέσαι καὶ εἰπεῖν τὸν Θεόν, «ποῦ εἶ Ἀδάμ;» οὐχ ὡς ἀγνοῶν τοῦτο ἐποίει ὁ Θεός, ἀλλὰ μακρόθυμος ὢν ἀφορμὴν ἐδίδου αὐτῷ μετανοίας καὶ ἐξομολογήσεως.*

27 *Ἀλλὰ φήσει οὖν τις ἡμῖν· θνητὸς φύσει ἐγένετο ὁ ἄνθρωπος; Οὐδαμῶς. Τί οὖν ἀθάνατος; Οὐδὲ τοῦτό φαμεν. Ἀλλὰ ἐρεῖ τις· 'οὐδὲν οὖν ἐγένετο;' Οὐδὲ τοῦτο λέγομεν. Οὔτε οὖν φύσει θνητὸς ἐγένετο οὔτε ἀθάνατος. Εἰ γὰρ ἀθάνατον αὐτὸν ἀπ' ἀρχῆς πεποιήκει, Θεὸν αὐτὸν πεποιήκει· πάλιν εἰ θνητὸν αὐτὸν πεποιήκει, ἐδόκει ἂν ὁ Θεὸς αἴτιος εἶναι τοῦ θανάτου αὐτοῦ.*

*Οὔτε οὖν ἀθάνατον αὐτὸν ἐποίησεν οὔτε μὴν θνητόν, ἀλλά, καθὼς ἐπάνω προειρήκαμεν, δεκτικὸν ἀμφοτέρων, ἵνα, εἰ ῥέψῃ ἐπὶ τὰ τῆς ἀθανασίας, τηρήσας τὴν ἐντολὴν τοῦ Θεοῦ, μισθὸν κομίσηται παρ' αὐτοῦ τὴν ἀθανασίαν καὶ γένηται θεός, εἰ δ' αὖ τραπῇ ἐπὶ τὰ τοῦ θανάτου πράγματα παρακούσας τοῦ Θεοῦ, αὐτὸς ἑαυτῷ αἴτιος ᾖ τοῦ θανάτου. Ἐλεύθερον γὰρ καὶ αὐτεξούσιον ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. Ὃ οὖν οὐχ ἑαυτῷ περιεποιήσα-*

17 λέγομεν *Otto* ἐγὼ μὲν *MB*
27 ὃ οὖν οὐχ *Χοὺχ παραλ. MB*

ἁμαρτίαν. Ἀλλὰ κατά τινα τρόπον ἐν εἴδει ἐξορίας ἐξέβαλεν αὐτὸν ἀπὸ τὸν παράδεισον, ὥστε, ἀφοῦ ἀποτίσῃ τὴν ἁμαρτίαν εἰς τακτὸν χρόνον διὰ τῆς τιμωρίας καὶ παιδευθῇ, ὕστερον ν' ἀνακληθῇ. Διὰ τοῦτο καί, ὅταν ἐπλάσθη ὁ ἄνθρωπος οὗτος εἰς τὸν κόσμον ἐγράφη μυστηριωδῶς εἰς τὴν Γένεσιν, ὅτι ἐτέθη δὶς εἰς τὸν παράδεισον[62]· οὕτω ἡ πρώτη σημείωσις εἶχεν ἐκπληρωθῇ ὅταν ἐτέθη πράγματι, ἡ δὲ δευτέρα θὰ ἐκπληρωθῇ εἰς τὸ μέλλον κατὰ τὴν ἀνάστασιν καὶ κρίσιν. Καὶ μάλιστα, ὡσὰν σκεῦος, ὅταν μετὰ τὴν κατασκευήν του εὑρεθῇ νὰ ἔχῃ ἐλάττωμα, ἀναχωνεύεται καὶ ἀναπλάσσεται ὥστε νὰ γίνῃ νέον καὶ ἀκέραιον, οὕτω συμβαίνει καὶ εἰς τὸν ἄνθρωπον διὰ τοῦ θανάτου· διότι κατά τινα τρόπον ἔχει θραυσθῇ, διὰ νὰ εὑρεθῇ ὑγιὴς κατὰ τὴν ἀνάστασιν, δηλαδὴ ἄσπιλος καὶ δίκαιος καὶ ἀθάνατος. Τὸ ὅτι δὲ ὁ Θεὸς ἐκάλεσε καὶ εἶπεν, «Ἀδάμ, ποῦ εἶσαι;»[63], δὲν ἔπραξε τοῦτο διότι ἠγνόει, ἀλλ' ἔδιδεν εὐκαιρίαν μετανοίας καὶ ἐξομολογήσεως, διότι εἶναι μακρόθυμος[64].

27 Ἀλλὰ θὰ εἴπῃ κανεὶς εἰς ἡμᾶς. «Θνητὸς ἔγινε φύσει ὁ ἄνθρωπος»; Καθόλου. «Τί λοιπόν, ἀθάνατος»; Οὔτε τοῦτο λέγομεν. Ἀλλὰ θὰ εἴπῃ κανείς· «τίποτε λοιπὸν δὲν ἔγινεν;». Οὔτε τοῦτο λέγομεν. Πράγματι οὔτε θνητὸς φύσει οὔτε ἀθάνατος ἔγινεν. Ἐὰν τὸν εἶχε κάμει ἀπὸ τὴν ἀρχὴν ἀθάνατον, θὰ τὸν εἶχε κάμει Θεόν· ἐὰν πάλιν τὸν εἶχε κάμει θνητόν, θὰ ἐφαίνετο ὅτι αἴτιος τοῦ θανάτου αὐτοῦ εἶναι ὁ Θεός.

Οὔτε ἀθάνατον λοιπὸν ἔπλασεν αὐτὸν οὔτε βεβαίως θνητόν, ἀλλά, καθὼς εἴπομεν προηγουμένως[65], δεκτικὸν ἀμφοτέρων, οὕτως ὥστε, ἐὰν στραφῇ πρὸς τὸν δρόμον τῆς ἀθανασίας τηρῶν τὴν ἐντολὴν τοῦ Θεοῦ, νὰ κερδίσῃ ἀπὸ αὐτὸν ὡς μισθὸν τὴν ἀθανασίαν καὶ γίνῃ θεός, ἐὰν δὲ πάλιν τραπῇ πρὸς τὸν δρόμον τοῦ θανάτου, παρακούων τὸν Θεόν, αὐτὸς ὁ ἴδιος γίνῃ αἴτιος τοῦ θανάτου. Διότι ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον ἐλεύθε-

62. Γεν. 2,8. 2,15.
63. Γεν. 3,9.
64. Ταῦτα ἐπαναλαμβάνει ὁ Τερτυλλιανος, *Adversus Marcionem* 2,25.
65. Βλ. ἀνωτέρω 2,24.

*το δι' ἀμελείας καὶ παρακοῆς, τοῦτο ὁ Θεὸς αὐτῷ νυνὶ δωρεῖται διὰ ἰδίας φιλανθρωπίας καὶ ἐλεημοσύνης, ὑπακούοντος αὐτῷ τοῦ ἀνθρώπου. Καθάπερ γὰρ παρακούσας ὁ ἄνθρωπος θάνατον ἑαυτῷ ἐπεσπάσατο, οὕτως ὑπακούσας τῷ θελήματι τοῦ Θεοῦ ὁ βουλόμενος δύναται περιποιήσασθαι ἑαυτῷ τὴν αἰώνιον ζωὴν. Ἔδωκε γὰρ ὁ Θεὸς ἡμῖν νόμον καὶ ἐντολὰς ἁγίας, ἃς πᾶς ὁ ποιήσας δύναται σωθῆναι καὶ τῆς ἀναστάσεως τυχὼν κληρονομῆσαι τὴν ἀφθαρσίαν.*

*28 Ἐκβληθεὶς δὲ Ἀδὰμ ἐκ τοῦ παραδείσου, οὕτως ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, ἣν ὁ Θεὸς ἐποίησεν αὐτῷ εἰς γυναῖκα ἐκ τῆς πλευρᾶς αὐτοῦ. Καὶ τοῦτο δὲ οὐχ ὡς μὴ δυνάμενος κατ' ἰδίαν πλάσαι τὴν γυναῖκα αὐτοῦ, ἀλλὰ προηπίστατο ὁ Θεὸς ὅτι ἤμελλον οἱ ἄνθρωποι πληθὺν θεῶν ὀνομάζειν. Προγνώστης οὖν ὢν καὶ εἰδὼς ὅτι ἡ πλάνη ἤμελλε διὰ τοῦ ὄφεως ὀνομάζειν πληθὺν θεῶν τῶν οὐκ ὄντων(ἑνὸς γὰρ ὄντος Θεοῦ, ἔκτοτε ἤδη ἐμελέτα ἡ πλάνη πληθὺν θεῶν ὑποσπείρειν καὶ λέγειν 'ἔσεσθε ὡς θεοί'), διὰ τοῦτο οὖν ἐποίησε τοὺς δύο ἅμφω, μήπως ὑποληµφθῇ ὡς ὅτι ὅδε μὲν ὁ Θεὸς ἐποίησε τὸν ἄνδρα, ἕτερος δὲ τὴν γυναῖκα. Οὐ μὴν ἀλλὰ καὶ ἵνα διὰ τούτου δειχθῇ τὸ μυστήριον τῆς μοναρχίας τῆς κατὰ τὸν Θεόν, καὶ ἵνα πλείων ᾖ ἡ εὔνοια εἰς αὐτούς, ἅμα ἐποίησεν ὁ Θεὸς τὴν γυναῖκα αὐτοῦ.*

*Πρὸς μὲν οὖν τὴν Εὔαν ὁ Ἀδὰμ εἰπών, «τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου», ἔτι καὶ ἐπροφήτευσε λέγων, «τούτου ἕνεκεν καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν»· ὃ δὴ καὶ αὐτὸ δείκνυται τελειούμενον ἐν ἡμῖν αὐτοῖς. Τίς γὰρ ὁ νομίμως γαμῶν οὐ καταφρονεῖ μητρὸς καὶ πατρὸς καὶ πάσης συγγενείας καὶ πάντων*

66. Γεν. 3,5.
67. Γεν. 2,23.

ρον καὶ αὐτεξούσιον. Ἐπομένως ἐκεῖνο τὸ ὁποῖον λόγω ἀμελείας καὶ παρακοῆς δὲν ἐπρομήθευσεν αὐτὸς εἰς ἑαυτόν, τοῦτο τώρα δωρίζει εἰς αὐτὸν ὁ Θεὸς λόγω τῆς φιλανθρωπίας καὶ ἐλεημοσύνης του, ἀφοῦ πλέον ὁ ἄνθρωπος ὑπακούει εἰς αὐτόν. Ὅπως δηλαδὴ ὁ ἄνθρωπος παρακούσας ἐπέσυρεν εἰς ἑαυτὸν θάνατον, οὕτως ὁ θέλων ὑπακούσας εἰς τὸ θέλημα τοῦ Θεοῦ δύναται νὰ ἐξασφαλίση εἰς ἑαυτὸν τὴν αἰώνιον ζωήν. Διότι ὁ Θεὸς ἔδωσεν εἰς ἡμᾶς νόμον καὶ ἐντολὰς ἁγίας, καὶ ὅποιος ἐκτελεῖ αὐτὰς δύναται νὰ σωθῆ καὶ ἐπιτυχὼν τὴν ἀνάστασιν νὰ κληρονομήση τὴν ἀφθαρσίαν.

28 Ὅταν δὲ ἐξεβλήθη τοῦ παραδείσου ὁ Ἀδάμ, τότε συνῆλθε μὲ τὴν γυναῖκα αὐτοῦ Εὔαν, τὴν ὁποίαν ὁ Θεὸς ἔπλασεν ὡς σύζυγόν του ἀπὸ τὴν πλευρὰν αὐτοῦ. Καὶ τοῦτο δὲ ὄχι διότι δὲν ἠδύνατο νὰ πλάση ἰδιαιτέρως τὴν γυναῖκα αὐτοῦ, ἀλλὰ προεγνώριζεν ὁ Θεὸς ὅτι οἱ ἄνθρωποι ἐπρόκειτο νὰ ἀναγνωρίσουν πλῆθος θεῶν. Ὡς προγνώστης λοιπὸν καὶ ὡς γνωρίζων ὅτι ἡ πλάνη ἐπρόκειτο διὰ τοῦ ὄφεως νὰ ἀναγνωρίση πλῆθος ἀνυπάρκτων θεῶν (ἐνῶ δηλαδὴ ὁ Θεὸς ἦτο εἷς, ἀπὸ τότε ἤδη ἡ πλάνη ἐμελέτα νὰ διασπείρη τὴν ἰδέαν περὶ πλήθους θεῶν καὶ νὰ εἴπη, 'θὰ εἶσθε θεοί'[66]), διὰ τοῦτο λοιπὸν ἔπλασε τοὺς δύο ὁμοῦ, μήπως θεωρηθῆ ὅτι ὁ εἷς θεὸς ἔκαμε τὸν ἄνδρα, ἄλλος δὲ τὴν γυναῖκα. Ἀλλ' ἐπίσης καὶ διὰ νὰ δειχθῆ τὸ μυστήριον τῆς μοναρχίας εἰς τὸν Θεὸν καὶ διὰ νὰ παρουσιασθῆ μεγαλυτέρα ἡ εὔνοια εἰς αὐτούς, συγχρόνως ἔκαμεν ὁ Θεὸς τὴν γυναῖκα αὐτοῦ.

Πρὸς τὴν Εὔαν λοιπὸν εἰπὼν ὁ Ἀδάμ, «τοῦτο ἐδῶ εἶναι ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου»[67], ἐπὶ πλέον ἐπροφήτευσε λέγων, «διὰ τοῦτο ὁ ἀνὴρ θὰ ἐγκαταλείψη τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ θὰ προσκολληθῆ εἰς τὴν γυναῖκα αὐτοῦ, καὶ θὰ εἶναι οἱ δύο εἰς μίαν σάρκα»[68]· τὸ ὁποῖον δεικνύεται ἐκπληρούμενον εἰς ἡμᾶς τοὺς ἰδίους. Διότι ποῖος νυμφευόμενος νομίμως δὲν καταφρονεῖ τὴν μητέρα καὶ τὸν πα-

68. Γεν. 2,23 ἑ.

*τῶν οἰκείων, προσκολλώμενος καὶ ἑνούμενος τῇ ἑαυτοῦ γυναικί, εὐνοῶν μᾶλλον αὐτῇ; Διὸ καὶ μέχρι θανάτου πολλάκις ὑπεύθυνοι γίνονταί τινες διὰ τὰς ἑαυτῶν γαμετάς. Ταύτην τὴν Εὔαν διὰ τὸ ἀρχῆθεν πλανηθῆναι ὑπὸ τοῦ ὄφεως καὶ ἀρχηγὸν ἁμαρτίας γεγονέναι, ὁ κακοποιὸς δαίμων, ὁ καὶ Σατὰν καλούμενος, ὁ τότε διὰ τοῦ ὄφεως λαλήσας αὐτῇ, ἕως καὶ τοῦ δεῦρο ἐνεργῶν ἐν τοῖς ἐνθουσιαζομένοις ὑπ' αὐτοῦ ἀνθρώποις, Εὐὰν ἐκκαλεῖται. Δαίμων δὲ καὶ δράκων καλεῖται διὰ τὸ ἀποδεδρακέναι αὐτὸν ἀπὸ τοῦ Θεοῦ· ἄγγελος γὰρ ἦν ἐν πρώτοις. Καὶ τὰ μὲν περὶ τούτου πολὺς ὁ λόγος· διὸ τανῦν παραπέμπομαι τὴν περὶ αὐτῶν διήγησιν· καὶ γὰρ ἐν ἑτέροις ἡμῖν γεγένηται ὁ περὶ αὐτοῦ λόγος.*

29 *Ἐν τῷ οὖν γνῶναι τὸν Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ Εὔαν συλλαβοῦσα ἔτεκεν υἱόν, ᾧ τοὔνομα Κάϊν. Καὶ εἶπεν· «ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ». Καὶ προσέθετο ἔτι τεκεῖν δεύτερον, ᾧ ὄνομα Ἄβελ. «Ἤρξατο ποιμὴν εἶναι προβάτων· Κάϊν δὲ εἰργάζετο τὴν γῆν». Τὰ μὲν οὖν κατ' αὐτοὺς πλείω ἔχει τὴν ἱστορίαν, οὐ μὴν ἀλλὰ καὶ τὴν οἰκονομίαν τῆς ἐξηγήσεως· διὸ τὰ τῆς ἱστορίας τοὺς φιλομαθεῖς δύναται ἀκριβέστερον διδάξαι αὐτὴ ἡ βίβλος ἥτις ἐπιγράφεται, Γένεσις κόσμου.*

*Ὁπότε οὖν ἐθεάσατο ὁ Σατανᾶς οὐ μόνον τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα αὐτοῦ ζῶντας, ἀλλὰ καὶ τέκνα πεποιηκότας, ἐφ' ὧν οὐκ ἴσχυσεν θανατῶσαι αὐτοὺς φθόνῳ φερόμενος, ἡνίκα ἑώρα τὸν Ἄβελ εὐαρεστοῦντα τῷ Θεῷ, ἐνεργήσας εἰς τὸν ἀδελφὸν αὐ-*

69. «Εὐάν εὐάν» ἐφώναζον αἱ ὀργιάζουσαι Βάκχαι. Βλ. ΚΛΗΜΕΝΤΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ, *Προτρεπτικὸς* 2,12,2, «ἐπολολύζοντες εὐὰν εὐὰν ἐκείνην δι' ἣν ἡ πλάνη παρηκολούθησε· καὶ σημεῖον ὀργίων Βακχικῶν ὄφις ἐστὶ τετελεσμένος. Αὐτίκα γοῦν κατὰ τὴν ἀκριβῆ τῶν Ἑβραίων φωνὴν τὸ ὄνομα τὸ Ἕυια δασυνόμενον ἑρμηνεύεται ὄφις ἡ θηλεία». Ἡ μετάφρασις τοῦ χωρίου τοῦ Θεοφίλου ἔγινεν ὡς ἐὰν τὸ «Εὐὰν ἐκκαλεῖται» ἀναφέρεται εἰς τὸν Σατανᾶν. Δυνατὸν ὅμως τοῦτο νὰ ἀναφέρεται εἰς αὐτὴν ταύτην τὴν Εὔαν, ὡς μεταφράζουν ἄλλοι.

τέρα καὶ ὅλην τὴν συγγένειαν καὶ ὅλους τοὺς οἰκείους, διὰ νὰ προσκολληθῇ καὶ ἑνωθῇ εἰς τὴν γυναῖκα του, εὐνοῶν περισσότερον αὐτήν; Διὰ τοῦτο πολλάκις μερικοὶ ἐκτίθενται καὶ εἰς θάνατον διὰ τὰς συζύγους των. Ἐπειδὴ ἡ Εὔα αὕτη ἐξ ἀρχῆς ἐπλανήθη ὑπὸ τοῦ ὄφεως καὶ ἔγινεν ἀρχηγὸς ἁμαρτίας, ὁ κακοποιὸς δαίμων, ὁ καλούμενος ἐπίσης Σατάν, ὁ ὁποῖος τότε ἐλάλησε πρὸς αὐτὴν διὰ τοῦ ὄφεως, ἐνεργῶν ἕως καὶ τώρα εἰς τοὺς ἐνθουσιαζομένους ὑπ' αὐτοῦ ἀνθρώπους, καλεῖται Εὐάν[69]. Καλεῖται δὲ δαίμων καὶ δράκων[70], διὰ τὸ ὅτι ἔχει ἀποδράσει ἀπὸ τοῦ Θεοῦ· διότι κατ' ἀρχὰς ἦτο δράκων. Ἀπαιτεῖται μακρὸς λόγος περὶ τούτου, διὸ τώρα παρακάμπτω τὴν περὶ αὐτῶν διήγησιν· διότι ὁ περὶ αὐτοῦ λόγος ἔχει γίνει ἀπὸ ἡμᾶς εἰς ἄλλο κείμενον[71].

29 Ἀφοῦ λοιπὸν ὁ Ἀδὰμ συνῆλθε μὲ τὴν γυναῖκα αὐτοῦ Εὔαν, αὕτη συλλαβοῦσα ἐγέννησεν υἱὸν καλούμενον Κάϊν. Καὶ εἶπεν· «ἀπέκτησα ἄνθρωπον χάριν τοῦ Θεοῦ»[72]. Καὶ ἐνέκρινεν ὁ Θεὸς νὰ γεννήσῃ δεύτερον, ὁ ὁποῖος ὠνομάσθη Ἄβελ. «Ἤρχισε νὰ εἶναι ποιμὴν προβάτων, ὁ δὲ Κάϊν εἰργάζετο τὴν γῆν»[73]. Τὰ σχετικὰ μὲ αὐτοὺς συμβάντα ἀποτελοῦν μακροτέραν ἱστορίαν, καθὼς ἐπίσης καὶ μακροτέραν ἐξηγητικὴν ἔκθεσιν· ἀκριβέστερον δύναται νὰ διδάξῃ τοὺς φιλομαθεῖς αὐτὴ αὕτη ἡ βίβλος ἡ ὁποία ἐπιγράφεται Γένεσις κόσμου[74].

Ὅταν λοιπὸν εἶδεν ὁ Σατανᾶς ὄχι μόνον νὰ ζοῦν ὁ Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, ἀλλὰ καὶ νὰ γεννοῦν τέκνα, κινούμενος ἀπὸ φθόνον, διότι δὲν κατώρθωσε νὰ τοὺς θανατώσῃ, καθὼς ἰδιαι-

---

70. Ὁ Θεόφιλος παράγει τὸ ὄνομα δράκων ἀπὸ τὸ δεδρακέναι, λόγῳ ἀποδράσεως τούτου ἀπὸ τοῦ Θεοῦ. Φανταστικὴ ἐτυμολογία.

71. Ἐννοεῖται ἄλλο βιβλίον, καὶ τοῦτο εἶναι πιθανὸν τὸ *Περὶ ἱστοριῶν*.

72. Γεν. 4,1.

73. Γεν. 4,2.

74. Δὲν εἶναι δυνατὸν νὰ ἀποφανθῶμεν, ἂν πρόκειται περὶ τοῦ βιβλίου τῆς Πεντατεύχου *Γένεσις* ἢ περὶ ἔργου αὐτοῦ τούτου τοῦ Θεοφίλου ἐπιγραφομένου *Γένεσις κόσμου*. Ἂν συμβαίνῃ τὸ δεύτερον, τοῦτο πιθανῶς ταυτίζεται μὲ τὸ ἄλλως καλούμενον *Ἱστορίαι*.

*τοῦ τὸν καλούμενον Κάϊν ἐποίησεν ἀποκτεῖναι τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ. Καὶ οὕτως ἀρχὴ θανάτου ἐγένετο εἰς τόνδε τὸν κόσμον ὁδοιπορεῖν ἕως τοῦ δεῦρο ἐπὶ πᾶν γένος ἀνθρώπων. Ὁ δὲ Θεὸς ἐλεήμων ὢν καὶ βουλόμενος ἀφορμὴν μετανοίας καὶ ἐξομολογήσεως παρασχεῖν τῷ Κάϊν, καθάπερ καὶ τῷ Ἀδάμ, εἶπεν· «ποῦ Ἄβελ ὁ ἀδελφός σου;». Ὁ δὲ Κάϊν ἀπεκρίθη ἀπειθῶς τῷ Θεῷ εἰπών· «οὐ γινώσκω· μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου;». Οὕτως ὀργισθεὶς αὐτῷ ὁ Θεὸς ἔφη· «τί ἐποίησας τοῦτο; Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. Καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανεν δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ χειρός σου· στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς». Διὸ ἔκτοτε φοβηθεῖσα ἡ γῆ οὐκέτι ἀνθρώπου αἷμα παραδέχεται, ἀλλ' οὐδέ τινος ζώου· ᾗ φανερὸν ὅτι οὐκ ἔστιν αὐτὴ αἰτία, ἀλλ' ὁ παραβὰς ἄνθρωπος.*

*Ὁ οὖν Κάϊν καὶ αὐτὸς ἔσχεν υἱόν, ᾧ ὄνομα Ἐνώχ. Καὶ ᾠκοδόμησε πόλιν, ἣν ἐπωνόμασεν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. Ἀπὸ τότε ἀρχὴ ἐγένετο τοῦ οἰκοδομεῖσθαι πόλεις, καὶ τοῦτο πρὸ κατακλυσμοῦ, οὐχ ὡς Ὅμηρος ψεύδεται λέγων·*

*Οὐ γάρ πω πεπόλιστο πόλις μερόπων ἀνθρώπων.*

*Τῷ δὲ Ἐνὼχ ἐγενήθη υἱὸς ὀνόματι Γαϊδάδ· καὶ Γαϊδὰδ ἐγέννησε τὸν καλούμενον Μεήλ, καὶ Μεὴλ τὸν Μαθουσάλα, καὶ Μαθουσάλα τὸν Λάμεχ. Ὁ δὲ Λάμεχ ἔλαβεν ἑαυτῷ δύο γυναῖκας, αἷς ὀνόματα Ἀδᾶ καὶ Σελᾶ. Ἔκτοτε ἀρχὴ ἐγένετο τῆς πολυμιξίας, ἀλλὰ καὶ τῆς μουσικῆς. Τῷ γὰρ Λάμεχ ἐγένοντο τρεῖς*

20 καὶ Γαϊδὰδ *X παραλ. MB*

---

75. Γεν. 4,9.
76. Γεν. 4,9.
77. Γεν.4,10–12.
78. Διότι τὸ αἷμα πήζει ταχέως.

τέρως ἔβλεπε τὸν Ἄβελ νὰ εὐαρεστῇ τὸν Θεόν, ἐνεργήσας εἰς τὸν ἀδελφὸν αὐτοῦ τὸν καλούμενον Κάϊν ἔκαμε νὰ φονεύσῃ τὸν ἀδελφὸν αὐτοῦ Ἄβελ. Καὶ οὕτω ἤρχισεν ὁ θάνατος εἰς τὸν κόσμον τοῦτον καὶ ἔκτοτε ὁδοιπορεῖ εἰς ὅλον τὸ ἀνθρώπινον γένος ἕως σήμερον. Ὁ δὲ Θεός, ὡς ἐλεήμων, θέλων νὰ παράσχῃ εἰς τὸν Κάϊν ἀφορμὴν μετανοίας καὶ ἐξομολογήσεως, καθὼς καὶ εἰς τὸν Ἀδάμ, εἶπε· «ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου;»[75]. Ὁ δὲ Κάϊν ἀπεκρίθη ἀπειθῶς εἰς τὸν Θεὸν λέγων· «δὲν γνωρίζω· μήπως εἶμαι φύλαξ τοῦ ἀδελφοῦ μου;»[76]. Τότε ὀργισθεὶς ἐναντίον του ὁ Θεὸς εἶπε· «διατί τὸ ἔκαμες αὐτό; Ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρὸς ἐμὲ ἀπὸ τὴν γῆν. Καὶ τώρα σὺ θὰ εἶσαι κατηραμένος ἀπὸ τὴν γῆν, ἡ ὁποία διηνοίγη διὰ νὰ δεχθῇ τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἀπὸ τὴν χεῖρα σου· θὰ στενάζῃς καὶ θὰ τρέμῃς ἐπὶ τῆς γῆς»[77]. Διὰ τοῦτο ἔκτοτε φοβηθεῖσα ἡ γῆ δὲν ἀφομοιώνει πλέον τὸ αἷμα τοῦ ἀνθρώπου, ἀλλ' οὔτε τοῦ ζώου[78]. Καθίσταται οὕτω φανερὸν ὅτι δὲν εἶναι αὐτὴ αἰτία, ἀλλ' ὁ παραβάτης ἄνθρωπος.

Ὁ Κάϊν λοιπὸν ἀπέκτησε καὶ αὐτὸς υἱόν, καλούμενον Ἐνώχ[79]. Καὶ ᾠκοδόμησε πόλιν, τὴν ὁποίαν ὠνόμασε μὲ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. Ἀπὸ τότε ἔγινεν ἀρχὴ τῆς οἰκοδομήσεως πόλεων, καὶ τοῦτο πρὸ τοῦ κατακλυσμοῦ, ὄχι ὅπως ψευδῶς λέγει ὁ Ὅμηρος.

«Διότι δὲν εἶχεν ἀκόμη θεμελιωθῇ πόλις θνητῶν ἀνθρώπων»[80].

Εἰς τὸν Ἐνὼχ δὲ ἐγεννήθη υἱὸς ὀνομαζόμενος Γαϊδάδ, καὶ ὁ Γαϊδὰδ ἐγέννησε τὸν καλούμενον Μεὴλ καὶ ὁ Μεὴλ τὸν Μαθουσάλα καὶ ὁ Μαθουσάλα τὸν Λάμεχ. Ὁ δὲ Λάμεχ ἔλαβε δι' ἑαυτὸν δύο γυναῖκας, αἱ ὁποῖαι ὠνομάζοντο Ἀδᾶ καὶ Σελᾶ[81]. Ἔκτοτε ἤρχισεν ἡ πολυγαμία, ἀλλὰ καὶ ἡ μουσική. Καὶ ὁ μὲν

---

79. Γεν. 4,17.
80. *Ἰλιὰς* Υ 217.
81. Γεν. 4,18–22.

υἱοί, Ὠβήλ, Ἰουβάλ, Θοβέλ. Καὶ ὁ μὲν Ὠβὴλ ἐγένετο ἀνὴρ ἐν σκηναῖς κτηνοτροφῶν, Ἰουβὰλ δέ ἐστιν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν, Θοβὲλ δὲ ἐγένετο σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου. Ἕως μὲν οὖν τούτου ἔσχεν τὸν κατάλογον τὸ σπέρμα τοῦ Κάϊν· καὶ τὸ λοιπὸν εἰς λήθην αὐτοῦ γέγονεν τὸ σπέρμα τῆς γενεαλογίας, διὰ τὸ ἀδελφοκτονῆσαι αὐτὸν τὸν ἀδελφόν. Εἰς τὸν τόπον δὲ τοῦ Ἄβελ ἔδωκεν ὁ Θεὸς συλλαβεῖν τὴν Εὔαν καὶ τεκεῖν υἱόν, ὃς κέκληται Σήθ· ἀφ᾽ οὗ τὸ λοιπὸν γένος τῶν ἀνθρώπων ὁδεύει μέχρι τοῦ δεῦρο. Τοῖς δὲ βουλομένοις καὶ φιλομαθέσι καὶ περὶ πασῶν τῶν γενεῶν εὔκολόν ἐστιν ἐπιδεῖξαι διὰ τῶν ἁγίων γραφῶν. Καὶ γὰρ ἐκ μέρους ἡμῖν γεγένηται ἤδη λόγος ἐν ἑτέρῳ λόγῳ, ὡς ἐπάνω προειρήκαμεν, τῆς γενεαλογίας ἡ τάξις ἐν τῇ πρώτῃ βίβλῳ τῇ περὶ ἱστοριῶν.

Ταῦτα δὲ πάντα ἡμᾶς διδάσκει τὸ πνεῦμα τὸ ἅγιον, τὸ διὰ Μωϋσέως καὶ τῶν λοιπῶν προφητῶν, ὥστε τὰ καθ᾽ ἡμᾶς τοὺς θεοσεβεῖς ἀρχαιότερα γράμματα τυγχάνει, οὐ μὴν ἀλλὰ καὶ ἀληθέστερα πάντων συγγραφέων καὶ ποιητῶν δείκνυται ὄντα. Ἀλλὰ μὴν καὶ τὰ περὶ τῆς μουσικῆς ἐφλυάρησάν τινες εὑρετὴν Ἀπόλλωνα γεγενῆσθαι· ἄλλοι δὲ Ὀρφέα ἀπὸ τῆς τῶν ὀρνέων ἡδυφωνίας φασὶν ἐξευρηκέναι τὴν μουσικήν. Κενὸς δὲ καὶ μάταιος ὁ λόγος αὐτῶν δείκνυται· μετὰ γὰρ πολλὰ ἔτη τοῦ κατακλυσμοῦ οὗτοι ἐγένοντο. Τὰ δὲ περὶ τοῦ Νῶε, ὃς κέκληται ὑπὸ ἐνίων Δευκαλίων, ἐν τῇ βίβλῳ ᾗ προειρήκαμεν ἡ διήγησις ἡμῖν γεγένηται· ᾗ, εἰ βούλει, καὶ σὺ δύνασαι ἐντυχεῖν.

31 Μετὰ τὸν κατακλυσμὸν ἀρχὴ πάλιν ἐγένετο πόλεων καὶ βασιλέων τὸν τρόπον τοῦτον. Πρώτη πόλις Βαβυλών, καὶ Ὀρὲχ

Ὠβὴλ ἔγινε κτηνοτρόφος σκηνίτης, ὁ Ἰουβὰλ εἶναι αὐτὸς ὁ ὁποῖος ἐφεῦρε τὸ ψαλτήριον καὶ τὴν κιθάραν, ὁ δὲ Θοβὲλ ἔγινε σφυροκόπος τεχνίτης χαλκοῦ καὶ σιδήρου. Ὁ κατάλογος τῶν ἀπογόνων τοῦ Κάϊν ἕως ἐδῶ φθάνει· εἰς τὸ ἑξῆς ἔπεσεν εἰς λήθην ἡ γενεαλογική του διαδοχή, διὰ τὸν λόγον ὅτι ἐφόνευσε τὸν ἀδελφόν του. Εἰς τὸν τόπον δὲ τοῦ Ἄβελ ἐνέκρινεν ὁ Θεὸς νὰ συλλάβῃ ἡ Εὔα καὶ νὰ γεννήσῃ υἱόν, ὁ ὁποῖος ὠνομάσθη Σήθ[82], ἀπὸ τὸν ὁποῖον κατέρχεται ἕως σήμερον τὸ ὑπόλοιπον γένος τῶν ἀνθρώπων. Εἰς τοὺς θέλοντας φιλομαθεῖς νὰ πληροφορηθοῦν περὶ ὅλων τῶν γενεῶν εἶναι εὔκολον νὰ τὸ παρουσιάσωμεν διὰ τῶν ἁγίων Γραφῶν. Διότι ἤδη ἐκάμαμεν λεπτομερειακὸν λόγον εἰς ἄλλην πραγματείαν, ὅπως εἴπομεν προηγουμένως· τὴν τάξιν τῆς γενεαλογίας ἐπραγματεύθημεν εἰς τὸ πρῶτον βιβλίον *Περὶ ἱστοριῶν*.

Ὅλα δὲ αὐτὰ διδάσκει ἡμᾶς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκφρασθὲν διὰ τοῦ Μωϋσέως καὶ τῶν λοιπῶν προφητῶν· ὥστε τὰ συγγράμματα ἡμῶν τῶν θεοσεβῶν εἶναι ἀρχαιότερα, ἀλλ' ἐπὶ πλέον ἀποδεικνύεται ὅτι εἶναι καὶ ἀληθέστερα ἀπὸ ὅλους τοὺς συγγραφεῖς καὶ ποιητάς. Καὶ μάλιστα μερικοὶ ἐφλυάρησαν ὅτι τῆς μουσικῆς ἐφευρέτης ὑπῆρξεν ὁ Ἀπόλλων· ἄλλοι δὲ λέγουν ὅτι τὴν μουσικὴν ἐφεῦρεν ὁ Ὀρφεὺς ἀπὸ τὴν γλυκυφωνίαν τῶν πτηνῶν. Κενὸς δὲ καὶ μάταιος δεικνύεται ὁ λόγος αὐτῶν· διότι οὗτοι ἔζησαν πολλὰ ἔτη μετὰ τὸν κατακλυσμόν. Τὰ δὲ περὶ τοῦ Νῶε, ὁ ὁποῖος ὑπὸ μερικῶν ὀνομάζεται Δευκαλίων, διηγήθημεν εἰς τὸ προαναφερθὲν σύγγραμμα· τὸ ὁποῖον, ἐὰν θέλῃς, δύνασαι νὰ μελετήσῃς καὶ σύ.

31 Μετὰ τὸν κατακλυσμὸν ἤρχισε πάλιν νὰ ὑπάρχουν πόλεις καὶ βασιλεῖς κατὰ τὸν ἑξῆς τρόπον. Πρώτη πόλις ἡ Βαβυλών[83],

---

82. Γεν. 5,3.
83. Γεν. 10,10 ἑ.

*καὶ Ἀρχὰθ καὶ Χαλάνη ἐν τῇ γῇ Σενναάρ. Καὶ βασιλεὺς ἐγένετο αὐτῶν ὀνόματι Νεβρώθ. Ἐκ τούτων ἐξῆλθεν ὀνόματι Ἀσσούρ· ὅθεν καὶ Ἀσσύριοι προσαγορεύονται. Νεβρὼθ δὲ ᾠκοδόμησε πόλεις τὴν Νινευὴ καὶ τὴν Ροβοὼμ καὶ τὴν Καλὰκ καὶ τὴν Δασὲν ἀνὰ μέσον Νινευὴ καὶ ἀνὰ μέσον Καλάκ. Ἡ δὲ Νινευὴ ἐγενήθη ἐν πρώτοις πόλις μεγάλη. Ἕτερος δὲ υἱὸς τοῦ Σὴμ υἱοῦ τοῦ Νῶε ὀνόματι Μεσραεὶν ἐγέννησεν τοὺς Λουδουεὶμ καὶ τοὺς καλουμένους Ἐνεμιγεὶμ καὶ τοὺς Λαβιεὶμ καὶ τοὺς Νεφθαλεὶμ καὶ τοὺς Πατροσωνιεὶμ καὶ τοὺς Χασλωνιείμ, ὅθεν ἐξῆλθε Φυλιστιείμ.*

*Τῶν μὲν οὖν τριῶν υἱῶν τοῦ Νῶε, καὶ τῆς συντελείας αὐτῶν καὶ γενεαλογίας, ἐγένετο ἡμῖν ὁ κατάλογος ἐν ἐπιτομῇ ἐν ᾗ προειρήκαμεν βίβλῳ. Καὶ νῦν δὲ τὰ παραλελειμμένα ἐπιμνησθησόμεθα περί τε πόλεων καὶ βασιλέων, τῶν τε γεγενημένων ὁπότε ἦν χεῖλος ἓν καὶ μία γλῶσσα.*

*Πρὸ τοῦ τὰς διαλέκτους μερισθῆναι αὗται αἱ προγεγραμμέναι ἐγενήθησαν πόλεις. Ἐν δὲ τῷ μέλλειν αὐτοὺς διαμερίζεσθαι συμβούλιον ἐποίησαν γνώμῃ ἰδίᾳ καὶ οὐ διὰ Θεοῦ οἰκοδομῆσαι πόλιν καὶ πύργον, οὗ ἡ ἄκρα φθάσῃ εἰς τὸν οὐρανὸν ἀφικέσθαι, ὅπως ποιήσωσιν ἑαυτοῖς ὄνομα δόξης. Ἐπειδὴ οὖν παρὰ προαίρεσιν Θεοῦ βαρὺ ἔργον ἐτόλμησαν ποιῆσαι, κατέβαλεν αὐτῶν ὁ Θεὸς τὴν πόλιν καὶ τὸν πύργον κατέστρωσεν. Ἔκτοτε ἐνήλλαξε τὰς γλώσσας τῶν ἀνθρώπων, δοὺς ἑκάστῳ διάφορον διάλεκτον. Σίβυλλα μὲν οὕτως σεσήμακεν, καταγγέλλουσα ὀργὴν τῷ κόσμῳ μέλλειν ἔρχεσθαι. Ἔφη δὲ οὕτως·*

*«Ἀλλ' ὁπόταν μεγάλοιο Θεοῦ τελέωνται ἀπειλαί,*
*ἅς ποτ' ἐπηπείλησε βροτοῖς, ὅτε πύργον ἔτευξαν*
*χώρῃ ἐν Ἀσσυρίῃ. Ὁμόφωνοι δ' ἦσαν ἅπαντες,*

84. Ὁ Μεσραεὶν κατὰ τὴν Γένεσιν ἦτο υἱὸς τοῦ Χάμ, ὄχι τοῦ Σήμ.

ἔπειτα ἡ Ὀρὲχ καὶ ἡ Ἀρχὰθ καὶ ἡ Χαλάνη εἰς τὴν γῆν Σενναάρ. Καὶ βασιλεὺς αὐτῶν ἀνεδείχθη ὁ ὀνομαζόμενος Νεβρώθ. Ἀπὸ αὐτὰς ἐξῆλθεν ὁ καλούμενος Ἀσσούρ, ἀπὸ τὸν ὁποῖον ἔλαβον τὸ ὄνομα οἱ Ἀσσύριοι. Ὁ δὲ Νεβρὼθ ᾠκοδόμησε πόλεις τὴν Νινευὴ καὶ τὴν Ροβοὼμ καὶ τὴν Καλὰκ καὶ τὴν Δασὲν ἀνάμεσα εἰς τὴν Νινευὴ καὶ τὴν Καλάκ. Ἡ δὲ Νινευὴ ὑπῆρξεν ἐξ ἀρχῆς μεγάλη πόλις. Ἄλλος δὲ υἱὸς τοῦ Σὴμ υἱοῦ τοῦ Νῶε, ὀνόματι Μεσραείν[84], ἐγέννησε τοὺς Λουδουείμ, τοὺς καλουμένους Ἐνεμιγείμ, τοὺς Λαβιείμ, τοὺς Νεφθαλείμ, τοὺς Πατροσωνιεὶμ καὶ τοὺς Χασλωνιείμ, ἀπὸ τοὺς ὁποίους προῆλθεν ὁ Φιλισταῖος.

Περὶ τῶν τριῶν υἱῶν τοῦ Νῶε λοιπόν, τοῦ τέλους αὐτῶν καὶ τῶν ἀπογόνων αὐτῶν, διεπραγματεύθημεν ἐν συντομίᾳ εἰς τὸ προαναφερθὲν σύγγραμμα. Καὶ τώρα δὲ θὰ ἐνθυμηθῶμεν τὰ παραδοθέντα περὶ τῶν πόλεων καὶ τῶν βασιλέων, καθὼς καὶ τῶν συμβάντων τότε ὁπότε ὑπῆρχεν ἓν χεῖλος καὶ μία γλῶσσα.

Προτοῦ διαμερισθοῦν αἱ γλῶσσαι, ἔγιναν αὐταὶ αἱ προαναφερθεῖσαι πόλεις. Κατὰ τὰς παραμονὰς τοῦ διαχωρισμοῦ αὐτῶν ἔκαμαν συμβούλιον καὶ ἀπεφάσισαν κατὰ ἰδικήν των γνώμην καὶ ὄχι κατὰ τὴν θέλησιν τοῦ Θεοῦ νὰ οἰκοδομήσουν πόλεις καὶ πύργον, τοῦ ὁποίου ἡ κορυφὴ θὰ ἔφθανεν εἰς τὸν οὐρανόν, διὰ νὰ ἀποκτήσουν οὕτω μεγάλην δόξαν. Ἐπειδὴ λοιπὸν ἐτόλμησαν νὰ ἐκτελέσουν βαρὺ ἔργον παρὰ τὴν γνώμην τοῦ Θεοῦ, ὁ Θεὸς ἐκρήμνισε τὴν πόλιν αὐτῶν καὶ κατέρριψε τὸν πύργον. Ἔκτοτε ἐδιαφοροποίησε τὰς γλώσσας τῶν ἀνθρώπων, δώσας εἰς ἕκαστον διαφορετικὴν διάλεκτον. Οὕτως ἐσήμανεν ἡ Σίβυλλα, καταγγέλλουσα ὅτι πρόκειται νὰ ἔλθῃ ὀργὴ εἰς τὸν κόσμον. Εἶπε δὲ ταῦτα·

«Ἀλλ᾽ ὅταν θὰ πραγματοποιηθοῦν αἱ ἀπειλαὶ τοῦ μεγάλου Θεοῦ,
μὲ τὰς ὁποίας ἠπείλησε τοὺς βροτούς, ὅταν ἔκτισαν τὸν πύργον
εἰς τὴν χώραν τῆς Ἀσσυρίας. Ἦσαν ὅλοι ὁμόγλωσσοι,

*καὶ βούλοντ' ἀναβῆναι εἰς οὐρανὸν ἀστερόεντα.*
*Αὐτίκα δ' ἀθάνατος μεγάλην ἐπέθηκεν ἀνάγκην*
*πνεύμασιν· αὐτὰρ ἔπειτ' ἄνεμοι μέγαν ὑψόθι πύργον*
*ῥίψαν καὶ θνητοῖσιν ἐπ' ἀλλήλοις ἔριν ὦρσαν.*
*Αὐτὰρ ἐπεὶ πύργος τ' ἔπεσεν, γλῶσσαί τ' ἀνθρώπων*
*εἰς πολλὰς θνητῶν ἐμερίσθησαν διαλέκτους»,*

*καὶ τὰ ἑξῆς.*

*Ταῦτα μὲν οὖν ἐγενήθη ἐν γῇ Χαλδαίων. Ἐν δὲ τῇ γῇ Χαναὰν ἐγένετο πόλις, ᾗ ὄνομα Χαρράν. Κατ' ἐκείνους δὲ τοὺς χρόνους πρῶτος βασιλεὺς Αἰγύπτου ἐγένετο Φαραώ, ὃς καὶ Νεχαὼθ κατὰ Αἰγυπτίους ὠνομάσθη· καὶ οὕτως οἱ καθεξῆς βασιλεῖς ἐγένοντο. Ἐν δὲ τῇ γῇ Σενναὰρ ἐν τοῖς καλουμένοις Χαλδαίοις πρῶτος βασιλεὺς ἐγένετο Ἀριὼχ· μετὰ δὲ τοῦτον ἕτερος Ἐλλάσαρ, καὶ μετὰ τοῦτον Χοδολλαγόμορ βασιλεὺς Αἰλάμ, καὶ μετὰ τοῦτον Θαργὰλ βασιλεὺς ἐθνῶν τῶν καλουμένων Ἀσσυρίων. Ἄλλαι δὲ πόλεις ἐγένοντο πέντε ἐν τῇ μερίδι τοῦ Χὰμ υἱοῦ Νῶε· πρώτη ἡ καλουμένη Σόδομα, ἔπειτα Γόμορρα, Ἀδάμα καὶ Σεβωεὶν καὶ Βαλάκ, ἡ καὶ Σηγὼρ ἐπικληθεῖσα. Καὶ τὰ ὀνόματα τῶν βασιλέων αὐτῶν ἐστιν ταῦτα· Βαλλὰς βασιλεὺς Σοδόμων, Βαρσὰς βασιλεὺς Γομόρρας, Σενναὰρ βασιλεὺς Ἀδάμας, Ὑμοὸρ βασιλεὺς Σεβωείν, Βαλὰχ βασιλεὺς Σηγὼρ, τῆς καὶ Βαλὰκ κεκλημένης.*

*Οὗτοι ἐδούλευσαν τῷ Χοδολλαγόμορ βασιλεῖ τῶν Ἀσσυρίων ἕως ἐτῶν δύο καὶ δέκα. Ἐν δὲ τῷ τρισκαιδεκάτῳ ἔτει ἀπὸ τοῦ Χοδολλαγόμορ ἀπέστησαν. Καὶ οὕτως ἐγένετο τότε τοὺς τέσσαρας βασιλεῖς τῶν Ἀσσυρίων συνάψαι πόλεμον πρὸς τοὺς πέντε βασιλεῖς. Αὕτη ἀρχὴ ἐγένετο πρώτη τοῦ γενέσθαι πολέμους ἐπὶ τῆς γῆς. Καὶ κατέκοψαν τοὺς γίγαντας Καραναείν, καὶ*

---

85. *Σιβυλλικοὶ χρησμοὶ* 3,97–105.

86. Δηλαδὴ καὶ οἱ ἑπόμενοι βασιλεῖς ἔφερον τὸ ὄνομα Φαραώ, τὸ ὁποῖον

καὶ ἤθελον νὰ ἀναβοῦν εἰς τὸν ἔναστρον οὐρανόν.
Ἀμέσως ὁ ἀθάνατος ἔβαλε μεγάλην πίεσιν
εἰς τοὺς ἀνέμους· ἔπειτα οἱ ἄνεμοι τὸν πανύψηλον πύργον
ἔρριψαν καὶ ἔσπειραν διχόνοιαν εἰς τοὺς θνητούς.
Ἀλλ' ὅταν ὁ πύργος ἔπεσε καὶ αἱ γλῶσσαι τῶν ἀνθρώπων ἐμερίσθησαν εἰς πολλὰς διαλέκτους θνητῶν»[85]»,

καὶ τὰ ἑπόμενα.

Ταῦτα λοιπὸν ἔγιναν εἰς τὴν χώραν τῶν Χαλδαίων. Εἰς δὲ τὴν χώραν τῆς Χαναὰν ὑπῆρξε πόλις ὀνομαζομένη Χαρράν. Κατ' ἐκείνους τοὺς χρόνους πρῶτος βασιλεὺς τῆς Αἰγύπτου ἔγινεν ὁ Φαραώ, ὁ ὁποῖος ἀπὸ τοὺς Αἰγυπτίους ὠνομάζετο Νεχαώθ· τὸ ἴδιον συνέβη μὲ τοὺς ἑπομένους βασιλεῖς[86]. Εἰς δὲ τὴν περιοχὴν Σενναάρ, εἰς τοὺς καλουμένους Χαλδαίους, πρῶτος βασιλεὺς ἀνεδείχθη ὁ Ἀριώχ· μετ' αὐτὸν δὲ ἄλλος, ὁ Ἐλλάσαρ, καὶ μετ' αὐτόν ὁ Χοδολλαγόμορ, βασιλεὺς τοῦ Αἰλάμ, καὶ μετ' αὐτὸν ὁ Θαργάλ, βασιλεὺς τῶν ἐθνῶν τῶν καλουμένων Ἀσσυρίων. Πέντε δὲ ἄλλαι πόλεις ὑπῆρξαν εἰς τὴν περιοχὴν τοῦ Χὰμ υἱοῦ τοῦ Νῶε· πρώτη ἡ καλουμένη Σόδομα, ἔπειτα ἡ Γόμορρα, ἡ Ἀδάμα, ἡ Σεβωεὶν καὶ ἢ Βαλάκ, ἡ ἐπονομασθεῖσα καὶ Σηγώρ· βασιλεὺς δὲ τῶν Σοδόμων ὁ Βαλλάς, βασιλεὺς τῆς Γομόρρας ὁ Βαρσάς, βασιλεὺς τῆς Σενναὰρ ὁ Ἀδάμας, βασιλεὺς τῆς Σεβωεὶν ὁ Ὑμοόρ, βασιλεὺς τῆς Σηγὼρ ὁ Βαλάχ, τῆς ὀνομαζομένης καὶ Βαλάκ.

Οὗτοι διετέλεσαν ὑπήκοοι εἰς τὸν βασιλέα τῶν Ἀσσυρίων Χοδολλαγόμορ μέχρι δώδεκα ἐτῶν. Κατὰ δὲ τὸ δέκατον τρίτον ἔτος ἀπεστάτησαν ἀπὸ τὸν Χοδολλαγόμορ. Οὕτω συνέβη τότε οἱ τέσσαρες βασιλεῖς τῶν Ἀσσυρίων νὰ συνάψουν πόλεμον πρὸς τοὺς πέντε βασιλεῖς. Αὐτὴ ἦτο ἡ πρώτη περίπτωσις τῆς διεξαγωγῆς πολέμου ἐπὶ τῆς γῆς. Καὶ κατενίκησαν τοὺς γίγαντας Καραναεὶν καὶ ἰσχυρὰ ἔθνη μετ' αὐτῶν καὶ τοὺς Ὀμ-

ἦτο τίτλος (=βασιλεύς). Ὁ Θεόφιλος φρονεῖ ὅτι Φαραὼ ἦτο ἀρχικῶς τὸ ὄνομα τοῦ πρώτου βασιλέως.

*ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς, καὶ τοὺς Ὀμμαίους ἐν αὐτῇ τῇ πόλει, καὶ τοὺς Χορραίους τοὺς ἐν τοῖς ὄρεσιν ἐπονομαζομένοις Σηεὶρ ἕως τῆς καλουμένης Τερεβίνθου τῆς Φαράν, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ.*

*Κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἐγένετο βασιλεὺς δίκαιος ὀνόματι Μελχισεδὲκ ἐν πόλει Σαλήμ, τῇ νῦν καλουμένῃ Ἱεροσόλυμα· οὗτος ἱερεὺς ἐγένετο πρῶτος πάντων ἱερέων τοῦ Θεοῦ τοῦ ὑψίστου. Ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη Ἱερουσαλήμ, ἡ προειρημένη Ἱεροσόλυμα· ἀπὸ τούτου εὑρέθησαν καὶ ἱερεῖς γινόμενοι ἐπὶ πᾶσαν τὴν γῆν. Μετὰ δὲ τοῦτον ἐβασίλευσεν Ἀβιμέλεχ ἐν Γεράροις· μετὰ δὲ τοῦτον ἕτερος Ἀβιμέλεχ· ἔπειτα ἐβασίλευσεν Ἐφρὼν ὁ καὶ Χετταῖος ἐπικληθείς.*

*Τὰ μὲν οὖν περὶ τῶν πρότερον γεγενημένων βασιλέων οὕτω τὰ ὀνόματα περιέχει· τῶν δὲ κατὰ Ἀσσυρίους πολλῶν ἐτῶν μεταξὺ οἱ λοιποὶ βασιλεῖς παρεσιγήθησαν τοῦ ἀναγραφῆναι· πάντων ἔσχατοι τῶν καθ' ἡμᾶς χρόνων ἀπομνημονεύονται γεγονότες βασιλεῖς τῶν Ἀσσυρίων Θεγλαφάσαρ, μετὰ δὲ τοῦτον Σελαμανάσαρ, εἶτα Σενναχαρείμ. Τοῦ δὲ τρίαρχος ἐγένετο Ἀδραμέλεχ Αἰθίοψ, ὃς καὶ Αἰγύπτου ἐβασίλευσεν· καίπερ ταῦτα, ὡς πρὸς τὰ ἡμέτερα γράμματα, πάνυ νεώτερά ἐστιν.*

32 *Ἐντεῦθεν οὖν κατανοεῖν τὰς ἱστορίας ἔστιν τοῖς φιλομαθέσιν καὶ φιλαρχαίοις, ὅπου πρόσφατά ἐστιν τὰ ὑφ' ἡμῶν λεγόμενα διὰ τῶν ἁγίων προφητῶν.*

*Ὀλίγων γὰρ ὄντων ἐν πρώτοις τῶν τότε ἀνθρώπων ἐν τῇ Ἀραβικῇ γῇ καὶ Χαλδαϊκῇ, μετὰ τὸ διαμερισθῆναι τὰς γλώσσας αὐτῶν πρὸς μέρος ἤρξαντο πολλοὶ γίνεσθαι καὶ πληθύνεσθαι ἐπὶ πάσης τῆς γῆς. Καὶ οἱ μὲν ἔκλιναν οἰκεῖν πρὸς ἀνατολάς, οἱ δὲ ἐπὶ τὰ μέρη τὰ τῆς μεγάλης ἠπείρου καὶ τὰ πρὸς βόρειον, ὥστε*

12 ὁ καὶ *X* καὶ ὁ *MB* 13 τῶν *X* τούτων *MB*

16 πάντων ἔσχατοι τῶν καθ' ἡμᾶς χρόνων ἀπομνημονεύονται *X* πάντων ἐσχάτων καθ' ἡμᾶς χρόνων ἀπομνημονευόντων *MB* πάντων ἔσχατον καθ' ἡμᾶς χρόνων ἀπομνημονεύονται *Maran*

μαίους εἰς τὴν πόλιν ταύτην καὶ τοὺς Χορραίους τῶν ὀρέων τῶν ὀνομαζομένων Σηεὶρ μέχρι τῆς πόλεως τῆς καλουμένης Τερεβίνθου τῆς Φαράν, ἡ ὁποία εὑρίσκεται εἰς τὴν ἔρημον[87].

Κατὰ τὸν ἴδιον δὲ καιρὸν ἀνεδείχθη βασιλεὺς δίκαιος ὀνομαζόμενος Μελχισεδὲκ εἰς τὴν πόλιν Σαλήμ, καλουμένην τώρα Ἱεροσόλυμα[88]· οὗτος ὑπῆρξεν ὁ πρῶτος ἀπὸ ὅλους τοὺς ἱερεῖς τοῦ Θεοῦ τοῦ ὑψίστου. Ἀπὸ αὐτοῦ ἡ πόλις ὠνομάσθη Ἱερουσαλήμ, ἡ προαναφερθεῖσα Ἱεροσόλυμα· ἀπὸ αὐτοῦ εὑρέθησαν ἱερεῖς ἐγκατεστημένοι εἰς ὅλην τὴν γῆν. Μετὰ δὲ τοῦτον ἐβασίλευσεν ὁ Ἀβιμέλεχ εἰς τὰ Γέραρα[89]· μετὰ δὲ τοῦτον ἄλλος Ἀβιμέλεχ[90] καὶ ἔπειτα ἐβασίλευσεν ὁ Ἐφρών, ὁ ἐπικληθεὶς Χετταῖος.

Αὐτὸς λοιπὸν εἶναι ὁ κατάλογος τῶν ὀνομάτων τῶν βασιλέων οἱ ὁποῖοι ἀνεδείχθησαν πρῶτοι. Τῶν λοιπῶν βασιλέων τῶν Ἀσσυρίων, οἱ ὁποῖοι ἐκυβέρνησαν ἐπὶ πολλὰ ἔτη ἐν τῷ μεταξὺ τὰ ὀνόματα παρελείφθησαν ἀπὸ τὴν ἀναγραφήν. Τελευταῖοι ὅλων πρὸς τοὺς χρόνους ἡμῶν βασιλεῖς τῶν Ἀσσυρίων μνημονεύονται ὁ Θεγλαφάσαρ, μετ' αὐτὸν δὲ ὁ Σελαμανάσαρ, ἔπειτα ὁ Σενναχαρείμ. Οὗτος δὲ εἶχεν ὡς τρίαρχον τὸν αἰθίοπα Ἀδραμέλεχ, ὁ ὁποῖος ἐβασίλευσε τῆς Αἰγύπτου. Ἀλλὰ ταῦτα ἐν σχέσει μὲ τὰ ἰδικά μας συγγράμματα εἶναι πολὺ νεώτερα.

32 Ἀπὸ ἐδῶ εἶναι δυνατὸν νὰ κατανοήσουν τὴν ἱστορίαν οἱ φιλομαθεῖς καὶ φιλάρχαιοι, καθ' ὅσον τὰ λεγόμενα ἀπὸ ἡμᾶς χωρὶς ἀναφορὰν εἰς τοὺς ἁγίους προφήτας, εἶναι πρόσφατα.

Ἐνῶ κατ' ἀρχὰς ἦσαν ὀλίγοι οἱ ἄνθρωποι οἱ ὁποῖοι ἔζων τότε εἰς τὴν Ἀραβίαν καὶ τὴν Χαλδαίαν, μετὰ τὸν διαμερισμὸν τῶν γλωσσῶν αὐτῶν ἤρχισαν νὰ γίνωνται πολλοὶ κατὰ περιοχὰς καὶ νὰ πληθύνωνται εἰς ὁλόκληρον τὴν γῆν. Καὶ μετεκινήθησαν διὰ νὰ ἐγκατασταθοῦν ἄλλοι μὲν πρὸς ἀνατολάς, ἄλλοι

---

87. Γεν. 14,1 ἑ.
88. Βλ. Γεν. 14,18 ἑ.
89. Γεν. 20,2.
90. Γεν. 26,1.

*διατείνειν μέχρι τῶν Βριττανῶν ἐν τοῖς ἀρκτικοῖς κλίμασιν, ἕτεροι δὲ γῆν Χαναναίαν, καὶ Ἰουδαίαν καὶ Φοινίκην ἐπικληθεῖσαν, καὶ τὰ μέρη τῆς Αἰθιοπίας καὶ Αἰγύπτου καὶ Λιβύης καὶ τὴν καλουμένην διακεκαυμένην καὶ τὰ μέχρι δυσμῶν κλίματα παρατείνοντα, οἱ δὲ λοιποὶ τὰ ἀπὸ τῆς παραλίου καὶ τῆς Παμφυλίας καὶ τὴν Ἀσίαν καὶ τὴν Ἑλλάδα καὶ τὴν Μακεδονίαν καὶ τὸ λοιπὸν τὴν Ἰταλίαν καὶ τὰς καλουμένας Γαλλίας καὶ Σπανίας καὶ Γερμανίας, ὥστε οὕτω τὰ νῦν ἐμπεπλῆσθαι τὴν σύμπασαν τῶν κατοικούντων αὐτήν.*

*Τριμεροῦς οὖν γεγενημένης τῆς κατοικήσεως τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς κατ' ἀρχάς, ἔν τε ἀνατολῇ καὶ μεσημβρίᾳ καὶ δύσει, μετέπειτα καὶ τὰ λοιπὰ μέρη κατῳκήθη τῆς γῆς, χυδαίων τῶν ἀνθρώπων γενομένων. Ταῦτα δὲ μὴ ἐπιστάμενοι οἱ συγγραφεῖς βούλονται τὸν κόσμον σφαιροειδῆ λέγειν καὶ ὡσπερεὶ κύβῳ συγκρίνειν αὐτόν. Πῶς δὲ δύνανται ταῦτα ἀληθῆ φάσκειν, μὴ ἐπιστάμενοι τὴν ποίησιν τοῦ κόσμου μήτε τὴν κατοίκησιν αὐτοῦ;*

*Πρὸς μέρος αὐξανομένων τῶν ἀνθρώπων καὶ πληθυνομένων ἐπὶ τῆς γῆς, ὡς προειρήκαμεν, οὕτω κατῳκήθησαν καὶ αἱ νῆσοι τῆς θαλάσσης καὶ τὰ λοιπὰ κλίματα.*

33 *Τίς οὖν πρὸς ταῦτα ἴσχυσε τῶν καλουμένων σοφῶν καὶ ποιητῶν καὶ ἱστοριογράφων τὸ ἀληθὲς εἰπεῖν, πολὺ μεταγενεστέρων αὐτῶν γεγενημένων καὶ πληθὺν θεῶν εἰσαγαγόντων, οἵτινες μετὰ τοσαῦτα ἔτη αὐτοὶ ἐγεννήθησαν τῶν πόλεων, ἔσχατοι καὶ τῶν βασιλέων καὶ ἐθνῶν καὶ πολέμων; Ἐχρῆν γὰρ αὐτοὺς μεμνῆσθαι πάντων καὶ τῶν πρὸ κατακλυσμοῦ γεγονότων, περί τε κτίσεως κόσμου καὶ ποιήσεως ἀνθρώπου, τά τε ἑξῆς συμβάντα*

---

91. Ἡ περιγραφὴ τῆς ἐπεκτάσεως τοῦ ἀνθρωπίνου γένους, εἰς τὰς ἀναφερομένας περιοχὰς αἱ ὁποῖαι περιλαμβάνουν ὁλόκληρον τὸν τότε κόσμον, γίνεται ὄχι ἐπὶ τῇ βάσει γραπτῶν πηγῶν, ἀλλὰ κατὰ συμπερασμὸν εἰς τὸν ὁποῖον ὑπῆρχε γενικὴ συμφωνία.

δὲ εἰς τὰ μέρη τῆς μεγάλης ἠπείρου καὶ τὰ πρὸς βορρᾶν, ὥστε νὰ ἐπεκταθοῦν μέχρι τῶν Βρεττανῶν εἰς τὰ ἀρκτικὰ κλίματα, ἄλλοι δὲ εἰς τὴν Χαναναίαν, ὀνομασθεῖσαν ἐπίσης Ἰουδαίαν καὶ Φοινίκην, καὶ τὰ μέρη τῆς Αἰθιοπίας καὶ Αἰγύπτου καὶ Λιβύης, εἰς τὴν καλουμένην διακεκαυμένην ζώνην, καὶ εἰς τὰ κλίματα τὰ ὁποῖα ἐκτείνονται μέχρι τῆς δύσεως, οἱ δὲ λοιποὶ εἰς τὰς περιοχὰς αἱ ὁποῖαι ἐκκινοῦν ἀπὸ τὴν παραλίαν καὶ φθάνουν εἰς τὴν Μ. Ἀσίαν, τὴν Ἑλλάδα, τὴν Μακεδονίαν, τέλος εἰς τὴν Ἰταλίαν καὶ τὰς λεγομένας Γαλλίας, Σπανίας καὶ Γερμανίας, ὥστε οὕτω τώρα ὁλόκληρος ἡ γῆ ἐγέμισεν ἀπὸ κατοίκους[91].

Οὕτω, ἐνῶ κατ' ἀρχὰς ἡ κατοίκησις τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς ἦτο τριμερής, εἰς τὴν ἀνατολήν, τὸν νότον καὶ τὴν δύσιν, ἔπειτα καὶ τὰ λοιπὰ μέρη τῆς γῆς κατῳκήθησαν, ἀφοῦ οἱ ἄνθρωποι ἐξεχύθησαν κατὰ κύματα. Μὴ γνωρίζοντες ταῦτα οἱ συγγραφεῖς θέλουν νὰ χαρακτηρίσουν τὸν κόσμον ὡς σφαιροειδῆ καὶ νὰ τὸν συγκρίνουν μὲ κύβον[92]. Πῶς δὲ δύνανται νὰ ἀληθεύσουν εἰς τὰς ὑποθέσεις των ταύτας, ἐνῶ δὲν γνωρίζουν τὴν ποίησιν τοῦ κόσμου οὔτε τὴν κατοίκησιν αὐτοῦ;

Καθὼς ηὐξάνοντο κατὰ τόπους οἱ ἄνθρωποι καὶ ἐπληθύνοντο ἐπὶ τῆς γῆς, ὅπως εἴπομεν προηγουμένως, οὕτω κατῳκήθησαν καὶ αἱ νῆσοι τῆς θαλάσσης καὶ τὰ λοιπὰ κλίματα.

33 Ποῖος ἀπὸ τοὺς καλουμένους σοφοὺς καὶ ποιητὰς καὶ ἱστοριογράφους κατώρθωσε νὰ εἴπῃ τὴν ἀλήθειαν ἐπὶ τῶν θεμάτων τούτων, ἀφοῦ ὑπῆρξαν πολὺ μεταγενέστεροι αὐτῶν καὶ εἰσήγαγον πλῆθος θεῶν, ἀφοῦ ἔζησαν τόσα ἔτη μετὰ τὰς πόλεις, μετὰ τοὺς βασιλεῖς καὶ τὰ ἔθνη καὶ τοὺς πολέμους; Πράγματι οὗτοι ἔπρεπε νὰ ἐνθυμοῦνται ὅλα τὰ γεγονότα καὶ πρὸ τοῦ κατακλυσμοῦ, περὶ τῆς κτίσεως τοῦ κόσμου καὶ τῆς πλάσε-

92. Αὐστηρὸς βιβλικιστὴς ὁ Θεόφιλος, θεωρεῖ ἄνευ ἀξίας τὰς ἐπιστημονικὰς προσπαθείας κοσμογραφικῆς φύσεως. Ὅτι ὁ κόσμος εἶναι σφαιρικὸς ἐδίδαξαν πρῶτοι οἱ πυθαγόρειοι καὶ ἴσως αὐτὸς οὗτος ὁ Πυθαγόρας, ἔπειτα ὁ Παρμενίδης καὶ οἱ Ἐλεᾶται. Βλ. σχετικῶς ΠΛΑΤΩΝΟΣ, *Φαῖδρον* 1082. Ὅτι εἶναι κῦβος ἐδίδαξεν ὁ Ἀναξιμένης.

*ἀκριβῶς ἐξειπεῖν τοὺς παρ' Αἰγυπτίοις προφήτας ἢ Χαλδαίους τούς τε ἄλλους συγγραφεῖς, εἴπερ θείῳ καὶ καθαρῷ πνεύματι ἐλάλησαν καὶ τὰ δι' αὐτῶν ρηθέντα ἀληθῆ ἀνήγγειλαν· καὶ οὐ μόνον τὰ προγενόμενα ἢ ἐνεστῶτα ἀλλὰ καὶ τὰ ἐπερχόμενα τῷ κόσμῳ ἐχρῆν αὐτοὺς προκαταγγεῖλαι. Διὸ δείκνυται πάντας τοὺς λοιποὺς πεπλανῆσθαι, μόνους δὲ Χριστιανοὺς τὴν ἀλήθειαν κεχωρηκέναι, οἵτινες ὑπὸ Πνεύματος ἁγίου διδασκόμεθα, τοῦ λαλήσαντος ἐν τοῖς ἁγίοις προφήταις καὶ τὰ πάντα προκαταγγείλαντος.*

*34* *Καὶ τὸ λοιπὸν ἔστω σοι φιλοπόνως ἐρευνᾶν τὰ τοῦ Θεοῦ, λέγω δὲ τὰ διὰ τῶν προφητῶν ρηθέντα, ὅπως συγκρίνας τά τε ὑπὸ ἡμῶν λεγόμενα καὶ τὰ ὑπὸ τῶν λοιπῶν δυνήσῃ εὑρεῖν τὸ ἀληθές. Τὰ μὲν οὖν ὀνόματα τῶν καλουμένων θεῶν ὅτι παρ' αὐτοῖς ὀνόματα ἀνθρώπων εὑρίσκεται, καθὼς ἐν τοῖς ἐπάνω ἐδηλώσαμεν, ἐξ αὐτῶν τῶν ἱστοριῶν ὧν συνέγραψαν ἀπεδείξαμεν. Αἱ δὲ εἰκόνες αὐτῶν τὸ καθ' ἡμέραν ἕως τοῦ δεῦρο ἐκτυποῦνται, εἴδωλα, «ἔργα χειρῶν ἀνθρώπων». Καὶ τούτοις μὲν λατρεύει τὸ πλῆθος τῶν ματαίων ἀνθρώπων, τὸν δὲ ποιητὴν καὶ δημιουργὸν τῶν ὅλων καὶ τροφέα πάσης πνοῆς ἀθετοῦσιν, πειθόμενοι δόγμασιν ματαίοις διὰ πλάνης πατροπαραδότου γνώμης ἀσυνέτου.*

*Ὁ μέντοι γε Θεὸς καὶ Πατὴρ καὶ κτίστης τῶν ὅλων οὐκ ἐγκατέλιπεν τὴν ἀνθρωπότητα, ἀλλὰ ἔδωκε νόμον καὶ ἔπεμψε προφήτας ἁγίους πρὸς τὸ καταγγεῖλαι καὶ διδάξαι τὸ γένος τῶν ἀνθρώπων, εἰς τὸ ἕνα ἕκαστον ἡμῶν ἀνανῆψαι καὶ ἐπιγνῶναι ὅτι εἷς ἐστιν Θεός· οἳ καὶ ἐδίδαξαν ἀπέχεσθαι ἀπὸ τῆς ἀθεμίτου εἰδωλολατρίας καὶ μοιχείας καὶ φόνου, πορνείας, κλοπῆς, φιλαργυρίας, ὅρκου ψευδοῦς, ὀργῆς καὶ πάσης ἀσελγείας καὶ ἀκαθαρσίας, καὶ πάντα ὅσα ἂν μὴ βούληται ἄνθρωπος ἑαυτῷ γίνεσθαι*

---

93. Βλ. ΚΛΗΜΕΝΤΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ, *Στρωματεῖς* 1,15,71 «παρέστησαν δι' αὐτῆς Αἰγυπτίων οἱ προφῆται καὶ Ἀσσυρίων οἱ Χαλδαῖοι». Χαλδαῖοι, ἐδῶ εἶναι οἱ μάγοι.

ως τοῦ ἀνθρώπου, νὰ διηγηθοῦν μὲ ἀκρίβειαν τὰ ἐν συνεχείᾳ συμβάντα οἱ προφῆται τῶν Αἰγυπτίων ἢ οἱ Χαλδαῖοι[93] καὶ οἱ ἄλλοι συγγραφεῖς, ἐὰν ἐλάλησαν μὲ θεῖον καὶ καθαρὸν πνεῦμα καὶ ἐὰν οἱ λόγοι των ἀνήγγειλαν τὴν ἀλήθειαν· καὶ ὄχι μόνον τὰ παρελθόντα καὶ παρόντα, ἀλλὰ καὶ τὰ μέλλοντα ἔπρεπε νὰ προαναγγείλουν. Ἀπὸ αὐτὰ ἀποδεικνύεται ὅτι ὅλοι οἱ ἄλλοι ἔχουν πλανηθῆ, μόνον δὲ οἱ Χριστιανοὶ κατέχουν τὴν ἀλήθειαν, οἱ ὁποῖοι διδασκόμεθα ὑπὸ τοῦ ἁγίου Πνεύματος, τὸ ὁποῖον ἐλάλησεν εἰς τοὺς ἁγίους προφήτας καὶ προανήγγειλε τὰ πάντα.

34 Λοιπὸν πρέπει νὰ ἐρευνᾶς φιλοπόνως τὰς θείας ἀληθείας, δηλαδὴ τὰ λεχθέντα διὰ τῶν προφητῶν, οὕτως ὥστε, συγκρίνων τὰ λεγόμενα ἀπὸ ἡμᾶς μὲ τὰ λεγόμενα ἀπὸ τοὺς ἄλλους, νὰ δυνηθῇς νὰ εὕρῃς τὴν ἀλήθειαν. Ὅτι λοιπὸν τὰ ὀνόματα τῶν καλουμένων ἀπὸ αὐτοὺς θεῶν εἶναι ὀνόματα ἀνθρώπων, ὅπως ἐδηλώσαμεν ἀνωτέρω, ἀπεδείξαμεν ἀπὸ τὰς ἱστορίας τὰς ὁποίας αὐτοὶ συνέγραψαν[94]. Αἱ δὲ εἰκόνες αὐτῶν, αἱ ὁποῖαι ἐκτυπώνονται ἕως σήμερον, εἶναι εἴδωλα, «ἔργα χειρῶν ἀνθρώπων»[95]. Καὶ τούτους μὲν λατρεύει τὸ πλῆθος τῶν ματαίων ἀνθρώπων, τὸν δὲ ποιητὴν καὶ δημιουργὸν τῶν ὅλων καὶ τροφέα πάσης πνοῆς ἀθετοῦν, πειθόμενοι εἰς μάταια δόγματα διὰ πλάνης καὶ ἀσυνέτου γνώμης ἡ ὁποία μεταβιβάζεται πατροπαραδότως.

Βεβαίως ὁ Θεὸς καὶ πατὴρ καὶ κτίστης τῶν ὅλων δὲν ἐγκατέλειψε τὴν ἀνθρωπότητα, ἀλλ' ἔδωσε νόμον καὶ ἔπεμψε προφήτας ἁγίους νὰ ἀναγγείλουν καὶ διδάξουν τὸ γένος τῶν ἀνθρώπων, ὥστε ἕκαστος ἀπὸ ἡμᾶς νὰ ἀνανήψῃ καὶ ἐπιγνώσῃ ὅτι εἷς εἶναι ὁ Θεός. Οὗτοι ἐδίδαξαν νὰ ἀπέχωμεν ἀπὸ τὴν ἀθέμιτον εἰδωλολατρίαν καὶ μοιχείαν καὶ φόνον, πορνείαν, κλοπήν, φιλαργυρίαν, ψευδορκίαν, ὀργήν, πᾶσαν ἀσέλγειαν καὶ ἀκαθαρσίαν, καὶ ἀπὸ ὅλα ὅσα, ἂν δὲν θέλῃ ὁ ἄνθρωπος νὰ ὑφίσταται ὁ

---

94. Βλ. ἀνωτέρω 2,1.
95. Ψαλμ. 134,15.

ἵνα μηδὲ ἄλλῳ ποιῇ, καὶ οὕτως ὁ δικαιοπραγῶν ἐκφύγῃ τὰς αἰωνίους κολάσεις καὶ καταξιωθῇ τῆς αἰωνίου ζωῆς παρὰ τοῦ Θεοῦ.

Ὁ μὲν οὖν θεῖος νόμος οὐ μόνον κωλύει τὸ εἰδώλοις προσκυνεῖν, ἀλλὰ καὶ τοῖς στοιχείοις, ἡλίῳ, σελήνῃ ἢ τοῖς λοιποῖς ἄστροις, ἀλλ' οὔτε τῷ οὐρανῷ οὔτε γῇ οὔτε θαλάσσῃ ἢ πηγαῖς ἢ ποταμοῖς θρησκεύειν· ἀλλ' ἢ μόνῳ τῷ ὄντως Θεῷ καὶ ποιητῇ τῶν ὅλων χρὴ λατρεύειν ἐν ὁσιότητι καρδίας καὶ εἰλικρινεῖ γνώμῃ. Διό φησιν ὁ ἅγιος νόμος· «οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου».

Ὁμοίως καὶ οἱ προφῆται. Σολομῶν μὲν οὖν καὶ τὸ διὰ νεύματος μὴ ἁμαρτάνειν διδάσκει ἡμᾶς, λέγων· «οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια». Καὶ Μωϋσῆς δὲ καὶ αὐτὸς προφήτης περὶ μοναρχίας Θεοῦ λέγει· «οὗτος ὁ Θεὸς ὑμῶν ὁ στερεῶν τὸν οὐρανὸν καὶ κτίζων τὴν γῆν, οὗ αἱ χεῖρες κατέδειξαν πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, καὶ οὐ παρέδειξεν ὑμῖν αὐτὰ τοῦ ὀπίσω αὐτῶν πορεύεσθαι». Ἠσαΐας δὲ καὶ αὐτός φησιν· «οὕτω λέγει Κύριος ὁ Θεός, ὁ στερεώσας τὸν οὐρανὸν καὶ θεμελιώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν. Οὗτος Κύριος ὁ Θεὸς ἡμῶν». Καὶ πάλιν δι' αὐτοῦ· «ἐγώ», φησίν, «ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῇ, ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν». Καὶ ἐν ἑτέρῳ κεφαλαίῳ· «οὗτος ὁ Θεὸς ὑμῶν ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς· οὐ πεινάσει οὐδὲ κοπιάσει, οὐδέ ἐστιν ἐξεύρησις τῆς φρονήσεως αὐτοῦ». Ὁμοίως καὶ Ἱερεμίας· καί φησιν· «ὁ ποιήσας τὴν γῆν ἐπὶ τῇ ἰσχύϊ αὐτοῦ,

96. Βλ. Ματθ. 7,12.
97. Ἐξ. 20,13-17.
98. Παροιμ. 4,25.

ἴδιος, δὲν πρέπει νὰ πράττη οὔτε εἰς ἄλλον[96]. Οὕτω ὁ πράττων δίκαια θὰ ἐκφύγη τὰς αἰωνίους τιμωρίας καὶ θὰ καταξιωθῆ τῆς αἰωνίου ζωῆς παρὰ τοῦ Θεοῦ.

Ὁ μὲν θεῖος νόμος λοιπὸν ἐμποδίζει νὰ προσκυνοῦμεν ὄχι μόνον εἴδωλα, ἀλλὰ καὶ τὰ στοιχεῖα, τὸν ἥλιον, τὴν σελήνην ἢ τὰ λοιπὰ ἄστρα, καὶ ἐμποδίζει ἐπίσης νὰ λατρεύωμεν τὸν οὐρανὸν καὶ τὴν θάλασσαν ἢ τὰς πηγὰς ἢ τοὺς ποταμούς· πρέπει δὲ νὰ λατρεύωμεν μόνον τὸν ὄντως Θεὸν καὶ ποιητὴν τῶν ὅλων μὲ ὁσιότητα καρδίας καὶ εἰλικρινῆ γνώμην. Διά τοῦτο λέγει ὁ ἅγιος νόμος· «μὴ μοιχεύσης, μὴ φονεύσης, μὴ κλέψης, μὴ ψευδομαρτυρήσης, μὴ ἐπιθυμήσης τὴν γυναῖκα τοῦ πλησίον σου»[97].

Ὁμοίως καὶ οἱ προφῆται. Ὁ Σολομῶν μάλιστα διδάσκει ἡμᾶς νὰ μὴ ἁμαρτάνωμεν οὔτε διὰ νεύματος, λέγων· «οἱ ὀφθαλμοί σου ἄς βλέπουν ὀρθά, τὰ δὲ βλέφαρά σου ἄς βλέπουν δίκαια»[98]. Καὶ ὁ Μωϋσῆς δέ, προφήτης καὶ αὐτός, λέγει περὶ μοναρχίας Θεοῦ· «οὗτος εἶναι ὁ Θεός σας ὁ στερεώνων τὸν οὐρανὸν καὶ κτίζων τὴν γῆν, τοῦ ὁποίου αἱ χεῖρες κατέδειξαν ὅλην τὴν στρατιὰν τοῦ οὐρανοῦ καὶ δὲν σᾶς ἔδειξεν αὐτὰ διὰ νὰ βαδίζετε ὀπίσω ἀπὸ αὐτά»[99]. Ὁ δὲ Ἠσαΐας λέγει καὶ αὐτός· «οὕτω λέγει Κύριος ὁ Θεός, ὁ ὁποῖος ἐστερέωσε τὸν οὐρανὸν καὶ ἐθεμελίωσε τὴν γῆν καὶ ὅλα τὰ ἐν αὐτῇ, καὶ ἔδωσε πνοὴν εἰς τὸν ἐπ' αὐτῆς λαὸν καὶ πνεῦμα εἰς τοὺς πατοῦντας αὐτήν. Οὗτος εἶναι Κύριος ὁ Θεός σας»[1]. Καὶ πάλιν δι' αὐτοῦ· «ἐγώ», λέγει «ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ ἐστερέωσα μὲ τὴν χεῖρα μου τὸν οὐρανόν»[1α]. Καὶ εἰς ἄλλο κεφάλαιον· «οὗτος εἶναι ὁ Θεός σας, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς· δὲν θὰ πεινάση οὔτε θὰ κοπιάση, οὔτε θὰ ἐξιχνιασθῆ ἡ φρόνησις αὐτοῦ»[2]. Ὁμοίως καὶ ὁ Ἱερεμίας λέγει· «ὁ ποιήσας τὴν γῆν ἐπὶ τῆς δυνάμεως αὐτοῦ, ὁ ἀνορθώσας τὴν οἰκουμένην ἐπὶ τῆς σοφίας αὐ-

---

99 Γεν. 1,8. 2,1. Δευτ. 4,19. 17,3. Τὰ χωρία παρατίθενται ἀπὸ μνήμης, ὅπως συμβαίνει σχεδὸν πάντοτε εἰς τὸν Θεόφιλον, καὶ παρηλλαγμένα.

1. Ἠσ. 42,5.

1α. Ἠσ. 45,12.

2. Ἠσ. 40,28.

*ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ ἐν τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν καὶ πλῆθος ὕδατος ἐν οὐρανῷ, καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησε καὶ ἐξήγαγεν ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ».*

*Ὁρᾶν ἔστιν πῶς φίλα καὶ σύμφωνα ἐλάλησαν πάντες οἱ προφῆται, ἑνὶ καὶ τῷ αὐτῷ Πνεύματι ἐκφωνήσαντες περί τε μοναρχίας Θεοῦ καὶ τῆς τοῦ κόσμου γενέσεως καὶ τῆς ἀνθρώπου ποιήσεως. Οὐ μὴν ἀλλὰ καὶ ὤδιναν, πενθοῦντες τὸ ἄθεον γένος τῶν ἀνθρώπων, καὶ τοὺς δοκοῦντας εἶναι σοφοὺς διὰ τὴν ἐν αὐτοῖς πλάνην καὶ πώρωσιν τῆς καρδίας κατήσχυναν. Ὁ μὲν Ἱερεμίας ἔφη· «ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως αὐτοῦ, κατησχύνθη πᾶς χρυσοχόος ἀπὸ τῶν γλυπτῶν αὐτοῦ, εἰς μάτην ἀργυροκόπος ἀργυροκοπεῖ, οὐκ ἔστιν πνεῦμα ἐν αὐτοῖς, ἐν ἡμέρᾳ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται». Τὸ αὐτὸ καὶ ὁ Δαυὶδ λέγει· «ἐφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν αὐτῶν, οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν». Ὁμοίως καὶ Ἀββακούμ· «τί ὠφελεῖ γλυπτὸν ἄνθρωπον, ὅτι ἔγλυψεν αὐτὸ φαντασίαν ψευδῆ; Οὐαὶ τῷ λέγοντι τῷ λίθῳ 'ἐξεγέρθητι', καὶ τῷ ξύλῳ 'ὑψώθητι'».*

*Ὁμοίως εἶπον καὶ οἱ λοιποὶ τῆς ἀληθείας προφῆται. Καὶ τί μοι τὸ πλῆθος καταλέγειν τῶν προφητῶν, πολλῶν ὄντων καὶ μυρία φίλα καὶ σύμφωνα εἰρηκότων; Οἱ γὰρ βουλόμενοι δύνανται ἐντυχόντες τοῖς δι' αὐτῶν εἰρημένοις ἀκριβῶς γνῶναι τὸ ἀληθές, καὶ μὴ παράγεσθαι ὑπὸ διανοίας καὶ ματαιοπονίας. Οὗτοι οὖν οὓς προειρήκαμεν προφῆται ἐγένοντο ἐν Ἑβραίοις, ἀγράμματοι καὶ ποιμένες καὶ ἰδιῶται.*

---

3. Ἱερ. 10,12 ἑ.
4. Ἱερ. 10,14 ἑ. 51,16 ἑ.
5. Ψαλμ. 13,1–3.

τοῦ, ἥπλωσε μὲ τὴν φρόνησιν αὐτοῦ τὸν οὐρανὸν καὶ πλῆθος ὕδατος εἰς τὸν οὐρανόν, καὶ ἀνύψωσε νεφέλας ἕως τὰ ἔσχατα τῆς γῆς, μετέβαλεν ἀστραπὰς εἰς βροχὴν καὶ ἐξήγαγεν ἀνέμους ἀπὸ τὰς ἀποθήκας αὐτοῦ»[3].

Εἶναι δυνατὸν νὰ ἴδῃς πῶς ὅλοι οἱ προφῆται ἐλάλησαν ὁμόφωνα καὶ σύμφωνα, ὁμιλήσαντες μὲ ἓν καὶ τὸ αὐτὸ πνεῦμα περὶ μοναρχίας Θεοῦ καὶ γενέσεως τοῦ κόσμου καὶ τῆς ποιήσεως τοῦ ἀνθρώπου. Καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ ἐπόνεσαν, πενθοῦντες τὸ ἄθεον γένος τῶν ἀνθρώπων, καὶ κατήσχυναν τοὺς θεωρουμένους σοφοὺς διὰ τὴν πλάνην καὶ πώρωσιν τῆς καρδίας των. Ὁ μὲν Ἰερεμίας εἶπεν· «ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ τὴν γνῶσιν του, κατησχύνθη πᾶς χρυσοχόος ἀπὸ τὰ γλυπτά του, εἰς μάτην ὁ ἀρχυροκόπος ἀργυροκοπεῖ, δὲν ὑπάρχει πνεῦμα εἰς αὐτούς, κατὰ τὴν ἡμέραν τῆς ἐξετάσεώς των θὰ ἀπολεσθοῦν»[4]. Τὸ αὐτὸ λέγει καὶ ὁ Δαβὶδ· «διεφθάρησαν καὶ ἐβδελύχθησαν μὲ τὰ ἔργα των, δὲν ὑπάρχει ὁ πράττων χρηστά, δὲν ὑπάρχει οὔτε εἷς· ὅλοι ἐξέκλιναν, ὅλοι μαζὶ ἠχρειώθησαν»[5]. Ὁμοίως καὶ ὁ Ἀββακούμ· «τί ὠφελεῖ τὸν ἄνθρωπον τὸ ἄγαλμα, τὸ ὅτι τὸ ἔγλυψεν ὡς φαντασιοκοπίαν; Ἀλλοίμονον εἰς τὸν λέγοντα πρὸς τὸν λίθον 'σήκω' καὶ εἰς τὸ ξύλον 'ἀνορθώσου'»[6].

Ὁμοίως εἶπον καὶ οἱ λοιποὶ τῆς ἀληθείας προφῆται. Καὶ τί χρειάζεται νὰ ἀπαριθμῶ τὸ πλῆθος τῶν προφητῶν, οἱ ὁποῖοι εἶναι πολλοὶ καὶ εἶπον μυρία ὁμόφωνα καὶ σύμφωνα; Ἄλλωστε οἱ θέλοντες δύνανται μελετῶντες τοὺς λόγους των νὰ γνωρίσουν ἀκριβῶς τὴν ἀλήθειαν καὶ νὰ μὴ παρασύρωνται ὑπὸ ματαιοδόξου λογισμοῦ. Αὐτοὶ λοιπόν, τοὺς ὁποίους προαναφέραμεν, κατέστησαν προφῆται ματαξὺ τῶν Ἑβραίων, ἀγράμματοι, ποιμένες καὶ ἰδιῶται[7].

---

6. Ἀββακοὺμ 2,28.

7. Οἱ προφῆται δὲν ἦσαν τόσον ἀγράμματοι ὅσον τοὺς παρουσιάζει ὁ Θεόφιλος.

## *Η ΣΥΜΦΩΝΙΑ*
## *ΤΗΣ ΣΙΒΥΛΛΗΣ ΚΑΙ ΑΛΛΩΝ ΠΟΙΗΤΩΝ*

36 *Σίβυλλα δέν, ἐν Ἕλλησιν καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν γενομένη προφῆτις, ἐν ἀρχῇ τῆς προφητείας αὐτῆς ὀνειδίζει τὸ τῶν ἀνθρώπων γένος, λέγουσα.*

*«Ἄνθρωποι θνητοὶ καὶ σάρκινοι, οὐδὲν ἐόντες,*
*πῶς ταχέως ὑψοῦσθε, βίου τέλος οὐκ ἐσορῶντες;*
*Οὐ τρέμετ', οὐδὲ φοβεῖσθε Θεόν, τὸν ἐπίσκοπον ὑμῶν,*
*ιστον γνώστην, πανεπόπτην, μάρτυρα πάντων,*
*παντοτρόφον κτίστην, ὅστις γλυκὺ πνεῦμ' ἐν ἅπασι*
*κάτθετο, χἠγητῆρα βροτῶν πάντων ἐποίησεν;*
*Εἷς Θεός, ὃς μόνος ἄρχει, ὑπερμεγέθης, ἀγένητος,*
*παντοκράτωρ, ἀόρατος, ὁρῶν μόνος αὐτὸς ἅπαντα,*
*αὐτὸς δ' οὐ βλέπεται θνητῆς ὑπὸ σαρκὸς ἁπάσης.*
*Τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ*
*ὀφθαλμοῖσιν ἰδεῖν Θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ;*
*Ἀλλ' οὐδ' ἀκτίνων κατεναντίον ἠελίοιο*
*ἄνθρωποι στῆναι δυνατοί, θνητοὶ γεγαῶτες,*
*ἄνδρες ἐν ὀστήεσσι, φλέβες καὶ σάρκες ἐόντες.*
*Αὐτὸν τὸν μόνον ὄντα σέβεσθ' ἡγήτορα κόσμου,*

---

ϑ. Τὸ τεμάχιον τοῦτο ἀπαντᾶται μόνον εἰς τὸν Θεόφιλον.

## Η ΣΥΜΦΩΝΙΑ ΤΗΣ ΣΙΒΥΛΛΗΣ ΚΑΙ ΤΩΝ ΑΛΛΩΝ ΠΟΙΗΤΩΝ

36 Ἡ δὲ Σίβυλλα, ἡ προφῆτις ἡ ὁποία ἔζησε μεταξὺ τῶν Ἑλλήνων καὶ τῶν λοιπῶν ἐθνῶν, εἰς τὴν ἀρχὴν τῆς προφητείας αὐτῆς ὀνειδίζει τὸ γένος τῶν ἀνθρώπων, λέγουσα[8].

«Ἄνθρωποι θνητοὶ καὶ σάρκινοι, οἱ ὁποῖοι δὲν εἶσθε τίποτε,
πῶς ὑψώνεσθε ταχέως, χωρὶς νὰ παρατηρῆτε τὸ τέλος τοῦ βίου;
Δὲν τρέμετε οὔτε φοβεῖσθε τὸν Θεόν, τὸν παρατηρητήν σας,
τὸν ὕψιστον γνώστην, τὸν πανεπόπτην, τὸν μάρτυρα ὅλων,
τὸν παντοτρόφον κτίστην, ὁ ὁποῖος ἔθεσεν εἰς ὅλους γλυκὺ πνεῦμα,
καὶ τὸ ἔκαμεν ὁδηγὸν εἰς ὅλους;
Εἷς Θεὸς ὑπάρχει, ὁ μόνος ἄρχων, ὑπερμεγέθης, ἀγένητος,
παντοκράτωρ, ἀόρατος, μόνος αὐτὸς βλέπων τὰ πάντα,
αὐτὸς δὲ δὲν βλέπεται ὑπὸ οἱασδήποτε θνητῆς σαρκός.
Διότι ποία σὰρξ δύναται νὰ ἴδῃ μὲ ὀφθαλμοὺς
τὸν ἐπουράνιον καὶ ἀληθινόν, τὸν ἀθάνατον Θεόν, τὸν κατοικοῦντα τὸν οὐρανόν;
Οὔτε ἐμπρὸς εἰς τὰς ἀκτῖνας τοῦ ἡλίου
δὲν δύνανται νὰ σταθοῦν οἱ ἄνθρωποι, διότι ἐγεννήθησαν θνητοί,
ἄνδρες μὲ ὀστᾶ, φλέβας καὶ σάρκας.
Αὐτὸν νὰ σέβεσθε τὸν μόνον ἡγήτορα τοῦ κόσμου,

*ὃς μόνος εἰς αἰῶνα καὶ ἐξ αἰῶνος ἐτύχθη,*
*αὐτογενής, ἀγένητος, ἅπαντα κρατῶν διαπαντός,*
*πᾶσι βροτοῖσι νέμων τὸ κριτήριον ἐν φαΐ κοινῷ.*
*Τῆς κακοβουλοσύνης δὲ τὸν ἄξιον ἕξετε μισθόν,*
*ὅττι Θεὸν προλιπόντες ἀληθινὸν ἀέναόν τε*
*δοξάζειν, αὐτῷ τε θύειν ἱερὰς ἑκατόμβας,*
*δαίμοσι τὰς θυσίας ἐποιήσατε τοῖσιν ἐν ᾅδῃ.*
*Τύφῳ καὶ μανίῃ δὲ βαδίζετε, καὶ τρίβον ὀρθὴν*
*εὐθεῖαν προλιπόντες ἀπήλθετε, καὶ δι' ἀκανθῶν*
*καὶ σκολόπων ἐπλανᾶσθε. Βροτοὶ παύσασθε μάταιοι*
*ρεμβόμενοι σκοτίῃ καὶ ἀφεγγέϊ νυκτὶ μελαίνῃ,*
*καὶ λίπετε σκοτίην νυκτός, φωτὸς δὲ λάβεσθε.*
*Οὗτος ἰδοὺ πάντεσσι σαφὴς ἀπλάνητος ὑπάρχει.*
*Ἔλθετε, μὴ σκοτίην δὲ διώκετε καὶ γνόφον αἰεί·*
*«ἠελίου γλυκυδερκὲς ἰδοὺ φάος ἔξοχα λάμπει.*
*Γνῶτε δὲ κατθέμενοι σοφίην ἐν στήθεσιν ὑμῶν·*
*εἷς Θεός ἐστι, βροχάς, ἀνέμους, σεισμοὺς ἐπιπέμπων,*
*ἀστεροπάς, λιμούς, λοιμοὺς καὶ κήδεα λυγρὰ*
*καὶ νιφετούς, κρύσταλλα. Τί δὴ καθ' ἓν ἐξαγορεύω;*
*Οὐρανοῦ ἡγεῖται, γαίης κρατεῖ, αὐτὸς ὑπάρχει».*

*Καὶ πρὸς τοὺς γενητοὺς λεγομένους ἔφη·*

*«Εἰ δὲ γενητὸν ὅλως καὶ φθείρεται, οὐ δύνατ' ἀνδρὸς*

9. Καὶ τοῦτο τὸ τεμάχιον τῶν *Σιβυλλικῶν χρησμῶν* ὡς σύνολον ἀπαντᾶται μόνον εἰς τὸν Θεόφιλον, ἀλλὰ πολλοὶ στίχοι του παρατίθενται καὶ εἰς ἄλλα κείμενα. Βλ. καὶ *Σιβυλλικοὺς χρησμοὺς* 3,11–32.

ὁ ὁποῖος μόνος ὑπάρχει εἰς αἰῶνα καὶ ἐξ αἰῶνος,
αὐτογενής, ἀγένητος, κρατῶν τὰ πάντα διαπαντός,
ἀπονέμων εἰς ὅλους τοὺς θνητοὺς δικαιοσύνην εἰς ἄπλετον φῶς.
Θὰ ἀποκτήσετε δὲ τὸν ἄξιον μισθὸν τῆς κακοβουλίας,
διότι, παύσαντες νὰ δοξάζετε τὸν ἀληθινὸν καὶ αἰώνιον Θεόν,
καὶ νὰ θυσιάζετε εἰς αὐτὸν ἱερὰς ἑκατόμβας,
ἐκάματε τὰς θυσίας εἰς τοὺς δαίμονας τοῦ ἅδου.
Βαδίζετε δὲ μὲ ὑπεροψίαν καὶ μανίαν,
καὶ ἐγκαταλείψαντες τὴν ὀρθὴν καὶ εὐθεῖαν ὁδὸν ἀπεμακρύνθητε,
καὶ ἐπλανήθητε διὰ μέσου ἀκανθῶν καὶ ἐμποδίων.
Θνητοί, παύσατε νὰ περιπλανᾶσθε ματαίως εἰς τὸ σκότος
καὶ τὴν ἀφεγγῆ μαύρην νύκτα, ἐγκατελείψατε τὸ σκότος τῆς νυκτός, λάβετε φῶς.
Ἰδοὺ οὗτος εἶναι φανερὸς εἰς ὅλους καὶ ἀπλάνητος.
Ἔλθετε καὶ μὴ ἐπιδιώκετε πάντοτε τὸ σκότος καὶ τὸν γνόφον·
ἰδού, λάμπει ἐξόχως τὸ γλυκοφανὲς φῶς τοῦ ἡλίου.
Εἰσάγοντες σοφίαν εἰς τὰ στήθη σας, μάθετε,
ὅτι εἷς Θεὸς ὑπάρχει, ἀποστέλλων βροχάς, ἀνέμους, σεισμούς,
ἀστραπάς, λιμούς, λοιμοὺς καὶ ὀδυνηρὰς θλίψεις
καὶ χιόνας, παγετούς. Διατί νὰ τὰ μνημονεύω ὀνομαστί;
Ἡγεῖται τοῦ οὐρανοῦ, κυριαρχεῖ τῆς γῆς, αὐτὸς ὑπάρχει».

Καὶ διὰ τοὺς λεγομένους θεούς, τοὺς κτιστούς, λέγει[9].

«Ἐὰν τοῦτο εἶναι ἐντελῶς γενητὸν καὶ φθείρεται, δὲν εἶναι δυνατὸν

*ἐκ μηρῶν μήτρας τε Θεὸς τετυπωμένος εἶναι.*
*Ἀλλὰ Θεὸς μόνος εἷς πανυπέρτατος, ὃς πεποίηκεν*
*οὐρανὸν ἠέλιόν τε καὶ ἀστέρας ἠδὲ σελήνην,*
*καρποφόρον γαῖάν τε καὶ ὕδατος οἴδματα πόντου,*
*οὔρεα θ' ὑψήεντα καὶ ἀέναα χεύματα πηγῶν·*
*τῶν τ' ἐνύδρων πάλι γεννᾷ ἀνήριθμον πολὺ πλῆθος·*
*ἑρπετὰ δὲ γαίης κινούμενα ψυχοτροφεῖται,*
*ποικίλα τε πτηνῶν λιγυροθρόα, τραυλίζοντα,*
*ξουθά, λιγυπτερόφωνα, ταράσσοντ' ἀέρα ταρσοῖς·*
*ἐν δὲ νάπαις ὀρέων ἀγρίαν γένναν θέτο θηρῶν·*
*ἡμῖν τε κτήνη ὑπέταξεν πάντα βροτοῖσιν,*
*πάντων δ' ἡγητῆρα κατέστησεν θεότευκτον,*
*ἀνδρὶ δ' ὑπαίταξεν παμποίκιλα κοὐ καταληπτά.*
*Τίς γὰρ σὰρξ δύναται θνητῶν γνῶναι τάδ' ἅπαντα;*
*Ἀλλ' αὐτὸς μόνος οἶδεν ὁ ποιήσας τάδ' ἀπ' ἀρχῆς,*
*ἄφθαρτος κτίστης αἰώνιος, αἰθέρα ναίων,*
*τοῖς ἀγαθοῖς ἀγαθὸν προφέρων πολὺ πλείονα μισθόν,*
*τοῖς δὲ κακοῖς ἀδίκοις τε χόλον καὶ θυμὸν ἐγείρων,*
*καὶ πόλεμον καὶ λοιμὸν ἰδ' ἄλγεα δακρυόεντα.*
*Ἄνθρωποι, τί μάτην ὑψούμενοι ἐκριζοῦσθε;*
*Αἰσχύνθητε γαλᾶς καὶ κνώδαλα θειοποιοῦντες.*
*Οὐ μανίη καὶ λύσσα φρενῶν αἴσθησιν ἀφαιρεῖ,*

νὰ φαντασθῶμεν Θεὸν κατασκευασμένον ἀπὸ
μηρούς ἀνδρὸς καὶ μήτραν γυναικός.
Ἀλλὰ μόνον εἷς Θεὸς ὑπάρχει, πανυπέρτατος, ὁ
ὁποῖος ἔκαμε
τὸν οὐρανόν, τὸν ἥλιον, τοὺς ἀστέρας, τὴν σελήνην,
τὴν καρποφόρον γῆν, τὰ κύματα τῶν ὑδάτων τοῦ
πόντου,
τὰ ὑψηλὰ ὄρη καὶ τὰ ἀδιάκοπα ρεύματα τῶν πηγῶν·
γεννᾶ ἐπίσης τὸ ἀναρίθμητον μέγα πλῆθος τῶν ἐνύ-
δρων,
διατρέφει τὰ ἐπὶ τῆς γῆς κινούμενα ἑρπετά,
καὶ ποικίλα πτηνὰ λιγυρόφωνα, τραυλίζοντα,
λεπτά, λιγυρόπτερα, ταράσσοντα τὸν ἀέρα μὲ πτέρυ-
γας,
εἰς τὰ δάση δὲ τῶν ὀρέων ἔθεσεν ἄγριον γένος θη-
ρίων·
εἰς ἡμᾶς δὲ τοὺς βροτοὺς ὑπέταξε τὰ κτήνη,
εἰς ὅλα ὥρισεν ἕνα θεότευκτον ἡγέτην,
εἰς τὸν ἄνθρωπον ὑπέταξε τὰ παμποίκιλα καὶ ἀκατά-
ληπτα.
Ποία σὰρξ θνητῶν δύναται νὰ γνωρίσῃ ὅλα αὐτά;
Ἀλλὰ μόνος αὐτὸς γνωρίζει, ὁ ποιήσας αὐτὰ ἐξ ἀρ-
χῆς,
ἄφθαρτος κτίστης, αἰώνιος, κατοικῶν εἰς τὸν αἰθέ-
ρα,
εἰς τοὺς ἀγαθοὺς προσφέρων ἀγαθὸν μισθὸν πολὺ
μεγαλύτερον,
εἰς δὲ τοὺς κακοὺς καὶ ἀδίκους ἐγείρων χολὴν καὶ
θυμόν,
πόλεμον καὶ λοιμόν, πόνους δακρυβρέκτους.
Ἄνθρωποι, διατί ἐκριζῶνεσθε ὑψωνόμενοι ματαίως;
Ἐντραπῆτε θεοποιοῦντες γαλᾶς καὶ ἔντομα.
Δὲν ἀφαιρεῖ ἡ μανία καὶ ἡ λύσσα τὴν αἴσθησιν τῶν
φρενῶν,

*εἰ λοπάδας κλέπτουσι θεοί, συλοῦσι δὲ χύτρας;*
*Ἀντὶ δὲ χρυσήεντα πόλον κατὰ πίονα ναίειν*
*σητόβρωτα δέδορκε, πυκναῖς δ' ἀράχναις δεδίασται!*
*Προσκυνέοντες ὄφεις, κύνας, αἰλούρους, ἀνόητοι,*
*καὶ πετεηνὰ σέβεσθε καὶ ἑρπετὰ θηρία γαίης*
*καὶ λίθινα ξόανα καὶ ἀγάλματα χειροποίητα,*
*κἀν παρόδοισι λίθων συγχώματα· ταῦτα σέβεσθε*
*ἄλλα τε πολλὰ μάταια, ἃ δὴ κ' αἰσχρὸν ἀγορεύειν.*
*Εἰσὶ θεοὶ μερόπων δολοήτορες οὗτοι ἀβούλων,*
*τῶν δὴ κἀκ' στόματος χεῖται θανατηφόρος ἰός.*
*Οὗ δ' ἔστι ζωή τε καὶ ἄφθιτον ἀέναον φῶς,*
*καὶ μέλιτος γλυκεροῦ γλυκερώτερον ἀνδράσι χάρμα*
*ἐκπροχέει ... τῷ δεῖ μόνῳ αὐχένα κάμπτειν,*
*καὶ τρίβον αἰώνεσσιν ἐν εὐσεβέεσσ' ἀνακλίνειν.*
*Ταῦτα λιπόντες ἅπαντα, δίκης μεστὸν τὸ κύπελλον,*
*ζωρότερον, στιβαρόν, βεβαρημένον, εὖ μάλ' ἄκρητον,*
*εἵλκύσατ' ἀφροσύνῃ τε μεμηνότι πνεύματι πάντες·*
*κοὐ θέλετ' ἐκνῆψαι καὶ σώφρονα πρὸς νόον ἐλθεῖν,*
*καὶ γνῶναι βασιλῆα Θεόν, τὸν πάντ' ἐφορῶντα.*
*Τοὔνεκεν αἰθομένοιο πυρὸς σέλας ἔρχετ' ἐφ' ὑμᾶς·*
*λαμπάσι καυθήσεσθε δι' αἰῶνος τὸ πανῆμαρ,*
*ψεύδεσιν αἰσχυνθέντες ἐπ' εἰδώλοισιν ἀχρήστοις.*
*Οἱ δὲ Θεὸν τιμῶντες ἀληθινὸν ἀέναόν τε*

17 ἀφροσύνῃ τε *X* ἀφροσύνῃ *MB* ἀφροσύνησι *E*

ὅταν πιστεύετε ὅτι οἱ θεοὶ κλέπτουν πινάκια καὶ συλοῦν χύτρας;
Ἀντὶ δὲ νὰ κατοικῇ τὸν ἀχανῆ χρυσοῦν οὐρανὸν
κυττάζει τὰ σκωληκόβρωτα πτώματα, φοβεῖται τὰ δίκτυα ἀράχνης.
Ἀνόητοι, προσκυνεῖτε ὄφεις, κύνας, αἰλούρους,
σέβεσθε πετεινὰ καὶ ἑρπετὰ θηρία τῆς γῆς,
λίθινα ξόανα καὶ ἀγάλματα χειροποίητα,
λιθίνας σωροὺς εἰς τὰς παρόδους· αὐτὰ σέβεσθε
καὶ πολλὰ ἄλλα μάταια, τὰ ὁποῖα εἶναι ἐντροπὴ νὰ μνημονεύσωμεν.
Οὗτοι εἶναι πλᾶνοι θεοὶ ἀβούλων ἀνθρώπων,
ἀπὸ τῶν ὁποίων τὸ στόμα χύνεται θανατηφόρος ἰός.
Αὐτοῦ εἶναι ἡ ζωὴ καὶ τὸ ἄφθαρτον ἀέναον φῶς,
αὐτὸς χύνει εἰς τοὺς ἄνδρας τὴν γλυκυρὰν χάριν, τὴν γλυκυτέραν ἀπὸ μέλι.
... εἰς αὐτὸν μὸνον πρὲπει νὰ κάμπτωμεν τὸν αὐχένα,
καὶ νὰ εἰσερχώμεθα εἰς ὁδὸν ἀτελευτήτου εὐσεβείας.
Ἐγκαταλείψαντες ὅλα αὐτά, γεμᾶτον τὸ κύπελλον
τῆς δικαιοσύνης, καθαρόν, στιβαρόν, βαρύ, ἐντελῶς ἄκρατον,
εἱλκύσατε ὅλοι μὲ τὴν ἀφροσύνην καὶ τὸ μανιακὸν πνεῦμα·
καὶ δὲν θέλετε νὰ ἐξυπνήσετε καὶ νὰ ἔλθετε εἰς σώφρονα νοῦν,
καὶ νὰ γνωρίσετε τὸν βασιλέα Θεόν, τὸν ἐποπτεύοντα τὰ πάντα.
Διὰ τοῦτο ἔρχεται ἐπάνω σας ἡ λάμψις φλεγομένου πυρός·
μὲ λαμπάδας θὰ καυθῆτε καθημερινῶς καὶ αἰωνίως,
αἰσχυνθέντες διὰ τὰ ψευδῆ ἄχρηστα εἴδωλα.
Ἀλλ' ἐκεῖνοι οἱ ὁποῖοι τιμοῦν τὸν ἀληθινὸν καὶ αἰώνιον Θεὸν

*ζωὴν κληρονομοῦσι, τὸν αἰῶνος χρόνον αὐτοὶ*
*οἰκοῦντες παραδείσου ὁμῶς ἐριθηλέα κῆπον,*
*δαινύμενοι γλυκὺν ἄρτον ἀπ' οὐρανοῦ ἀστερόεντος».*

*Ὅτι μὲν οὖν ταῦτα ἀληθῆ καὶ ὠφέλιμα καὶ δίκαια καὶ προσφιλῆ πᾶσιν ἀνθρώποις τυγχάνει, δῆλόν ἐστιν, καὶ ὅτι οἱ κακῶς δράσαντες ἀναγκαίως ἔχουσιν κατ' ἀξίαν τῶν πράξεων κολασθῆναι.*

37 *Ἤδη δὲ καὶ τῶν ποιητῶν τινες ὡσπερεὶ λόγια ἑαυτοῖς ἐξεῖπον ταῦτα καὶ εἰς μαρτύριον τοῖς τὰ ἄδικα πράσσουσιν, λέγοντες ὅτι μέλλουσιν κολάζεσθαι. Αἰσχύλος ἔφη·*

*«Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται».*

*Πίνδαρος δὲ καὶ αὐτὸς ἔφη·*

*«Ἐπεὶ*
*ῥέζοντά τι καὶ παθεῖν ἔοικεν».*

*Ὡσαύτως καὶ Εὐριπίδης·*

*«Ἀνάσχου πάσχων· δρῶν γὰρ ἔχαιρες.*
*Νόμου τὸν ἐχθρὸν δρᾶν, ὅπου λάβῃς, κακῶς».*

*Καὶ πάλιν ὁ αὐτός·*

*«Ἐχθροὺς κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος».*

*Ὁμοίως καὶ Ἀρχίλοχος·*

*«Ἓν δ' ἐπίσταμαι μέγα,*
*τὸν κακῶς τι δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς».*

*Καὶ ὁ Θεὸς τὰ πάντα ἐφορᾷ καὶ οὐδὲν αὐτὸν λανθάνει, μακρόθυ-*

---

10. ΑΙΣΧΥΛΟΥ, ἀπόσπ. 456. NAUCK.
11. ΠΙΝΔΑΡΟΥ, *Νεμεονίκαι* 4,51ἑ.
12. ΕΥΡΙΠΙΔΟΥ, ἀπόσπ. 1090 καὶ 1091. NAUCK.

θὰ κληρονομήσουν τὴν ζωὴν εἰς τὴν αἰωνιότητα,
κατοικοῦντες μαζὶ τὸν ἀειθαλῆ κῆπον τοῦ παραδεί-
σου,
τρώγοντες τὸν γλυκὺν ἄρτον ἀπὸ τὸν ἔναστρον οὐ-
ρανόν».

Ὅτι λοιπὸν ταῦτα εἶναι ἀληθῆ καὶ ὠφέλιμα, δίκαια καὶ προσφιλῆ, εἰς ὅλους τοὺς ἀνθρώπους, εἶναι φανερόν, καθὼς ἐπίσης καὶ ὅτι οἱ κακῶς ἐνεργήσαντες πρόκειται ἀναγκαίως νὰ τιμωρηθοῦν ἀνταξίως πρὸς τὰς πράξεις των.

37 Ἤδη δὲ καὶ μερικοὶ ποιηταὶ ἔχουν ἐξαγγείλει ταῦτα ὡς χρησμοὺς ἐναντίον ἑαυτῶν πρὸς διαβεβαίωσιν ὅτι οἱ πράττοντες ἄδικα πρόκειται νὰ τιμωρηθοῦν. Λέγει ὁ Αἰσχύλος·

«ὁ διαπράξας κάτι ὀφείλει καὶ νὰ πάθη»[10].

Ὁ δὲ Πίνδαρος εἶπε καὶ αὐτός·

«ἐπειδὴ εἶναι εὔλογον ὁ πράττων καὶ νὰ πάσχη»[11].

Ὡσαύτως καὶ ὁ Εὐριπίδης·

«Ὑπόφερε ὅταν πάσχῃς, διότι ὅταν ἐνήργεις ἔχαι-
ρες.
Ὑπάρχει νόμος νὰ κακομεταχειρίζεσαι τὸν ἐχθρόν,
ὅταν τὸν συλλάβῃς»[12].

Ὁ αὐτὸς πάλιν·

«Θεωρῶ χαρακτηριστικὸν τοῦ ἀνδρὸς τὸ νὰ κακομε-
ταχειρίζεται τὸν ἐχθρόν»[13].

Ὁμοίως καὶ ὁ Ἀρχίλοχος·

Ἓν δὲ μέγα γνωρίζω,
τὸν κακῶς πράττοντα κάτι νὰ ἀνταμείβῃ μὲ κακά»[14].

Καὶ ὅτι ὁ Θεὸς τὰ πάντα ἐποπτεύει καὶ δὲν τοῦ διαφεύγει τίπο-

---

13. ΕΥΡΙΠΙΔΟΥ, ἀπόσπ. 1092. NAUCK.
14 DIEHL, *Anthologia Lyricorum Graecorum* 1,230. ἀπόσπ. 66.

*μος δὲ ὢν ἀνέχεται ἕως οὗ μέλλει κρίνειν, καὶ περὶ τούτου Διονύσιος εἴρηκεν·*

*«Ὁ τῆς Δίκης ὀφθαλμὸς ὡς δι' ἡσύχου*
*λεύσσων προσώπου πάνθ' ὁμῶς ἀεὶ βλέπει».*

*Καὶ ὅτι μέλλει ἡ τοῦ Θεοῦ κρίσις γίνεσθαι καὶ τὰ κακὰ τοὺς πονηροὺς αἰφνιδίως καταλαμβάνειν, καὶ τοῦτο Αἰσχύλος ἐσήμανεν λέγων·*

*«Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς,*
*κατ' ἀμπλάκημα τῷ περῶντι τὴν Θέμιν.*
*Ὁρᾷς Δίκην ἄναυδον, οὐχ ὁρωμένην*
*εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ·*
*ἑξῆς ὀπάζει δόχμιον, ἄλλοθ' ὕστερον.*
*Οὐκ ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένον·*
*ὅ τι δ' ἂν ποιῇς δεινόν, νόμιζ' ὁρᾶν τινά».*

*Τί δ' οὐχὶ καὶ ὁ Σιμωνίδης·*

*«Οὐκ ἔστιν κακὸν*
*ἀνεπιδόκητον ἀνθρώποις· ὀλίγῳ δὲ χρόνῳ*
*πάντα μεταρρίπτει Θεός;».*

*Πάλιν Εὐριπίδης·*

*«Οὐδέποτ' εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ' ὄλβον*
*βέβαιον εἰκάσαι χρεών,*
*οὐδ' ἀδίκων γενεάν· ὁ γὰρ οὐδενὸς ἐκφὺς χρόνος*

---

15. ΔΙΟΝΥΣΙΟΥ, ἀπόσπ. 5. NAUCK.

16. Οἱ στίχοι ἀπαντῶνται καὶ εἰς τὸν Στοβαῖον, 1,6. 57,5 ἑ. Οἱ ὑπ' ἀρ. 1 καὶ 2 εἶναι ἀπὸ τὸν Αἰσχύλον, ἀπόσπ. 22, NAUCK, 3–5 ἀπὸ ἄγνωστον τραγικόν, ἀπόσπ. 493, Nauck, 6 καὶ 7 ἀπὸ ἄγνωστον ἐπίσης, ἀπόσπ. 493, NAUCK, ἂν καὶ οἱ τελευταῖοι οὗτοι ἐνίοτε ἀποδίδονται εἰς τὸν Μένανδρον.

τε, μακρόθυμος δὲ ὑπάρχων ἀνέχεται ἕως ὅτου ἔλθη ἡ ὥρα νὰ κρίνη, περὶ τούτου ἔχει εἴπει ὁ Διονύσιος·

> Ὁ ὀφθαλμὸς τῆς δικαιοσύνης παρατηρῶν
> ὡσὰν μὲ ἥσυχον πρόσωπον βλέπει πάντοτε τὰ πάντα
> ἐν συνόλῳ»[15].

Καὶ ὅτι πρόκειται νὰ πραγματοποιηθῆ ἡ κρίσις τοῦ Θεοῦ καὶ τὰ κακὰ νὰ καταλάβουν αἰφνιδίως τοὺς πονηρούς, καὶ τοῦτο ἐπεσήμανεν ὁ Αἰσχύλος λέγων·

> «Τὸ κακὸν βεβαίως ἔρχεται ταχύτατα εἰς τοὺς βροτούς,
> ἡ δυστυχία ἔρχεται εἰς τὸν περιφρονοῦντα τὴν Θέμιδα.
> Βλέπεις τὴν δικαιοσύνην τὴν ἄναυδον, τὴν ἀόρατον,
> εἰς τὸν κοιμώμενον, εἰς τὸν βαδίζοντα, εἰς τὸν καθήμενον·
> καταδιώκει τὸν λοξὸν εἴτε ἀμέσως εἴτε ἀργότερα.
> Ἡ νὺξ δὲν καλύπτει τὸν διαπράξαντα κακά·
> ὅ,τι κακὸν ἂν κάμης, γνώριζε ὅτι κάποιος τὸ βλέπει»[16].

Δὲν λέγει ἐπίσης ὁ Σιμωνίδης;

> «Δὲν ὑπάρχει κακὸν
> ἀπροσδόκητον διὰ τοὺς ἀνθρώπους· ἐντὸς ὀλίγου χρόνου
> ὁ Θεὸς τὰ καταρρίπτει ὅλα»[17].

Πάλιν ὁ Εὐριπίδης·

> «Ποτὲ δὲν πρέπει νὰ θεωρῆς ὡς βέβαια
> τὴν εὐτυχίαν κακοῦ ἀνδρός, τὸν ὑπεροπτικὸν πλοῦτον
> καὶ τὴν γενεὰν τῶν ἀδίκων· διότι ὁ χρόνος ὁ ὁποῖος
> δὲν γεννᾶται ἀπὸ κανένα

---

17. DIEHL, *Anthologia Lyricorum Graecorum* τ.2,68, ἀπόσπ. 11.

*δείκνυσιν ἀνθρώπων κακότητας».*

*Ἔτι ὁ Εὐριπίδης·*

*«Οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι*
*τοὺς κακῶς παγέντας ὅρκους καὶ κατηναγκασμέ-νους».*

*Καὶ ὁ Σοφοκλῆς·*

*«Εἰ δείν' ὄρεξας, δεινὰ καὶ παθεῖν σε δεῖ».*

*Ἤτοι οὖν περὶ ἀδίκου ὅρκου ἢ καὶ περὶ ἄλλου τινὸς πταίσματος ὅτι μέλλει ὁ Θεὸς ἐξετάζειν, καὶ αὐτοὶ σχεδὸν προειρήκασιν, ἢ καὶ περὶ ἐκπυρώσεως κόσμου θέλοντες καὶ μὴ θέλοντες ἀκόλουθα ἐξεῖπαν τοῖς προφήταις, καίπερ πολὺ μεταγενέστεροι γενόμενοι καὶ κλέψαντες ταῦτα ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν.*

38 *Καὶ τί γὰρ ἤτοι ἔσχατοι ἢ καὶ πρῶτοι ἐγένοντο; Πλὴν ὅτι γοῦν καὶ αὐτοὶ ἀκόλουθα τοῖς προφήταις εἶπον. Περὶ μὲν οὖν ἐκπυρώσεως Μαλαχίας ὁ προφήτης προείρηκεν· «ἰδοὺ ἡμέρα ἔρχεται Κυρίου ὡς κλίβανος καιόμενος, καὶ ἀνάψει πάντας τοὺς ἀσεβεῖς». Καὶ Ἡσαΐας· «ἥξει γὰρ ὀργὴ Θεοῦ ὡς χάλαζα συγκαταφερομένη βίᾳ καὶ ὡς ὕδωρ σύρον ἐν φάραγγι».*

*Τοίνυν Σίβυλλα καὶ οἱ λοιποὶ προφῆται, ἀλλὰ μὴν καὶ οἱ ποιηταὶ καὶ φιλόσοφοι καὶ δεδηλώκασιν περὶ δικαιοσύνης καὶ κρίσεως καὶ κολάσεως· ἔτι μὴν καὶ περὶ προνοίας, ὅτι φροντίζει ὁ Θεὸς οὐ μόνον τῶν ζώντων ἡμῶν ἀλλὰ καὶ τῶν τεθνεώτων, καίπερ ἄκοντες ἔφασαν· ἠλέγχοντο γὰρ ὑπὸ τῆς ἀληθείας. Καὶ τῶν μὲν προφητῶν Σολομὼν περὶ τῶν τεθνηκότων εἶπεν· «ἔσται ἴασις ταῖς σαρξὶν καὶ ἐπιμέλεια τῶν ὀστέων». Τὸ δ' αὐτὸ καὶ Δαυίδ· «ἀγαλλιάσεται ὀστᾶ τεταπεινωμένα». Τούτοις ἀκόλουθα εἴρηκε καὶ Τιμοκλῆς, λέγων·*

---

18. Εὐριπίδου, ἀπόσπ. 303, Nauck. Κατὰ Στοβαῖον προέρχεται ἀπὸ τὸν Βελλερεφῶντα.

19. Εὐριπίδου, Ἰφιγένεια ἐν Αὐλίδι 396.

δεικνύει τὰς κακότητας τῶν ἀνθρώπων»[18].

Προσέτι ὁ Εὐριπίδης·

«Τὸ θεῖον δὲν εἶναι ἀσύνετον, ἀλλὰ δύναται νὰ ἀντιληφθῇ
τοὺς ψευδῶς δίδοντας ὅρκους καὶ τοὺς δεσμευομένους μὲ αὐτοὺς ἀναγκαστικῶς»[19].

Καὶ ὁ Σοφοκλῆς·

«Ἐὰν ἔπραξες κακά, κακὰ πρέπει νὰ πάθῃς»[20].

Λοιπὸν καὶ αὐτοὶ σχεδὸν προεῖπον ὅτι ὁ Θεὸς πρόκειται νὰ ἐξετάσῃ τὸν ἄδικον ὅρκον ἢ ἄλλο τι πταῖσμα ἢ εἶπον σύμφωνα μὲ τοὺς προφήτας περὶ ἐκπυρώσεως τοῦ κόσμου, θέλοντες καὶ μὴ θέλοντες, ἂν καὶ ὑπῆρξαν πολὺ μεταγενέστεροι καὶ ἔκλεψαν ταῦτα ἀπὸ τὸν νόμον καὶ τοὺς προφήτας.

38 Καὶ τί σημασίαν ἔχει ἂν ἔγιναν τελευταῖοι ἢ πρῶτοι; Σπουδαῖον εἶναι πράγματι ὅτι καὶ αὐτοὶ εἶπον σύμφωνα μὲ τοὺς προφήτας. Περὶ μὲν τῆς ἐκπυρώσεως προεῖπεν ὁ προφήτης Μαλαχίας· «ἰδού, ἔρχεται ἡ ἡμέρα Κυρίου ὡσὰν ἀναμμένος κλίβανος καὶ θὰ ἀνάψῃ ὅλους τοὺς ἀσεβεῖς»[21]. Καὶ ὁ Ἠσαΐας· «διότι θὰ ἔλθῃ ἡ ὀργὴ τοῦ Κυρίου ὡσὰν χάλαζα πίπτουσα κάτω μὲ ὁρμὴν καὶ ὡσὰν ὁρμητικὴ χείμαρρος εἰς τὴν φάραγγα»[22].

Οὕτω ἡ Σίβυλλα καὶ οἱ λοιποὶ προφῆται, ἀλλ' ἐπίσης καὶ οἱ ποιηταὶ καὶ φιλόσοφοι ἐξήγγειλαν περὶ δικαιοσύνης, κρίσεως καὶ κολάσεως, προσέτι δὲ καὶ περὶ προνοίας, ὅτι ὁ Θεὸς φροντίζει ὄχι μόνον διὰ τοὺς ζῶντας ἀλλὰ καὶ διὰ τοὺς ἀποθανόντας, μολονότι τὰ εἶπαν ἄκοντες, διότι ἐφωτίζοντο ὑπὸ τῆς ἀληθείας. Ἐκ τῶν προφητῶν ὁ Σολομὼν εἶπε περὶ τῶν ἀποθανόντων· «θὰ ὑπάρξῃ ἴασις εἰς τὰς σάρκας καὶ θεραπεία τῶν ὀστῶν»[23]. Τὸ αὐτὸ δὲ καὶ ὁ Δαβίδ· «θὰ ἀγάλλωνται τὰ ταπεινωμένα ὀστᾶ»[24]. Σύμφωνα μὲ αὐτοὺς εἶπε καὶ ὁ Τιμοκλῆς·

20. ΣΟΦΟΚΛΕΟΥΣ, ἀπόσπ. 877. NAUCK. Ἴσως προέρχεται ἀπὸ τὸν Αἴαντα Λοκρόν.

21. Μαλαχ. 4,1.

22. Ἠσ. 30,28.

23. Παροιμ. 3,8.

24. Ψαλμ. 50,10.

«Τεθνεῶσιν ἔλεος ἐπιεικὴς Θεός».

*Καὶ περὶ πλήθους οὖν θεῶν οἱ συγγραφεῖς εἰπόντες κατῆλθον εἰς μοναρχίαν, καὶ περὶ ἀπρονοησίας λέγοντες εἶπον περὶ προνοίας, καὶ περὶ ἀκρισίας φάσκοντες ὡμολόγησαν ἔσεσθαι κρίσιν, καὶ οἱ μετὰ θάνατον ἀρνούμενοι εἶναι αἴσθησιν ὡμολόγησαν. Ὅμηρος μὲν οὖν, εἶπεν·*

«Ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται»,

*ἐν ἑτέρῳ λέγει·*

«Ψυχὴ δ' ἐκ ρεθέων πταμένη Ἄϊδόσδε βεβήκει».

*Καὶ πάλιν·*

«Θάπτε με, ὅττι τάχιστα πύλας Ἀΐδαο περήσω».

## *ΕΠΙΛΟΓΟΣ*

*Τὰ δὲ περὶ τῶν λοιπῶν, οὓς ἀνέγνωκας, ἡγοῦμαί σε ἀκριβῶς ἐπίστασθαι ᾧ τρόπῳ εἰρήκασιν. Ταῦτα δὲ πάντα συνήσει πᾶς ὁ ζητῶν τὴν σοφίαν τοῦ Θεοῦ καὶ εὐαρεστῶν αὐτῷ διὰ πίστεως καὶ δικαιοσύνης καὶ ἀγαθοεργίας. Καὶ γάρ τις εἶπεν προφήτης ὧν προεγράψαμεν, ὀνόματι Ὠσηέ· «τίς σοφὸς καὶ συνήσει ταῦτα, συνετὸς καὶ γνώσεται; Ὅτι εὐθεῖαι αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι εἰσελεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς». Χρὴ οὖν τὸν φιλομαθῆ καὶ φιλομαθεῖν. Πειράθητι οὖν πυκνότερον συμβαλεῖν, ὅπως καὶ ζώσης ἀκούσας φωνῆς ἀκριβῶς μάθῃς τἀληθές.*

---

25. ΤΙΜΟΚΛΕΟΥΣ, ἀπόσπ. 25. ΜΕΙΝΕΚΕ.
26. *Ὀδύσ.* Λ 221.
27. *Ἰλιὰς* Π 856 Χ 362.

«Ὁ ἐλεήμων Θεὸς δεικνύει ἔλεος διὰ τοὺς ἀποθανόντας»[25].

Καὶ περὶ τοῦ πλήθους δὲ θεῶν ὁμιλήσαντες οἱ συγγραφεῖς ἔφθασαν εἰς τὴν μοναρχίαν καὶ περὶ ἀπρονοησίας ὁμιλοῦντες, διεκήρυξαν περὶ τῆς προνοίας, καὶ περὶ ἀκρισίας λέγοντες ὡμολόγησαν ὅτι θὰ ὑπάρξη κρίσις, καὶ οἱ ἀρνούμενοι παρουσίαν αἰσθήσεως μετὰ θάνατον τὴν ὡμολόγησαν. Πράγματι ὁ Ὅμηρος εἶπεν,

«ἡ ψυχὴ πετάξασα ὡσὰν ὄνειρον ἀπεμακρύνθη»[26],

εἰς ἄλλο δὲ χωρίον λέγει,

«ἡ ψυχὴ πετάξασα ἀπὸ τὸ σῶμα μετέβη εἰς τὸν Ἅδην»[27].

Καὶ πάλιν·

«Θάψε με, διὰ νὰ περάσω τὸ ταχύτερον τὰς πύλας τοῦ Ἅδου»[28].

## ΕΠΙΛΟΓΟΣ

Ὅσα δὲ ἀνέγνωσες περὶ τῶν ἄλλων θεμάτων νομίζω ὅτι γνωρίζεις μὲ ἀκρίβειαν πῶς ὁμιλοῦν οὗτοι. Ὅλα αὐτὰ θὰ κατανοήση πᾶς ζητῶν τὴν σοφίαν τοῦ Θεοῦ καὶ εὐαρεστῶν αὐτὸν διὰ πίστεως, δικαιοσύνης καὶ ἀγαθοεργίας. Διότι εἷς προφήτης ἀπὸ τοὺς προαναφερθέντας, ὀνόματι Ὡσηέ, εἶπε· «ποῖος εἶναι σοφὸς διὰ νὰ κατανοήση ταῦτα, συνετὸς διὰ νὰ γνωρίση; Διότι αἱ ὁδοὶ τοῦ Κυρίου εἶναι εὐθεῖαι καὶ οἱ δίκαιοι θὰ βαδίσουν εἰς αὐτάς, οἱ δὲ ἀσεβεῖς θὰ ἀδυνατήσουν νὰ εἰσέλθουν εἰς αὐτάς»[29]. Πρέπει λοιπὸν ὁ φιλομαθὴς νὰ φιλομαθῆ. Προσπάθησε λοιπὸν νὰ συζητῆς συχνότερον, διὰ νὰ μάθης τὴν ἀλήθειαν λεπτομερῶς ἀκούων καὶ διὰ ζώσης φωνῆς.

28. *Ἰλιὰς* Ψ 71.
29. 14,10.

## *ΒΙΒΛΙΟΝ Γ'*

### *ΠΡΟΛΟΓΟΣ*

1 *Θεόφιλος Αὐτολύκῳ χαίρειν.*

*Ἐπειδὴ οἱ συγγραφεῖς βούλονται πληθὺν βίβλων συγγράφειν πρὸς κενὴν δόξαν, οἱ μὲν περὶ θεῶν καὶ πολέμων ἢ χρόνων, τινὲς δὲ καὶ μύθων ἀνωφελῶν καὶ τῆς λοιπῆς ματαιοπονίας, ἧς ἤσκεις καὶ σὺ ἕως τοῦ δεῦρο, κἀκείνου μὲν τοῦ καμάτου οὐκ ὀκνεῖς ἀνεχόμενος, ἡμῖν δὲ συμβαλὼν ἔτι λῆρον ἡγῇ τυγχάνειν τὸν λόγον τῆς ἀληθείας, οἰόμενος προσφάτους καὶ νεωτερικὰς εἶναι τὰς παρ' ἡμῖν γραφάς, διὸ δὴ κἀγὼ οὐκ ὀκνήσω ἀνακεφαλαιώσασθαί σοι παρέχοντος Θεοῦ τὴν ἀρχαιότητα τῶν παρ' ἡμῖν γραμμάτων, ὑπόμνημά σοι ποιούμενος δι' ὀλίγων, ὅπως μὴ ὀκνήσῃς ἐντυγχάνειν αὐτῷ, ἐπιγνῷς δὲ τῶν λοιπῶν συνταξάντων τὴν φλυαρίαν.*

### *ΕΠΙΚΡΙΣΙΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΓΡΑΜΜΑΤΕΙΑΣ ΔΙ' ΑΝΗΘΙΚΟΤΗΤΑ*

2 *Ἐχρῆν γὰρ τοὺς συγγράφοντας αὐτοὺς αὐτόπτας γεγενῆσθαι*

1. Ὁ Θεόφιλος ὁμιλῶν περὶ συγγραμμάτων τῶν Χριστιανῶν, ἐννοεῖ προτί-

## ΒΙΒΛΙΟΝ Γ'

### ΠΡΟΛΟΓΟΣ

1 Ὁ Θεόφιλος πρὸς Αὐτόλυκον, χαῖρε.

Ἐπειδὴ οἱ συγγραφεῖς ἐπιθυμοῦν νὰ γράφουν πλῆθος βιβλίων ἀπὸ κενοδοξίαν, ἄλλοι μὲν περὶ θεῶν, πολέμων ἢ χρόνων, μερικοὶ δὲ καὶ περὶ ἀνωφελῶν μύθων καὶ περὶ τῆς ἄλλης ματαιοπονίας, εἰς τὴν ὁποίαν ἐπεδίδεσο καὶ σὺ ἕως τώρα, καὶ ἐκεῖνον μὲν τὸν κόπον δὲν διστάζεις νὰ τὸν βαστάζῃς, ὅταν συζητῇς δὲ μὲ ἡμᾶς θεωρεῖς ἀκόμη φλυαρίαν τὸν λόγον τῆς ἀληθείας, διότι νομίζεις ὅτι αἱ Γραφαὶ ἡμῶν εἶναι πρόσφατοι καὶ νεωτερικαί, διὰ τοῦτο λοιπὸν καὶ ἐγὼ δὲν θὰ διστάσω νὰ σοῦ ἀνακεφαλαιώσω, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, τὴν ἀρχαιότητα τῶν συγγραμμάτων ἡμῶν[1], συντάσσων πρὸς χάριν σου σύντομον ὑπόμνημα, ὥστε νὰ μὴ διστάσῃς νὰ τὸ ἀναγνώσῃς, νὰ ἀντιληφθῇς δὲ τὴν φλυαρίαν τῶν ἄλλων συγγραφέων.

### ΕΠΙΚΡΙΣΙΣ
### ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΓΡΑΜΜΑΤΕΙΑΣ ΔΙ' ΑΝΗΘΙΚΟΤΗΤΑ

2 Διότι ἔπρεπε οἱ συγγραφεῖς νὰ εἶναι οἱ ἴδιοι αὐτόπται τῶν

---

στως τὰ βιβλία τῆς Π. Διαθήκης.

*περὶ ὧν διαβεβαιοῦνται, ἢ ἀκριβῶς μεμαθηκέναι ὑπὸ τῶν τεθεαμένων αὐτά. Τρόπῳ γάρ τινι οἱ τὰ ἄδηλα συγγράφοντες ἀέρα δέρουσιν. Τί γὰρ ὠφέλησεν Ὅμηρον συγγράψαι τὸν Ἰλιακὸν πόλεμον καὶ πολλοὺς ἐξαπατῆσαι, ἢ Ἡσίοδον ὁ κατάλογος τῆς θεογονίας τῶν παρ' αὐτῷ θεῶν ὀνομαζομένων, ἢ Ὀρφέα οἱ τριακόσιοι ἑξήκοντα πέντε θεοί, οὓς αὐτὸς ἐπὶ τέλει τοῦ βίου ἀθετεῖ, ἐν ταῖς Διαθήκαις αὐτοῦ λέγων ἕνα εἶναι Θεόν; Τί δὲ ὠφέλησεν Ἄρατον ἡ σφαιρογραφία τοῦ κοσμικοῦ κύκλου, ἢ τοὺς τὰ ὅμοια αὐτῷ εἰπόντας, πλὴν τῆς κατ' ἄνθρωπον δόξης, ἧς οὐδὲ αὐτῆς κατ' ἀξίαν ἔτυχον; Τί δὲ καὶ ἀληθὲς εἰρήκασιν;*

*Ἢ τί ὠφέλησεν Εὐριπίδην καὶ Σοφοκλέα ἢ τοὺς λοιποὺς τραγῳδιογράφους αἱ τραγῳδίαι, ἢ Μένανδρον καὶ Ἀριστοφάνην καὶ τοὺς λοιποὺς κωμικοὺς αἱ κωμῳδίαι, ἢ Ἡρόδοτον καὶ Θουκυδίδην αἱ ἱστορίαι αὐτῶν, ἢ Πυθαγόραν τὰ ἄδυτα καὶ Ἡρακλέους στῆλαι, ἢ Διογένην ἡ κυνικὴ φιλοσοφία, ἢ Ἐπίκουρον τὸ δογματίζειν μὴ εἶναι πρόνοιαν, ἢ Ἐμπεδοκλέα τὸ διδάσκειν ἀθεότητα, ἢ Σωκράτην τὸ ὀμνύειν τὸν κύνα καὶ τὸν χῆνα καὶ τὴν πλάτανον καὶ τὸν κερευνωθέντα Ἀσκληπιὸν καὶ τὰ δαιμόνια ἃ ἐπεκαλεῖτο; Πρὸς τί δὲ καὶ ἑκὼν ἀπέθνησκεν, τίνα καὶ ὁποῖον μισθὸν μετὰ θάνατον ἀπολαβεῖν ἐλπίζων; Τί δὲ ὠφέλησε Πλάτωνα ἡ κατ' αὐτὸν παιδεία, ἢ τοὺς λοιποὺς φιλοσόφους τὰ δόγματα αὐτῶν, ἵνα μὴ τὸν ἀριθμὸν αὐτῶν καταλέγω πολλῶν ὄντων; Ταῦτα δέ φαμεν εἰς τὸ ἐπιδεῖξαι τὴν ἀνωφελῆ καὶ ἄθεον διάνοιαν αὐτῶν.*

3 *Δόξης γὰρ κενῆς καὶ ματαίου πάντες οὗτοι ἐρασθέντες οὔτε αὐτοὶ τὸ ἀληθὲς ἔγνωσαν οὔτε μὴν ἄλλους ἐπὶ τὴν ἀλήθειαν προετρέψαντο. Καὶ γὰρ ἃ ἔφασαν αὐτὰ ἐλέγχει αὐτούς, ἢ ἀσύμ-*

---

2. Βλ. σχετικῶς ΨΕΥΔΙΟΥΣΤΙΝΟΥ, *Περὶ Μοναρχίας* 2. ΛΑΚΤΑΝΤΙΟΥ, *Institutiones Divinae* 1,7,6 ἑ. Τὸν ἀριθμὸν 365 υἱοθέτησεν ὁ γνωστικὸς αἱρεσιάρχης Βασιλείδης.

πραγμάτων τὰ ὁποῖα ἐπιβεβαιώνουν, ἢ νὰ ἔχουν μάθει μὲ ἀκρίβειαν ἀπὸ ἐκείνους οἱ ὁποῖοι τὰ εἶδον, ἀφοῦ κατά τινα τρόπον οἱ περιγράφοντες τὰ ἄδηλα δέρουν ἀέρα. Τί ὠφέλησεν τὸν Ὅμηρον τὸ ὅτι περιέγραψε τὸν Ἰλιακὸν πόλεμον καὶ ἐξηπάτησε πολλούς, ἢ τὸν Ἡσίοδον ὁ κατάλογος τῆς θεογονίας τῶν ὀνομαζομένων ὑπ' αὐτοῦ θεῶν, ἢ τὸν Ὀρφέα οἱ τριακόσιοι ἐξήκοντα πέντε θεοί[2], τοὺς ὁποίους κατὰ τὸ τέλος τοῦ βίου του ἀθετεῖ, διακηρύσσων τὴν ὕπαρξιν ἑνὸς Θεοῦ εἰς τὰς Διαθήκας αὐτοῦ; Τί δὲ ὠφέλησε τὸν Ἄρατον ἡ σφαιρογραφία τοῦ κοσμικοῦ κύκλου ἢ τοὺς εἰπόντας τὰ ὅμοια μὲ αὐτόν, πλὴν τῆς κατ' ἄνθρωπον δόξης, τὴν ὁποίαν ἐκέρδισαν ὄχι κατ' ἀξίαν; Τί ἀληθὲς εἶπον;

Ἢ τί ὠφέλησαν τὸν Εὐριπίδην καὶ τὸν Σοφοκλῆν ἢ τοὺς ἄλλους τραγωδιογράφους αἱ τραγωδίαι, τὸν Μένανδρον καὶ τὸν Ἀριστοφάνην καὶ τοὺς λοιποὺς κωμικοὺς αἱ κωμωδίαι, ἢ τὸν Ἡρόδοτον καὶ τὸν Θουκυδίδην αἱ ἱστορίαι αὐτῶν, ἢ τὸν Πυθαγόραν τὰ ἄδυτα ἁγιαστήρια καὶ αἱ στῆλαι τοῦ Ἡρακλέους[3], ἢ τὸν Διογένην ἡ κυνικὴ φιλοσοφία, ἢ τὸν Ἐπίκουρον τὸ δόγμα ὅτι δὲν ὑπάρχει πρόνοια, ἢ τὸν Ἐμπεδοκλέα ἡ διδασκαλία τῆς ἀθεότητος, ἢ τὸν Σωκράτην ὁ ὅρκος εἰς τὸν κύνα, τὸν χῆνα, τὴν πλάτανον, τὸν κεραυνωθέντα Ἀσκληπιὸν καὶ τὰ δαιμόνια τὰ ὁποῖα ἐπεκαλεῖτο; Διατί δὲ οὗτος ἀπέθανεν ἑκουσίως, ποῖον καὶ ποίας φύσεως μισθὸν ἤλπιζεν ὅτι θὰ λάβῃ μετὰ θάνατον; Τί δὲ ὠφέλησε τὸν Πλάτωνα ἡ παιδεία, τὴν ὁποίαν διεμόρφωσεν ἢ τοὺς ἄλλους φιλοσόφους τὰ δόγματα αὐτῶν, διὰ νὰ μὴ ἀπαριθμῶ αὐτούς, καθὼς εἶναι τόσον πολλοί; Ταῦτα δὲ λέγομεν διὰ νὰ ἐπιδείξωμεν τὴν ἀνωφελῆ καὶ ἄθεον διάνοιαν αὐτῶν.

3 Ὅλοι αὐτοὶ ἀγαπήσαντες τὴν κενὴν καὶ ματαίαν δόξαν οὔτε αὐτοὶ ἐγνώρισαν τὴν ἀλήθειαν οὔτε ἄλλους βεβαίως προέτρεψαν πρὸς τὴν ἀλήθειαν. Διότι τοὺς κατηγοροῦν ὅσα ἔγρα-

---

3. Εἶναι αἱ γνωσταὶ πύλαι, αἱ κτισθεῖσαι κατὰ τὴν παράδοσιν ὑπὸ τοῦ Ἡρακλέους ἢ τοῦ Ἑρμοῦ. Κατὰ τὸν Δεογένην Λαέρτιον 8,3 ὁ Πλάτων εἰς ταξίδιόν του εἰς Αἴγυπτον εἶδε τὰς πύλας ταύτας ἐκεῖ. Κατ' ἄλλην παράδοσιν αὗται ἦσαν εἰς τὴν Δ. Ἀφρικήν.

*φωνα εἰρήκασιν, καὶ τὰ ἴδια δόγματα οἱ πλείους αὐτῶν κατέλυσαν· οὐ γὰρ ἀλλήλους μόνον ἀνέτρεψαν, ἀλλ᾽ ἤδη τινὲς καὶ τὰ ἑαυτῶν δόγματα ἄκυρα ἐποίησαν, ὥστε ἡ δόξα αὐτῶν εἰς ἀτιμίαν καὶ μωρίαν ἐχώρησεν· ὑπὸ γὰρ τῶν συνετῶν καταγινώσκονται. Ἤτοι γὰρ περὶ θεῶν ἔφασαν, αὐτοὶ δ᾽ ὕστερον ἀθεότητα ἐδίδαξαν, ἢ εἰ καὶ περὶ κόσμου γενέσεως, ἔσχατον αὐτοματισμὸν εἶπον εἶναι τῶν πάντων, ἀλλὰ καὶ περὶ προνοίας λέγοντες πάλιν ἀπρονόητον εἶναι κόσμον ἐδογμάτισαν.*

*Τί δέ; Οὐχὶ καὶ περὶ σεμνότητος πειρώμενοι γράφειν ἀσελγείας καὶ πορνείας καὶ μοιχείας ἐδίδαξαν ἐπιτελεῖσθαι, ἔτι μὴν καὶ τὰς στυγητὰς ἀρρητοποιΐας εἰσηγήσαντο; Καὶ πρώτους γε τοὺς θεοὺς αὐτῶν κηρύσσουσιν ἐν ἀρρήτοις μίξεσιν συγγίνεσθαι ἔν τε ἀθέσμοις βρώσεσιν. Τίς γὰρ οὐκ ᾄδει Κρόνον τεκνοφάγον, Δία δὲ τὸν παῖδα αὐτοῦ τὴν Μῆτιν καταπίνειν καὶ δεῖπνα μιαρὰ τοῖς θεοῖς ἑτοιμάζειν· ἔνθα καὶ χωλὸν Ἥφαιστόν τινα χαλκέα φασὶν διακονεῖν αὐτοῖς· τήν τε Ἥραν ἰδίαν ἀδελφὴν αὐτοῦ μὴ μόνον τὸν Δία γαμεῖν, ἀλλὰ καὶ διὰ στόματος ἀνάγνου ἀρρητοποιεῖν; Τάς τε λοιπὰς περὶ αὐτοῦ πράξεις, ὁπόσας ᾄδουσιν οἱ ποιηταί, εἰκὸς ἐπίστασαι. Τί μοι λοιπὸν καταλέγειν τὰ περὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος ἢ Διονύσου καὶ Ἡρακλέους, Ἀθηνᾶς τῆς φιλοκόλπου καὶ Ἀφροδίτης τῆς ἀναισχύντου, ἀκριβέστερον πεποιηκότων ἡμῶν ἐν ἑτέρῳ τὸν περὶ αὐτῶν λόγον;*

4 *Οὐδὲ γὰρ ἐχρῆν ἡμᾶς ταῦτα ἀνασκευάζειν, εἰ μὴ ὅτι σε θεωρῶ νυνὶ διστάζοντα περὶ τὸν λόγον τῆς ἀληθείας. Φρόνιμος γὰρ ὢν ἡδέως μωρῶν ἀνέχῃ· ἐπεί τοι οὐκ ἂν ἐκινήθης ὑπὸ ἀνοήτων ἀνθρώπων κενοῖς λόγοις ἀπάγεσθαι καὶ φήμῃ πείθεσθαι προκατεσχηκυίῃ, στομάτων ἀθέων ψευδῶς συκοφαντούντων ἡμᾶς, τοὺς θεοσεβεῖς καὶ Χριστιανοὺς καλουμένους, φασκόντων ὡς κοινὰς ἁπάντων οὔσας τὰς γυναῖκας ἡμῶν καὶ*

4. Βλ. ἀνωτέρω 1,9 ἑ. Βλέπομεν ὅτι τὸ α´ βιβλίον πρὸς Αὐτόλυκον καλεῖται

ψαν, ἀφοῦ τὰ διετύπωσαν ἀντιφατικῶς καὶ ἀφοῦ οἱ πλεῖστοι ἐξ αὐτῶν κατέλυσαν τὰ ἰδικά των δόγματα· διότι ὄχι μόνον ἀνέτρεψαν ἀλλήλους, ἀλλ' ἤδη μερικοὶ καὶ τὰ ἰδικά των δόγματα ἠκύρωσαν, ὥστε ἡ δόξα των μετεβλήθη εἰς ἀτιμίαν καὶ μωρίαν· διότι κατακρίνονται ὑπὸ τῶν συνετῶν. Ἐνῶ ὡμίλησαν περὶ θεῶν, ἔπειτα οἱ ἴδιοι ἐδίδαξαν ἀθεότητα· ἐνῶ ὡμίλησαν περὶ δημιουργίας κόσμου, ἔπειτα εἶπαν ὅτι τὰ πάντα προῆλθον αὐτομάτως· ἐνῶ ὡμίλησαν περὶ προνοίας, ἐδογμάτισαν πάλιν ὅτι ὁ κόσμος εἶναι ἄνευ προνοίας.

Διατί ὄχι; Ἐνῶ προσεπάθουν νὰ γράψουν περὶ σεμνότητος, δὲν ἐδίδαξαν νὰ διαπράττωνται ἀσέλγειαι, πορνεῖαι καὶ μοιχεῖαι, καὶ δὲν εἰσηγήθησαν τὰς ἀνεπιτρέπτους καὶ ἀνεκδιηγήτους πράξεις; Καὶ πρῶτον κηρύσσουν ὅτι οἱ θεοί των ἐπιδίδονται εἰς ἀρρήτους μίξεις καὶ ἀθεμίτους βρώσεις. Διότι ποῖος δὲν ὑμνεῖ τὸν Κρόνον ὡς τεκνοφάγον, τὸν δὲ υἱόν του Δία ὡς καταπίνοντα τὴν Μῆτιν καὶ ἑτοιμάζοντα μιαρὰ δεῖπνα εἰς τοὺς Θεούς, εἰς τὰ ὁποῖα λέγουν ὅτι τοὺς ὑπηρετεῖ κάποιος χωλὸς χαλκεὺς Ἥφαιστος, τὴν δὲ Ἥραν τὴν ἀδελφὴν τοῦ Διὸς ὄχι μόνον ὡς ὑπανδρευομένην αὐτόν, ἀλλὰ καὶ ὡς διαπράττουσαν ἀνεκδιήγητα μὲ τὸ ἀνόσιον στόμα της; Τὰς δὲ λοιπὰς πράξεις αὐτοῦ, τὰς ὁποίας ὑμνοῦν οἱ ποιηταί, εἶναι φυσικὸν νὰ γνωρίζῃς. Διατί λοιπὸν νὰ ἀπαριθμῶ τὰ ἔργα τοῦ Ποσειδῶνος καὶ τοῦ Ἀπόλλωνος, ἢ τοῦ Διονύσου καὶ τοῦ Ἡρακλέους, τῆς φιλοκόλπου Ἀθηνᾶς καὶ τῆς ἀναισχύντου Ἀφροδίτης, ἐφ' ὅσον ἀκριβέστερον λόγον περὶ αὐτῶν ἐκάμαμεν εἰς ἄλλο σύγγραμμα[4];

4 Δὲν θὰ ἐχρειάζετο μάλιστα νὰ ἐπαναλάβωμεν ταῦτα, ἐὰν δὲν σὲ ἔβλεπον τώρα νὰ διστάζῃς ὡς πρὸς τὸν λόγον τῆς ἀληθείας. Διότι, καθὼς εἶσαι φρόνιμος, εὐχαρίστως ἀνέχεσαι τὰς μωρίας· ἄλλως δὲν θὰ ἄφηνες νὰ παρασύρεσαι ἀπὸ ἀνοήτους ἀνθρώπους μὲ κενοὺς λόγους καὶ νὰ πείθεσαι ἀπὸ κυριαρχοῦσαν φήμην, ἐκτοξευομένην ἀπὸ ἄθεα στόματα ψευδῶς συκοφαντοῦντα ἡμᾶς, τοὺς καλουμένους θεοσεβεῖς καὶ Χριστιανούς, λέγοντα ὅτι δῆθεν αἱ γυναῖκες ἡμῶν εἶναι κοιναὶ εἰς

«ἄλλο σύγγραμμα».

*ἀδιαφόρῳ μίξει ζῶντας, ἔτι μὴν καὶ ταῖς ἰδίαις ἀδελφαῖς συμμίγνυσθαι, καί, τὸ ἀθεώτατον καὶ ὠμότατον πάντων, σαρκῶν ἀνθρωπίνων ἐφάπτεσθαι ἡμᾶς. Ἀλλὰ καὶ ὡς προσφάτου ὁδεύοντος τοῦ καθ' ἡμᾶς λόγου, καὶ μηδὲν ἔχειν ἡμᾶς λέγειν εἰς ἀπόδειξιν ἀληθείας τῆς καθ' ἡμᾶς καὶ διδασκαλίας, μωρίαν δὲ εἶναι τὸν λόγον ἡμῶν φασιν.*

*Ἐγὼ μὲν οὖν θαυμάζω μάλιστα ἐπὶ σοί, ὅς, ἐν μὲν τοῖς λοιποῖς γενόμενος σπουδαῖος καὶ ἐκζητητὴς ἁπάντων πραγμάτων, ἀμελέστερον ἡμῶν ἀκούεις. Εἰ γάρ σοι δυνατόν, καὶ νύκτωρ οὐκ ὤκνεις διατρίβειν ἐν ταῖς βιβλιοθήκαις.*

5 *Ἐπειδὴ οὖν πολλὰ ἀνέγνως, τί σοι ἔδοξε τὰ Ζήνωνος ἢ τὰ Διογένους καὶ Κλεάνθους, ὁπόσα περιέχουσιν αἱ βίβλοι αὐτῶν, διδάσκουσαι ἀνθρωποβορίας, πατέρας μὲν ὑπὸ ἰδίων τέκνων ἕψεσθαι καὶ βιβρώσκεσθαι, καὶ εἴ τις οὐ βούλοιτο ἢ μέλος τι τῆς μυσερᾶς τροφῆς ἀπορρίψειεν, αὐτὸν κατεσθίεσθαι τὸν μὴ φαγόντα; Πρὸς τούτοις ἀθεωτέρα τις φωνὴ εὑρίσκεται, ἡ τοῦ Διογένους, διδάσκοντος τὰ τέκνα τοὺς ἑαυτῶν γονεῖς εἰς θυσίαν ἄγειν καὶ τούτους κατεσθίειν. Τί δέ; Οὐχὶ καὶ Ἡρόδοτος ὁ ἱστοριογράφος μυθεύει τὸν Καμβύσην τὰ τοῦ Ἁρπάγου τέκνα σφάξαντα καὶ ἑψήσαντα παρατεθεικέναι τῷ πατρὶ βοράν; Ἔτι δὲ καὶ παρὰ Ἰνδοῖς μυθεύει κατεσθίεσθαι τοὺς πατέρας ὑπὸ τῶν ἰδίων τέκνων. Ὢ τῆς ἀθέου διδασκαλίας τῶν τὰ τοιαῦτα ἀναγραψάντων μᾶλλον δὲ διδαξάντων, ὢ τῆς ἀσεβείας καὶ ἀθεότητος αὐτῶν, ὢ τῆς διανοίας τῶν οὕτως ἀκριβῶς φιλοσοφησάντων καὶ φιλοσοφίαν ἐπαγγελλομένων; Οἱ γὰρ ταῦτα δογματίσαντες τὸν κόσμον ἀσεβείας ἐνέπλησαν.*

6 *Καὶ γὰρ περὶ ἀθέσμου πράξεως σχεδὸν πᾶσιν συμπεφώνη-*

5. Εἶναι οἱ δύο γνωσταὶ κατηγορίαι περὶ οἰδιποδείων μείξεων καὶ θυεστείων δείπνων, αἱ ὁποῖαι ἀνέτως ἀνασκευάζονται ὑπὸ τοῦ Ἰουστίνου, τοῦ Ἀθηναγόρου, τοῦ Τερτυλλιανοῦ καὶ ἄλλων.

6. Βλ. ΣΕΞΤΟΥ ΕΜΠΕΙΡΙΚΟΥ, *Πυρρώνειοι Ὑποτυπώσεις* 3,24. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ, *Περὶ βίων φιλοσόφων* 7,121· 128.

ὅλους, ὅτι ζῶμεν μὲ ἀδιακρίτους γενετησίους ἑνώσεις, ὅτι μάλιστα ἑνωνόμεθα καὶ μὲ τὰς ἀδελφάς μας καί, τὸ ἀθεώτατον καὶ σκληρότερον ὅλων, ὅτι ἐγγίζομεν ἀνθρωπίνας σάρκας[5]. Ἀλλ' ἐπίσης λέγουν ὅτι ἡ θρησκεία ἡμῶν εἶναι πρόσφατος καὶ δὲν ἔχομεν τίποτε νὰ εἴπωμεν εἰς ἀπόδειξιν τῆς ἀληθείας τῆς διδασκαλίας ἡμῶν, ἡ δέ θρησκεία μας εἶναι μωρία.

Ἐγὼ λοιπὸν σὲ θαυμάζω κατ' ἐξοχήν, διότι, ἐνῶ εἰς τὰ ἄλλα ἔγινες τόσον ἐπιμελὴς ἐρευνητὴς ὅλων τῶν πραγμάτων, ἡμᾶς ἀκούεις ἀμελέστερον. Διότι, ἂν σοῦ ἦτο δυνατόν, καὶ τὴν νύκτα δὲν θὰ ἐδίσταζες νὰ διέρχεσαι εἰς τὰς βιβλιοθήκας.

5 Ἐπειδὴ λοιπὸν ἀνέγνωσες πολλά, πῶς σοῦ ἐφάνησαν τὰ λεγόμενα ἀπὸ τὸν Ζήνωνα ἢ τὸν Διογένην καὶ τὸν Κλεάνθην, τὰ ὁποῖα περιέχουν τὰ βιβλία αὐτῶν, τὰ διδάσκοντα ἀνθρωποφαγίαν, νὰ τρώγωνται οἱ πατέρες ἀπὸ τὰ τέκνα των καὶ ἂν κανεὶς δὲν ἤθελεν ἢ ἀπέρριπτε μέλος τῆς μυσαρᾶς τροφῆς, νὰ καταβροχθίζεται αὐτὸς ὁ μὴ φαγών[6]; Εὑρίσκεται μάλιστα καὶ μιὰ ἀθεωτέρα ἀπὸ αὐτὰ φωνή, ἡ τοῦ Διογένους, ὁ ὁποῖος διδάσκει τὰ τέκνα νὰ ὁδηγοῦν τοὺς γονεῖς των εἰς θυσίαν καὶ νὰ τοὺς κατατρώγουν[7]. Μήπως δὲ καὶ ὁ ἱστοριογράφος Ἡρόδοτος δὲν ἔπλασε τὸν μῦθον ὅτι ὁ Καμβύσης, ἀφοῦ ἔσφαξε τὰ τέκνα τοῦ Ἁρπάγου καὶ τὰ ἔψησε, τὰ παρέθεσεν εἰς τὸν πατέρα πρὸς βοράν[8]; Προσέτι δὲ μυθολογεῖ ὅτι καὶ εἰς τοὺς Ἰνδοὺς οἱ πατέρες κατατρώγονται ἀπὸ τὰ τέκνα των[9]. Πόσον ἄθεος εἶναι ἡ διδασκαλία αὐτῶν οἱ ὁποῖοι ἀνέγραψαν ἢ μᾶλλον ἐδίδαξαν τοιαῦτα, πόσον μεγάλη εἶναι ἡ ἀσέβεια καὶ ἀθεότης αὐτῶν, πόσον διεστραμμένη εἶναι ἡ διάνοια αὐτῶν οἱ ὁποῖοι τόσον ἀκριβολόγως ἐφιλοσόφησαν καὶ ἐπηγγέλθησαν τὴν φιλοσοφίαν! Οἱ δογματίσαντες ταῦτα ἐγέμισαν τὸν κόσμον μὲ ἀσέβειαν.

6 Πράγματι ὡς πρὸς τὰς ἀθεμίτους πράξεις εἶναι σύμφωνοι

---

7. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ, *Περὶ βίων φιλοσόφων* 6,73.

8. ΗΡΟΔΟΤΟΥ, *Ἱστορίαι* 1,119. Ὁ Θεόφιλος καὶ ἐδῶ παραθέτει ἀπὸ μνήμης. Ὁ φερόμενος ὡς διαπράξας τὸ ἀνοσιούργημα εἶναι ὁ Ἀστυάγης, ὄχι ὁ Καμβύσης, καὶ ἐπρόκειτο περὶ τοῦ μοναδικοῦ υἱοῦ τοῦ Ἁρπάγου.

9. ΗΡΟΔΟΤΟΥ *Ἱστορίαι* 3,29. 3,70. 4,26.

*κε τοῖς περὶ τὸν χορὸν τῆς φιλοσοφίας πεπλανημένοις. Καὶ πρῶτός γε Πλάτων, ὁ δοκῶν ἐν αὐτοῖς σεμνότερον πεφιλοσοφηκέναι, διαρρήδην ἐν τῇ πέμπτῃ βίβλῳ τῶν Πολιτειῶν ἐπιγραφομένῃ τρόπῳ τινὶ νομοθετεῖ χρῆν εἶναι κοινὰς ἁπάντων τὰς γυναῖκας, χρώμενος παραδείγματι τῷ Διὸς παιδὶ καὶ Κρητῶν νομοθέτῃ, ὅπως διὰ προφάσεως παιδοποιΐα πολλὴ γίνηται ἐκ τῶν τοιούτων, καὶ ὡς δῆθεν τοὺς λυπουμένους διὰ τοιούτων ὁμιλιῶν χρῆν παραμυθεῖσθαι. Ἐπίκουρος δὲ καὶ αὐτὸς σὺν τῷ ἀθεότητα διδάσκειν συμβουλεύει καὶ μητράσι καὶ ἀδελφαῖς συμμίγνυσθαι, καὶ πέρα τῶν νόμων τῶν τόδε κωλυόντων. Ὁ γὰρ Σόλων καὶ περὶ τούτου σαφῶς ἐνομοθέτησεν, ὅπως ἐκ τοῦ γήμαντος οἱ παῖδες νομίμως γίνωνται, πρὸς τὸ μὴ ἐκ μοιχείας τοὺς γεννωμένους εἶναι, ἵνα μὴ τὸν οὐκ ὄντα πατέρα τιμήσῃ τις ὡς πατέρα, ἢ τὸν ὄντως πατέρα ἀτιμάσῃ τις, ἀγνοῶν ὡς μὴ πατέρα. Ὁπόσα τε οἱ λοιποὶ νόμοι κωλύουσιν Ρωμαίων τε καὶ Ἑλλήνων τὰ τοιαῦτα πράσσεσθαι.*

*Πρὸς τί οὖν Ἐπίκουρος καὶ οἱ Στωϊκοὶ δογματίζουσιν ἀδελφοκοιτίας καὶ ἀρρενοβασίας ἐπιτελεῖσθαι, ἐξ ὧν διδασκαλιῶν μεστὰς βιβλιοθήκας πεποιήκασιν, εἰς τὸ ἐκ παίδων μανθάνειν τὴν ἄθεσμον κοινωνίαν; Καὶ τί μοι λοιπὸν κατατρίβεσθαι περὶ αὐτῶν, ὅπου γε καὶ περὶ τῶν θεῶν παρ' αὐτοῖς λεγομένων τὰ ὅμοια κατηγγέλκασιν;*

7 *Θεοὺς γὰρ φήσαντες εἶναι πάλιν εἰς οὐδὲν αὐτοὺς ἡγήσαντο. Οἱ μὲν γὰρ ἐξ ἀτόμων αὐτοὺς ἔφασαν συνεστάναι, οἱ δ' αὖ χωρεῖν εἰς ἀτόμους, καὶ μηδὲν πλεῖον ἀνθρώπων δύνασθαι τοὺς θεούς φασιν. Πλάτων δέ, θεοὺς εἰπὼν εἶναι ὑλικοὺς αὐτοὺς βούλεται συνιστᾶν. Πυθαγόρας δέ, τοσαῦτα μοχθήσας περὶ θεῶν καὶ τὴν ἄνω κάτω πορείαν ποιησάμενος, ἔσχατον ὁρίζει*

3 πέμπτῃ *Χ* πρώτῃ *κώδ.*
5 παιδὶ *προστίθ. Χ παραλ. κώδ.*

ὅλοι σχεδὸν οἱ κινούμενοι γύρω ἀπὸ τὸν χορὸν τῆς φιλοσοφίας. Καὶ πρῶτος ὁ Πλάτων, ὁ ὁποῖος μεταξὺ αὐτῶν θεωρεῖται ὁ σεμνότερον φιλοσοφήσας, εἰς τὸ πέμπτον βιβλίον τῆς πολιτείας νομοθετεῖ κατά τινα τρόπον νὰ εἶναι κοιναὶ αἱ γυναῖκες ὅλων[10], χρησιμοποιῶν ὡς παράδειγμα τὸν υἱὸν τοῦ Διὸς καὶ νομοθέτην τῶν Κρητῶν[11], μὲ τὴν πρόφασιν νὰ γίνεται πολυάριθμος παιδοποιΐα μὲ αὐτὰς τὰς μίξεις καὶ διὰ νὰ παρηγοροῦνται οἱ λυπημένοι μὲ τοιαύτας μίξεις[12]. Ὁ δὲ Ἐπίκουρος μαζὶ μὲ τὴν διδασκαλίαν τῆς ἀθεΐας συμβουλεύει καὶ αὐτὸς νὰ ἑνώνωνται μὲ μητέρας καὶ ἀδελφὰς παρὰ τοὺς νόμους οἱ ὁποῖοι ἐμποδίζουν τοῦτο. Διότι ὁ Σόλων ἐνομοθέτησε σαφῶς καὶ περὶ τούτου, τὰ παιδία νὰ γίνωνται νομίμως ἀπὸ τὸν συνάπτοντα γάμον, διὰ νὰ μὴ προέρχωνται ἐκ μοιχείας οἱ γεννώμενοι, οὕτως ὥστε νὰ μὴ τιμήσῃ κανεὶς ὡς πατέρα ἐκεῖνον ὁ ὁποῖος δὲν εἶναι πατὴρ ἢ νὰ ἀτιμάσῃ κανεὶς τὸν πραγματικὸν πατέρα ὡς μὴ πατέρα ἀπὸ ἄγνοιαν. Καὶ οἱ λοιποὶ νόμοι τῶν Ρωμαίων καὶ τῶν Ἑλλήνων ἐμποδίζουν νὰ διαπράττωνται ταῦτα[13].

Διατί λοιπὸν ὁ Ἐπίκουρος καὶ οἱ Στωϊκοὶ[14] δογματίζουν νὰ τελοῦνται ἀδελφοκοιτίαι καὶ ἀρρενοβασίαι (διδασκαλίαι περὶ τῶν ὁποίων ἔχουν γεμίσει ὁλοκλήρους βιβλιοθήκας), ὥστε νὰ μανθάνουν τὴν ἀθέμιτον ἐπιμιξίαν ἀπὸ παιδικῆς ἡλικίας; Καὶ τί χρειάζεται ἄλλωστε νὰ ἀσχολοῦμαι μὲ αὐτούς, ἀφοῦ ἔχουν διακηρύξει τὰ ὅμοια περὶ τῶν λεγομένων ἀπὸ αὐτοὺς θεῶν;

7 Διότι, ἐνῶ εἶπον ὅτι εἶναι θεοί, δὲν τοὺς ὑπελόγισαν καθόλου. Ἄλλοι εἶπον ὅτι συνίστανται ἐξ ἀτόμων, ἄλλοι πάλιν ἀντιθέτως ὅτι μεταβαίνουν εἰς ἄτομα καὶ λέγουν ὅτι οἱ θεοὶ δὲν ἔχουν καθόλου περισσοτέραν δύναμιν ἀπὸ τοὺς ἀνθρώπους. Ὁ δὲ Πλάτων, ἀφοῦ εἶπεν ὅτι ὑπάρχουν θεοί, θέλει νὰ εἶναι οὗτοι ὑλικοί. Ὁ δὲ Πυθαγόρας μοχθήσας τόσον πολὺ διὰ τὸ πρόβλη-

---

10. ΠΟΛΥΒΙΟΥ 5,7,457D.
11. Πρόκειται περὶ τοῦ Μίνωος.
12. ΠΟΛΥΒΙΟΥ 5,7,460B.
13. Βλ. ΣΕΞΤΟΥ ΕΜΠΕΙΡΙΚΟΥ, *Πυρρώνειοι Ὑποτυπώσεις* 3,24.
14. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ, *Περὶ βίων φιλοσόφων* 7, 188.

*φύσιν καὶ αὐτοματισμὸν εἶναί φησιν τῶν πάντων· θεοὺς ἀνθρώπων μηδὲν φροντίζειν. Ὁπόσα τε Κλειτόμαχος ὁ Ἀκαδημαϊκὸς περὶ ἀθεότητος εἰσηγήσατο. Τί δ' οὐχὶ καὶ Κριτίας καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης λέγων· «εἴτε γἂρ εἰσιν θεοί, οὐ δύναμαι περὶ αὐτῶν λέγειν, οὔτε ὁποῖοί εἰσιν δηλῶσαι· πολλὰ γάρ ἐστιν τὰ κωλύοντά με»; Τὰ γὰρ περὶ Εὐημέρου τοῦ ἀθεωτἄτου περισσὸν ἡμῖν καὶ λέγειν. Πολλὰ γὰρ περὶ θεῶν τολμήσας φθέγξασθαι ἔσχατον καὶ τὸ ἐξόλου μὴ εἶναι θεούς, ἀλλἄ τὰ πἄντα αὐτοματισμῷ διοικεῖσθαι βούλεται. Πλάτων δέ, ὁ τοσαῦτα εἰπὼν περὶ μοναρχίας Θεοῦ καὶ ψυχῆς ἀνθρώπου, φάσκων ἀθάνατον εἶναι τὴν ψυχήν, οὐκ αὐτὸς ὕστερον εὑρίσκεται ἐναντία ἑαυτῷ λέγων, τὰς μὲν ψυχὰς μετέρχεσθαι εἰς ἑτέρους ἀνθρώπους, ἐνίων δὲ καὶ εἰς ἄλογα ζῶα χωρεῖν; Πῶς οὐ δεινὸν καὶ ἀθέμιτον δὄγμα αὐτοῦ τοῖς γε νοῦν ἔχουσι φανήσεται, ἵνα ὅ ποτε ἄνθρωπος πάλιν ἔσται λύκος ἢ κύων ἢ ὄνος ἢ ἄλλο τι ἄλογον κτῆνος; Τούτῳ ἀκόλουθα καὶ Πυθαγὄρας εὑρίσκεται φλυαρῶν, πρὸς τῷ καὶ πρόνοιαν ἐκκὄπτειν.*

*Τίνι οὖν αὐτῶν πιστεύσωμεν, Φιλήμονι τῷ κωμικῷ, λέγοντι·*

*«Οἱ γὰρ Θεὸν σέβοντες ἐλπίδας καλὰς*
*ἔχουσιν εἰς σωτηρίαν»,*

*ἢ οἷς προειρήκαμεν Εὐημέρῳ καὶ Ἐπικούρῳ καὶ Πρωταγὄρᾳ καὶ τοῖς λοιποῖς ἀρνουμένοις εἶναι θεοσέβειαν καὶ πρόνοιαν ἀναιροῦσιν;*

*Περὶ μὲν οὖν Θεοῦ καὶ προνοίας Ἀρίστων ἔφη·*
*«Θάρσει, βοηθεῖν πᾶσι μὲν τοῖς ἀξίοις*

9 Πλάτων *E* πάντων *κώδ.*

μα τῶν θεῶν καὶ ἐξετάσας τοῦτο ἀπὸ πάσης πλευρᾶς, εἰς τὸ τέλος ὁρίζει ὅτι τὰ πάντα προέρχονται ἐκ φύσεως καὶ αὐτομάτως καὶ ὅτι οἱ θεοὶ δὲν φροντίζουν καθόλου διὰ τοὺς ἀνθρώπους. Πόσα δὲν ἐδίδαξε περὶ ἀθεότητος ὁ Κλειτόμαχος ὁ Ἀκαδημαϊκός[15]; Τί δὲν εἶπεν ὁ Κριτίας[16] καὶ ὁ Πρωταγόρας ὁ Ἀβδηρίτης[17]; «Ἐὰν ὑπάρχουν θεοί, δὲν δύναμαι νὰ εἴπω περὶ αὐτῶν οὔτε νὰ δηλώσω ποῖοι εἶναι· διότι πολλὰ μὲ ἐμποδίζουν». Περιττὸν εἶναι νὰ εἴπω τὰ περὶ τοῦ ἀθεωτάτου Εὐημέρου, ὁ ὁποῖος, ἐνῶ ἐτόλμησε νὰ εἴπῃ πολλὰ περὶ θεῶν, εἰς τὸ τέλος θέλει νὰ μὴ ὑπάρχουν καθόλου θεοί, ἀλλὰ τὰ πάντα νά κυβερνῶνται αὐτομάτως. Ὁ δὲ Πλάτων, ὁ τόσον πολλά εἰπὼν περὶ μοναρχίας Θεοῦ καὶ ψυχῆς ἀνθρώπου, λέγων ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατος, δὲν ἀντιφάσκει τάχα ὁ ἴδιος εἰς ἑαυτὸν λέγων ὅτι αἱ μὲν ψυχαὶ μεταβαίνουν εἰς ἄλλους ἀνθρώπους, μερικῶν δὲ πηγαίνουν καὶ εἰς ἄλογα ζῶα[18]; Πῶς δὲν θά φανῇ εἰς ὅσους τουλάχιστον ἔχουν νοῦν ὡς δεινὸν καὶ ἀθέμιτον δόγμα, τὸ ὅτι ὁ ἄλλοτε ἄνθρωπος θὰ γίνῃ πάλιν λύκος ἢ κύων ἢ ὄνος ἢ κάποιον ἄλλο ἄλογον κτῆνος; Σύμφωνα μὲ αὐτὸν εὑρίσκεται νά φλυαρῇ καὶ ὁ Πυθαγόρας, πέραν τοῦ ὅτι ἀπορρίπτει καὶ τὴν πρόνοιαν.

Εἰς ποῖον λοιπὸν ἐξ αὐτῶν νὰ πιστεύσωμεν; εἰς τὸν κωμικὸν Φιλήμονα λέγοντα,

«διότι οἱ λατρεύοντες τὸν Θεὸν καλὰς ἐλπίδας
ἔχουν πρὸς σωτηρίαν»[19],

ἢ εἰς τοὺς προαναφερθέντας Εὐήμερον, Ἐπίκουρον, Πρωταγόραν καὶ τοὺς λοιποὺς ἀρνουμένους τὴν θεοσέβειαν καὶ ἀπορρίπτοντας τὴν πρόνοιαν;

Περὶ τοῦ Θεοῦ λοιπὸν καὶ τῆς προνοίας εἶπεν ὁ Ἀρίστων·

«Θάρρος, διότι ὁ Θεὸς συνηθίζει νά βοηθῇ

---

15. ΣΕΞΤΟΥ ΕΜΠΕΙΡΙΚΟΥ, *Πρὸς Μαθηματικοὺς* 8,8.
16. ΣΕΞΤΟΥ ΕΜΠΕΙΡΙΚΟΥ, *Πρὸς Μαθηματικοὺς* 9,54.
17. ΣΕΞΤΟΥ ΕΜΠΕΙΡΙΚΟΥ, *Πρὸς Μαθηματικοὺς* 9,56.
18. *Φαῖδρος* 248 D.
19. ΜΕΙΝΕΚΕ, *Fragmenta Comicorum Graecorum* 4, σ.60.

*εἴωθεν ὁ Θεός, τοῖς δὲ τοιούτοις σφόδρα.*
*Εἰ μὴ παρέσται προεδρία τις κειμένη*
*τοῖς ζῶσιν ὡς δεῖ, τί πλέον ἐστὶν εὐσεβεῖν;*
*Εἴη γὰρ οὕτως· ἀλλὰ καὶ λίαν ὁρῶ*
*τοὺς εὐσεβῶς μὲν ἑλομένους διεξάγειν*
*πράττοντας ἀτόπως, τοὺς δὲ μηδὲν ἕτερον ἢ*
*τὸ λυσιτελὲς τὸ κατ' αὐτοὺς μόνον,*
*ἐντιμοτέραν ἔχοντας ἡμῶν διάθεσιν.*
*Ἐπὶ τοῦ παρόντος· ἀλλὰ δεῖ πόρρω βλέπειν*
*καὶ τὴν ἁπάντων ἀναμένειν καταστροφήν.*
*Οὐχ ὃν τρόπον γὰρ παρ' ἐνίοις ἴσχυκέ τις*
*δόξα κακοήθης τῷ βίῳ τ' ἀνωφελής,*
*φορά τις ἔστ' αὐτόματος, ἣ βραβεύεται*
*ὡς ἔτυχε· ταῦτα γὰρ πάντα κρίνουσιν ἔχειν*
*ἐφόδια πρὸς τὸν ἴδιον οἱ φαῦλοι τρόπον.*
*Ἔστιν δὲ καὶ τοῖς ζῶσιν ὁσίως προεδρία,*
*καὶ τοῖς πονηροῖς ὡς προσῆκ' ἐπιτιμία·*
*χωρὶς προνοίας γίνεται γὰρ οὐδὲ ἕν».*

*Ὁπόσα τε καὶ ἄλλοι καὶ σχεδόν γε οἱ πλείους εἶπον περὶ Θεοῦ καὶ προνοίας, ὁρᾶν ἔστιν πῶς ἀνακόλουθα ἀλλήλοις ἔφασαν· οἱ μὲν γὰρ τὸ ἐξόλου Θεὸν καὶ πρόνοιαν εἶναι ἀνεῖλον, οἱ δ' αὖ συνέστησαν Θεὸν καὶ πάντα προνοίᾳ διοικεῖσθαι ὡμολόγησαν. Τὸν οὖν συνετὸν ἀκροατὴν καὶ ἀναγινώσκοντα προσέχειν ἀκριβῶς τοῖς λεγομένοις δεῖ, καθὼς καὶ ὁ Σιμύλος ἔφη·*

*«Κοινῶς ποιητὰς ἔθος ἐστὶν καλεῖν,*
*καὶ τοὺς περιττοὺς τῇ φύσει καὶ τοὺς καλούς·*
*ἔδει δὲ κρίνειν».*

20. Meineke, *Fragmenta Comicorum Graecorum* 1, σ. IX–X.

ὅλους τοὺς ἀξίους, τοὺς δὲ σπουδαιοτέρους δυνατά.
Ἐὰν δὲν θὰ ἀπόκειται κάποιον προνόμιον
εἰς τοὺς ζῶντας ὅπως πρέπει, διατί νὰ εὐσεβοῦν ἐπι-
μελέστερον;
Ἂς εἶναι οὕτως, ἀλλ' ἐγὼ βλέπω πολὺ
ὅτι οἱ προτιμήσαντες νὰ ζοῦν εὐσεβῶς
δυστυχοῦν, ἐνῶ οἱ προτιμήσαντες νὰ μὴ πράττουν
τίποτε ἄλλο παρὰ τὸ συμφέρον των μόνον
διάγουν λαμπρότερα ἀπὸ ἡμᾶς.
Τοῦτο εἶναι προσωρινόν, πρέπει δὲ νὰ βλέπωμεν μα-
κρὰν
καὶ νὰ ἀναμένωμεν τὴν καταστροφὴν τῶν πάντων.
Διότι δὲν ἐπικρατεῖ, συμφώνως μὲ τὴν κακοήθη
καὶ ἀνωφελῆ εἰς τὸν βίον δοξασίαν τὴν ὁποίαν
ἔχουν μερικοί,
αὐτόματος κίνησις κατὰ τὴν ὁποίαν παρέχεται
ἢ βράβευσις τυχαίως. Οἱ φαῦλοι πιστεύουν ὅτι ἔχουν
ὅλα αὐτὰ τὰ ἐφόδια διὰ τὴν διαγωγήν των.
Ὑπάρχουν ὅμως προνόμια διὰ τοὺς ζῶντας ὁσίως
καὶ ἐπιτίμια διὰ τοὺς πονηρούς, ὅπως ἁρμόζει.
Διότι χωρὶς πρόνοιαν τίποτε δὲν γίνεται»[20].

Καὶ ὅσα εἶπον οἱ ἄλλοι, καὶ σχεδὸν οἱ πλεῖστοι, περὶ Θεοῦ καὶ προνοίας, εἶναι δυνατὸν νὰ ἴδῃς πόσον ἀνακόλουθα εἶναι μεταξύ των· διότι ἄλλοι μὲν ἀνήρεσαν τὴν καθόλου ἀνυπαρξίαν τοῦ Θεοῦ καὶ τῆς προνοίας, ἄλλοι δὲ ἀντιθέτως παρεδέχθησαν τὸν Θεὸν καὶ ὡμολόγησαν ὅτι τὰ πάντα διοικοῦνται ὑπὸ τῆς προνοίας. Ὁ συνετὸς ἀκροατὴς λοιπὸν καὶ ἀναγνώστης πρέπει νὰ προσέχῃ ἀκριβῶς εἰς τὰ λεγόμενα, καθὼς εἶπε καὶ ὁ Σιμύλος.

«Συνηθίζομεν νὰ καλῶμεν γενικῶς ποιητὰς
καὶ τοὺς κακοὺς κατὰ τὴν φύσιν καὶ τοὺς καλούς·
πρέπει ὅμως νὰ τοὺς διακρίνωμεν»[21].

---

21. ΜΕΙΝΕΚΕ, ἔργ. μν. 2,1. σ.XIII–XIV.

*Καθάπερ καὶ ὁ Φιλήμων·*

*«Χαλεπὸν ἀκροατὴς ἀσύνετος καθήμενος·*
*ὑπὸ γὰρ ἀνοίας οὐχ ἑαυτὸν μέμφεται».*

*Χρὴ οὖν προσέχειν καὶ νοεῖν τὰ λεγόμενα κριτικῶς ἐξετάζοντα τὰ ὑπὸ τῶν φιλοσόφων καὶ τῶν λοιπῶν ποιητῶν εἰρημένα.*

8 *Ἀρνούμενοι γὰρ θεοὺς· εἶναι πάλιν ὁμολογοῦσιν αὐτοί, καὶ τούτους πράξεις ἀθέσμους ἐπιτελεῖν ἔφασαν. Καὶ πρώτου γε τοῦ Διὸς οἱ ποιηταὶ εὐφωνότερον ᾄδουσιν τὰς χαλεπὰς πράξεις. Χρύσιππος δέ, ὁ πολλὰ φλυαρήσας, πῶς οὐχὶ εὑρίσκεται σημαίνων τὴν Ἥραν στόματι μιαρῷ συγγίνεσθαι τῷ Διΐ; Τί γάρ μοι καταλέγειν τὰς ἀσελγείας τῆς μητρὸς θεῶν λεγομένης, ἢ Διὸς τοῦ Λατεαρίου διψῶντος αἵματος ἀνθρωπείου, ἢ Ἄττου τοῦ ἀποκοπτομένου, ἢ ὅτι ὁ Ζεὺς ὁ καλούμενος Τραγῳδός, κατακαύσας τὴν ἑαυτοῦ χεῖρα, ὥς φασιν, νῦν παρὰ Ῥωμαίοις θεὸς τιμᾶται; Σιγῶ τὰ Ἀντινόου τεμένη καὶ τὰ τῶν λοιπῶν καλουμένων θεῶν. Καὶ γὰρ ἱστορούμενα τοῖς συνετοῖς καταγέλωτα φέρει.*

*Ἤτοι οὖν περὶ ἀθεότητος αὐτοὶ ὑπὸ τῶν ἰδίων δογμάτων ἐλέγχονται οἱ τὰ τοιαῦτα φιλοσοφήσαντες, ἢ καὶ περὶ πολυμιξίας καὶ ἀθέσμου κοινωνίας· ἔτι μὴν καὶ ἀνθρωποβορία παρ' αὐτοῖς εὑρίσκεται δι' ὧν συνέγραψαν γραφῶν, καὶ πρώτους γε οὓς τετιμήκασιν θεοὺς ταῦτα πεπραχότας ἀναγράφουσιν.*

## *ΥΠΕΡΟΧΗ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΗΘΙΚΗΣ*

9 *Ἡμεῖς δὲ καὶ Θεὸν ὁμολογοῦμεν, ἀλλ' ἕνα, τὸν κτίστην καὶ*

1 καθάπερ *Π* καθάπερ ἐξ οὗ τινι *MB*
14 κατακαύσας *Otto* κατακλύσας *κώδ.*

Καθὼς εἶπε καὶ ὁ Φιλήμων·

«Ἀβάστακτον πρᾶγμα εἶναι νὰ παρακολουθῇ ἀσύνετος ἀκροατής·
διότι λόγω τῆς μωρίας του δὲν κατηγορεῖ ἑαυτόν»[22].

Πρέπει λοιπὸν νὰ προσέχη κανεὶς καὶ νὰ κατανοῇ τὰ λεγόμενα, ἐξετάζων κριτικῶς τὰ ἐξαγγελλόμενα ὑπὸ τῶν φιλοσόφων καὶ τῶν ἄλλων ποιητῶν.

8 Διότι, ἐνῷ ἀρνοῦνται ὅτι ὑπάρχουν θεοί, πάλιν τοὺς παραδέχονται οἱ ἴδιοι, καὶ λέγουν ὅτι οὗτοι τελοῦν πράξεις ἀθεμίτους. Καὶ πρώτου τοῦ Διὸς ὑμνοῦν δυνατώτερον τὰς τρομερὰς πράξεις οἱ ποιηταί. Ὁ δὲ Χρύσιππος ὁ πολλὰ φλυαρήσας, δὲν γνωστοποιεῖ ὅτι ἡ Ἥρα συνῆλθε μετὰ τοῦ Διὸς μὲ τὸ μιαρὸν στόμα; Τί χρειάζεται νὰ ἀπαριθμῶ τὰς ἀσελγείας τῆς λεγομένης μητρὸς τῶν θεῶν ἢ τοῦ Διὸς τοῦ Λατεαρίου τοῦ διψῶντος ἀπὸ ἀνθρώπινον αἷμα ἢ τοῦ εὐνουχιζομένου Ἄττιος; Ἢ ὅτι ὁ Ζεὺς ὁ καλούμενος τραγωδός, κατακαύσας τὴν χεῖρα του, ὅπως λέγουν, τώρα τιμᾶται ἀπὸ τοὺς Ρωμαίους ὡς Θεός; Ἀποσιωπῶ τὰ ἁγιαστήρια τοῦ Ἀντινόου[23] καὶ τὰ τῶν ἄλλων καλουμένων θεῶν. Διότι ἱστορούμενα εἰς τοὺς συνετοὺς φέρουν γέλωτα.

Λοιπὸν οἱ ὀπαδοὶ τοιούτων φιλοσοφιῶν ἀποδεικνύονται ἀπὸ τὰ δόγματά των ὅτι διδάσκουν ἢ ἀθεΐαν ἢ πολυμιξίαν καὶ ἀθεμίτους μίξεις. Προσέτι δὲ εἰς τὰ συγγράμματά των ἀπαντᾶται καὶ ἀνθρωποφαγία, πρώτους δὲ ἀναγράφουν ὡς διαπράξαντας ταύτην τοὺς θεοὺς τοὺς ὁποίους τιμοῦν.

## ΥΠΕΡΟΧΗ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΗΘΙΚΗΣ

9 Ἡμεῖς δὲ ὁμολογοῦμεν καὶ Θεόν, ἀλλὰ πάντως ἕνα, τὸν

22. KOCH, *Comicorum Graecorum Fragmenta* 143, τ.2, σ. 522.

23. Ὅλοι σχεδὸν οἱ Ἀπολογηταὶ ἐπικαλοῦνται τὴν λατρείαν τοῦ Ἀντινόου, ἐρωμένου τοῦ Ἀδριανοῦ. Φαίνεται ὅτι εἰς τὰ τεμένη αὐτοῦ διεπράττοντο ὄργια.

*ποιητὴν καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς κόσμου, καὶ προνοίᾳ τὰ πάντα διοικεῖσθαι ἐπιστάμεθα, ἀλλ' ὑπ' αὐτοῦ μόνου, καὶ νόμον ἅγιον μεμαθήκαμεν, ἀλλὰ νομοθέτην ἔχομεν τὸν ὄντως Θεόν, ὃς καὶ διδάσκει ἡμᾶς δικαιοπραγεῖν καὶ εὐσεβεῖν καὶ καλοποιεῖν.*

*Καὶ περὶ μὲν εὐσεβείας λέγει· «οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω ἢ ὅσα ἐν τῇ γῇ κάτω ἢ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. Οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου». Περὶ δὲ τοῦ καλοποιεῖν ἔφη· «τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται καὶ ἵνα μακροχρόνιος ἔσῃ ἐπὶ τῆς γῆς, ἧς ἐγὼ δίδωμί σοι Κύριος ὁ Θεός». Ἔτι περὶ δικαιοσύνης· «οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν αὐτοῦ οὐδὲ τὸν ἀγρὸν αὐτοῦ οὐδὲ τὸν παῖδα αὐτοῦ οὐδὲ τὴν παιδίσκην αὐτοῦ οὐδὲ τοῦ βοὸς αὐτοῦ οὐδὲ τοῦ ὑποζυγίου αὐτοῦ οὐδὲ παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα ἐστὶν τῷ πλησίον σου». «Οὐ διαστρέψεις κρῖμα πένητος ἐν κρίσει αὐτοῦ, ἀπὸ παντὸς ῥήματος ἀδίκου διαποστήσει, ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς, οὐ δικαιώσεις τὸν ἀσεβῆ καὶ δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς βλεπόντων καὶ λυμαίνεται ῥήματα δίκαια».*

*Τούτου μὲν οὖν τοῦ θείου νόμου διάκονος γεγένηται Μωϋσῆς, ὁ καὶ θεράπων τοῦ Θεοῦ, παντὶ μὲν τῷ κόσμῳ, παντελῶς δὲ τοῖς Ἑβραίοις, τοῖς καὶ Ἰουδαίοις καλουμένοις, οὓς κατεδουλώσατο ἀρχῆθεν βασιλεὺς Αἰγύπτου, τυγχάνοντας σπέρμα δίκαιον ἀνδρῶν θεοσεβῶν καὶ ὁσίων, Ἀβραὰμ καὶ*

24. Ἐξ. 20,3–5.
25. Ἐξ. 20,12.
26. Ἐξ. 20,13–17.

κτίστην καὶ ποιητὴν καὶ δημιουργὸν τοῦ σύμπαντος τούτου κόσμου, καὶ γνωρίζομεν ὅτι τὰ πάντα διοικοῦνται κατὰ πρόνοιαν, ἀλλὰ μόνον ὑπ' αὐτοῦ, καὶ ἐδιδάχθημεν ἅγιον νόμον, ἀλλὰ νομοθέτην ἔχομεν τὸν ὄντως Θεόν, ὁ ὁποῖος καὶ διδάσκει ἡμᾶς νὰ δικαιοπραγῶμεν, νὰ εὐσεβῶμεν, νὰ καλοποιῶμεν.

Καὶ περὶ μὲν τῆς εὐσεβείας λέγει· «δὲν θὰ ὑπάρξουν ἄλλοι θεοὶ πλὴν ἐμοῦ. Δὲν θὰ κατασκευάσης διὰ τὸν ἑαυτόν σου εἴδωλον οὔτε ὁμοίωμα ὁποιουδήποτε πράγματος ἀπὸ ὅσα εὑρίσκονται ἄνω εἰς τὸν οὐρανὸν ἢ κάτω εἰς τὴν γῆν ἢ εἰς τὰ ὕδατα ὑποκάτω τῆς γῆς. Δὲν θὰ προσκυνήσης αὐτὰ οὔτε θὰ λατρεύσης αὐτά· διότι ἐγὼ εἶμαι Κύριος ὁ Θεός σου»[24]. Περὶ δὲ τῆς ἀγαθοποιΐας εἶπεν· «τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, διὰ νὰ εὐημερῇς καὶ νὰ εἶσαι μακροχρόνιος ἐπὶ τῆς γῆς, τὴν ὁποίαν σοῦ δίδω ἐγώ, ὁ Κύριος ὁ Θεός»[25]. Ἐπίσης περὶ τῆς δικαιοσύνης· «δὲν θὰ μοιχεύσης, δὲν θὰ φονεύσης, δὲν θὰ κλέψεις, δὲν θὰ ψευδομαρτυρήσης κατὰ τοῦ πλησίον σου ψευδῆ μαρτυρίαν, δὲν θὰ ἐπιθυμήσης τὴν γυναῖκα τοῦ πλησίον σου, δὲν θὰ ἐπιθυμήσης τὴν οἰκίαν αὐτοῦ οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν ὑπηρέτην αὐτοῦ οὔτε τὴν ὑπηρέτριαν αὐτοῦ οὔτε τὸν βοῦν αὐτοῦ οὔτε τὸ ὑποζύγιον αὐτοῦ οὔτε ὁποιονδήποτε ζῶον αὐτοῦ, οὔτε ὅσα ἀνήκουν εἰς τὸν πλησίον σου»[26]. «Δὲν θὰ διαστρέψης τὸ δίκαιον τοῦ πτωχοῦ κατὰ τὴν κρίσιν του, θὰ ἀπόσχης ἀπὸ πάντα ἄδικον λόγον, δὲν θὰ φονεύσης ἀθῶον καὶ δίκαιον, δὲν θὰ δικαιώσης τὸν ἀσεβῆ καὶ δὲν θὰ λάβης δῶρα· διότι τὰ δῶρα τυφλώνουν ὀφθαλμοὺς τῶν βλεπόντων καὶ λυμαίνονται λόγους δικαίους»[27].

Τοῦ θείου τούτου νόμου λοιπὸν διάκονος ἔγινεν ὁ Μωϋσῆς, ὁ ὑπηρέτης ἐπίσης τοῦ Θεοῦ, δι' ὅλον μὲν τὸν κόσμον, κυρίως ὅμως διὰ τοὺς Ἑβραίους τοὺς καλουμένους καὶ Ἰουδαίους, τοὺς ὁποίους ἀρχικῶς ὑπεδούλωσεν ὁ βασιλεὺς τῆς Αἰγύπτου, ἐνῶ ἦσαν δίκαιοι ἀπόγονοι θεοσεβῶν καὶ ὁσίων ἀνδρῶν, τοῦ Ἀβραάμ, τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακώβ. Ὁ Θεὸς ἐνθυμηθεὶς αὐτοὺς

27. Ἐξ. 23,6–8.

*Ἰσαὰκ καὶ Ἰακώβ· ὧν ὁ Θεὸς μνησθεὶς καὶ ποιήσας θαυμάσια καὶ τέρατα διὰ Μωσέως παράδοξα ἐρρύσατο αὐτοὺς καὶ ἐξήγαγεν ἐκ τῆς Αἰγύπτου, ἀγαγὼν αὐτοὺς διὰ τῆς ἐρήμου καλουμένης· οὓς καὶ ἀπεκατέστησεν εἰς τὴν Χαναναίαν γῆν, μετέπειτα δὲ Ἰουδαίαν ἐπικληθεῖσαν, καὶ νόμον παρέθετο καὶ ἐδίδαξεν αὐτοὺς ταῦτα. Τοῦ μὲν οὖν νόμου μεγάλου καὶ θαυμασίου πρὸς πᾶσαν δικαιοσύνην ὑπάρχοντος δέκα κεφάλαια, ἃ προειρήκαμεν, τοιαῦτά ἐστιν.*

*10* *Ἐπειδὴ οὖν προσήλυτοι ἐγενήθησαν ἐν γῇ Αἰγύπτῳ ὄντες τὸ γένος Ἑβραῖοι ἀπὸ γῆς τῆς Χαλδαϊκῆς (κατ' ἐκεῖνο καιροῦ λιμοῦ γενομένης ἀνάγκην ἔσχον μετελθεῖν εἰς Αἴγυπτον σιτίων ἐκεῖ πιπρασκομένων, ἔνθα καὶ χρόνῳ παρῴκησαν· ταῦτα δὲ αὐτοῖς συνέβη κατὰ προαναφώνησιν Θεοῦ), παροικήσαντες οὖν ἐν Αἰγύπτῳ ἔτεσι τετρακοσίοις καὶ τριάκοντα, ἐν τῷ τὸν Μωσῆν μέλλειν ἐξάγειν αὐτοὺς εἰς τὴν ἔρημον ὁ Θεὸς ἐδίδαξεν αὐτοὺς διὰ τοῦ νόμου λέγων· «προσήλυτον οὐ θλίψετε· ὑμεῖς γὰρ οἴδατε τὴν ψυχὴν τοῦ προσηλύτου· αὐτοὶ γὰρ προσήλυτοι ἦτε ἐν τῇ γῇ Αἰγύπτῳ».*

*11* *Τὸν μὲν οὖν νόμον, τὸν ὑπὸ τοῦ Θεοῦ δεδομένον αὐτοῖς, ἐν τῷ παραβῆναι τὸν λαὸν ἀγαθὸς ὢν καὶ οἰκτίρμων ὁ Θεός, μὴ βουλόμενος διαφθεῖραι αὐτούς, πρὸς τῷ δεδωκέναι τὸν νόμον ὕστερον καὶ προφήτας ἐξέπεμψεν αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν, πρὸς τὸ διδάσκειν καὶ ἀναμιμνήσκειν τὰ τοῦ νόμου αὐτοὺς καὶ ἐπιστρέφειν εἰς μετάνοιαν τοῦ μηκέτι ἁμαρτάνειν. Εἰ δὲ ἐπιμένοιεν ταῖς φαύλαις πράξεσιν, προανεφώνησαν ὑποχειρίους αὐτοὺς παραδοθῆναι πάσαις ταῖς βασιλείαις τῆς γῆς· καὶ ὅτι ταῦτα αὐτοῖς ἤδη ἀπέβη φανερὸν μέν ἐστιν.*

*Περὶ μὲν οὖν τῆς μετανοίας Ἡσαΐας ὁ προφήτης κοινῶς μὲν πρὸς πάντας, διαρρήδην δὲ πρὸς τὸν λαὸν λέγει· «ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε· ἡνίκα δ'*

---

28. Ἐξ. 23,9.

καὶ πραγματοποιήσας παράδοξα θαύματα καὶ τέρατα διὰ τοῦ Μωϋσέως τοὺς ἠλευθέρωσε καὶ τοὺς ἐξήγαγεν ἀπὸ τὴν Αἴγυπτον, ὁδηγήσας αὐτοὺς διὰ τῆς λεγομένης ἐρήμου. Τούτους ἀποκατέστησεν εἰς τὴν Χαναναίαν γῆν, ἔπειτα δὲ εἰς τὴν ὀνομασθεῖσαν Ἰουδαίαν καὶ παρέδωσεν εἰς αὐτοὺς νόμον καὶ τοὺς ἐδίδαξε ταῦτα. Τοῦ νόμου λοιπόν, ὁ ὁποῖος ὑπῆρξε μέγας καὶ θαυμάσιος, ἀνεφέρετο δὲ εἰς ὁλόκληρον τὸ δίκαιον, δέκα κεφάλαια εἶναι αὐτὰ τὰ ὁποῖα προεμνημονεύσαμεν.

10 Ἐνῶ λοιπὸν εἰς τὴν Αἴγυπτον ἦσαν πάροικοι, ἐφ' ὅσον κατὰ τὸ γένος ἦσαν Ἑβραῖοι ἀπὸ τὴν Χαλδαίαν (ἠναγκάσθησαν λόγω ἐπισυμβάντος λιμοῦ κατ' ἐκείνην τὴν ἐποχὴν νὰ μετοικήσουν εἰς τὴν Αἴγυπτον ὅπου ἐπωλοῦντο τρόφιμα, ἐκεῖ δὲ ἔζησαν ἐπὶ μακρόν· συνέβησαν δὲ εἰς αὐτοὺς ταῦτα κατὰ πρόρρησιν τοῦ Θεοῦ)· παροικήσαντες λοιπὸν εἰς τὴν Αἴγυπτον ἐπὶ τετρακόσια τριάκοντα ἔτη, ὅταν ἐπρόκειτο ὁ Μωϋσῆς νὰ ἐξαγάγη αὐτοὺς εἰς τὴν ἔρημον, ὁ Θεὸς ἐδίδαξεν αὐτοὺς διὰ τοῦ νόμου ὡς ἑξῆς· «δὲν θὰ πιέσετε ξένον πάροικον· διότι σεῖς γνωρίζετε τὴν ψυχὴν τοῦ παροίκου, ἐφ' ὅσον ὑπήρξατε προσήλυτοι εἰς τὴν γῆν τῆς Αἰγύπτου»[28].

11 Ὅταν λοιπὸν ὁ λαὸς παρέβη τὸν δοθέντα εἰς αὐτοὺς ὑπὸ τοῦ Θεοῦ νόμον, ὁ Θεὸς ὡς ἀγαθὸς καὶ οἰκτίρμων, μὴ θέλων νὰ τοὺς καταστρέψη, πέραν τῆς παραδόσεως τοῦ νόμου ἔπειτα ἀπέστειλε καὶ προφήτας ἐκ τῶν ἀδελφῶν αὐτῶν, διὰ νὰ διδάσκουν καὶ ὑπενθυμίζουν αὐτοὺς τὰς διατάξεις τοῦ νόμου, ὥστε νὰ ἐπιστρέψουν εἰς μετάνοιαν καὶ νὰ μὴ ἁμαρτάνουν πλέον[29]. Προανήγγειλαν δὲ οὗτοι ὅτι, ἂν ἐπιμένουν εἰς τὰς φαύλας πράξεις, θὰ παραδοθοῦν ὑπόδουλοι εἰς ὅλας τὰς βασιλείας τῆς γῆς· καὶ ὅτι ταῦτα συνέβησαν εἰς αὐτοὺς εἶναι πλέον φανερόν.

Περὶ τῆς μετανοίας λοιπὸν ὁ προφήτης Ἡσαΐας, γενικῶς πρὸς ὅλους, ἀλλὰ ἰδιαιτέρως πρὸς τὸν λαόν, λέγει· «ζητήσατε τὸν Κύριον, καὶ ὅταν τὸν εὕρετε ἐπικαλεσθῆτε αὐτόν· ὅταν δὲ

29. Βλ. Δευτ. 18,15–19.

*ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ, καὶ ἐλεηθήσεται, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν». Καὶ ἕτερος προφήτης Ἐζεκιὴλ φησιν· «ἐὰν ἀποστραφῇ ὁ ἄνομος ἀπὸ πασῶν τῶν ἀνομιῶν ὧν ἐποίησε καὶ φυλάξῃ τὰς ἐντολάς μου καὶ ποιήσῃ τὰ δικαιώματά μου, ζωῇ ζήσεται καὶ οὐ μὴ ἀποθάνῃ· πᾶσαι αἱ ἀδικίαι αὐτοῦ ἃς ἐποίησεν οὐ μὴ μνησθῶσιν, ἀλλὰ τῇ δικαιοσύνῃ ᾗ ἐποίησε ζήσεται, ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἀνόμου, λέγει Κύριος, ὡς ἐπιστρέψαι ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν». Πάλιν ὁ Ἡσαΐας· «ἐπιστράφητε οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον, ἵνα σωθήσεσθε». Καὶ ἕτερος, Ἱερεμίας· «ἐπιστράφητε ἐπὶ Κύριον τὸν Θεὸν ὑμῶν, ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρτελλον αὐτοῦ, καὶ ἐλεηθήσεσθε».*

*Πολλὰ μὲν οὖν μᾶλλον δὲ ἀναρίθμητά ἐστιν τὰ ἐν ταῖς ἁγίαις γραφαῖς εἰρημένα περὶ μετανοίας, ἀεὶ τοῦ Θεοῦ βουλομένου ἐπιστρέφειν τὸ γένος τῶν ἀνθρώπων ἀπὸ πασῶν τῶν ἁμαρτιῶν.*

12 *Ἔτι μὴν καὶ περὶ δικαιοσύνης, ἧς ὁ νόμος εἴρηκεν, ἀκόλουθα εὑρίσκεται καὶ τὰ τῶν προφητῶν καὶ τῶν εὐαγγελίων ἔχειν, διὰ τὸ τοὺς πάντας πνευματοφόρους ἑνὶ Πνεύματι Θεοῦ λελαληκέναι.*

*Ὁ γοῦν Ἡσαΐας οὕτως ἔφη· «ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν». Ἔτι ὁ αὐτός· «διάλυε», φησίν, «πάντα σύνδεσμον ἀδικίας, λῦε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶ-*

30. Ἠσ. 55,6–8.
31. Ἰεζ. 18,21–23.

πλησιάση εἰς σᾶς, ἂς ἐγκαταλείψη ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ καὶ ὁ παράνομος ἀνὴρ τὰς βουλὰς αὐτοῦ καὶ ἂς ἐπιστρέψη εἰς τὸν Κύριον τὸν Θεὸν αὐτοῦ, καὶ θὰ ἐλεηθῆ, διότι θὰ συγχωρήση πλήρως τὰς ἁμαρτίας σας»[30]. Καὶ ἄλλος προφήτης, ὁ Ἰεζεκιήλ, λέγει· «ἐὰν ὁ παράνομος ἀποστραφῆ ἀπὸ ὅλας τὰς ἀνομίας τὰς ὁποίας διέπραξε καὶ φυλάξη τὰς ἐντολάς μου καὶ ἐφαρμόση τὰς διατάξεις μου, θὰ ζήση τὴν ζωὴν καὶ δὲν θὰ ἀποθάνη· ὅλαι αἱ ἀδικίαι τὰς ὁποίας διέπραξε θὰ λησμονηθοῦν, διότι δὲν θέλω τὸν θάνατον τοῦ ἀνόμου, λέγει ὁ Κύριος, ὥστε νὰ ἐπιστρέψη ἀπὸ τὴν πονηρὰν ὁδὸν καὶ νὰ ζήση»[31]. Πάλιν ὁ Ἠσαΐας· «ἐπιστρέψατε σεῖς οἱ σκεπτόμενοι κρύφιον καὶ ἄνομον σχέδιον, διὰ νὰ σωθῆτε»[32]. Καὶ ἄλλος, ὁ Ἰερεμίας· «ἐπιστρέψατε πρὸς τὸν Κύριον τὸν Θεόν σας, ὅπως ὁ τρυγητὴς εἰς τὴν καλάθαν αὐτοῦ, καὶ θὰ ἐλεηθῆτε»[33].

Εἶναι ὅμως πολλὰ ἢ μᾶλλον ἀναρίθμητα τὰ λεγόμενα εἰς τὰς ἁγίας Γραφὰς περὶ μετανοίας, διότι πάντοτε ὁ Θεὸς θέλει νὰ ἐπιστρέφη τὸ γένος τῶν ἀνθρώπων ἀπὸ ὅλας τὰς ἁμαρτίας.

12 Ἀλλὰ προσέτι καὶ περὶ τῆς δικαιοσύνης, περὶ τῆς ὁποίας ὡμίλησεν ὁ νόμος, τὰ τῶν προφητῶν καὶ τῶν εὐαγγελίων εἶναι σύμφωνα, διότι ὅλοι ἐλάλησαν ὡς πνευματοφόροι, ἐμπνευσμένοι ἀπὸ τὸ ἓν Πνεῦμα τοῦ Θεοῦ.

Ὁ Ἠσαΐας λοιπὸν οὕτως εἶπεν· «ἀφαιρέσατε τὰς πονηρίας ἀπὸ τὰς ψυχάς σας, μάθετε νὰ πράττετε τὸ καλόν, ἐπιζητήσατε τὸ δίκαιον, λυτρώσατε τὸν ἀδικούμενον, κρίνατε εὐμενῶς τὸ ὀρφανόν, δικαιώσατε τὴν χῆραν»[34]. Προσέτι ὁ ἴδιος· «διάλυε», λέγει, «πάντα δεσμὸν ἀδικίας, λῦε τὰ σχοινία τῶν ἐκβιαστικῶν συμβολαίων, ἀπόστειλε τοὺς συντετριμμένους μὲ συγχώρησιν, κατάστρεφε πᾶσαν ἄδικον καταγγελίαν, κομμάτιαζε τὸν ἄρτον σου εἰς τὸν πεινῶντα, εἰσάγαγε εἰς τὴν οἰκίαν σου

---

32. Ἠσ. 31,6.
33. Ἰερ. 6,9.
34. Ἠσ. 1,16 ἑ.

κόν σου· ἐὰν ἴδῃς γυμνόν, περίβαλλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψῃ. Τότε ραγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου».

Ὁμοίως καὶ Ἱερεμίας· «στῆτε, φησίν, ἐπὶ ταῖς ὁδοῖς καὶ ἴδετε, καὶ ἐπερωτήσατε ποία ἐστὶν ἡ ὁδὸς Κυρίου τοῦ Θεοῦ ἡμῶν ἡ ἀγαθή, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Κρῖμα δίκαιον κρίνετε, ὅτι ἐν τούτοις ἐστὶν τὸ θέλημα Κυρίου τοῦ Θεοῦ ὑμῶν».

Ὡσαύτως καὶ Ὠσηὲ λέγει· «φυλάσσεσθε κρῖμα καὶ ἐγγίζετε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, τὸν στερεώσαντα τὸν οὐρανὸν καὶ κτίσαντα τὴν γῆν».

Καὶ ἕτερος Ἰωὴλ ἀκόλουθα τούτοις ἔφη· «συναγάγετε λαόν, ἁγιάσατε ἐκκλησίαν, εἰσδέξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μασθούς· ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. Καὶ εὔξασθε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν ἐκτενῶς, ὅπως ἐλεήσῃ ὑμᾶς, καὶ ἐξαλείψει τὰ ἁμαρτήματα ὑμῶν».

Ὁμοίως καὶ ἕτερος Ζαχαρίας· «τάδε λέγει Κύριος παντοκράτωρ· κρῖμα ἀληθείας κρίνετε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον μὴ καταδυναστεύσητε, καὶ κακίαν ἕκαστος μὴ μνησικακείτω τῷ ἀδελφῷ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν, λέγει Κύριος παντοκράτωρ».

13 Καὶ περὶ σεμνότητος οὐ μόνον διδάσκει ἡμᾶς ὁ ἅγιος λόγος τὸ μὴ ἁμαρτάνειν ἔργῳ, ἀλλὰ καὶ μέχρις ἐννοίας, τὸ μηδὲ τῇ καρδίᾳ ἐννοηθῆναι περί τινος κακοῦ, ἢ θεασάμενον τοῖς ὀφθαλμοῖς ἀλλοτρίαν γυναῖκα ἐπιθυμῆσαι. Σολομῶν μὲν οὖν, ὁ βασι-

10 Ὠσηὲ *Otto* Μωϋσῆς *κώδ.*

πτωχοὺς ἀστέγους· ἐὰν ἴδης γυμνόν, ἔνδυέ τον καὶ μὴ περιφρονῆς τὰ μέλη τοῦ γένους σου. Τότε θὰ λάμψη πρώϊμον τὸ φῶς σου, ἡ ἴασίς σου θὰ φανῇ γρήγορα καὶ ἡ δικαιοσύνη σου θὰ προπορευθῇ ἔμπροσθέν σου»[35].

Ὁμοίως καὶ ὁ Ἰερεμίας λέγει· «σταθῆτε ἐπάνω εἰς τὰς ὁδοὺς καὶ ἴδετε, καὶ ἐρωτήσατε ποία εἶναι ἡ ὁδὸς Κυρίου τοῦ Θεοῦ ἡμῶν ἡ ἀγαθὴ καὶ βαδίζετε ἐπάνω εἰς αὐτὴν καὶ θὰ εὕρετε ἀνάπαυσιν εἰς τὰς ψυχάς σας. Κρίνετε δικαίως, διότι αὐτὸ εἶναι τὸ θέλημα Κυρίου τοῦ Θεοῦ σας»[36].

Ὡσαύτως καὶ ὁ Ὡσηὲ λέγει· «φυλάσσετε τὸ δίκαιον καὶ πλησιάζετε Κύριον τὸν Θεόν σας, ὁ ὁποῖος ἐστερέωσε τὸν οὐρανὸν καὶ ἔκτισε τὴν γῆν»[37].

Καὶ ἄλλος, ὁ Ἰωήλ, εἶπε σύμφωνα μὲ αὐτούς· «συγκεντρώσατε τὸν λαόν, ἁγιάσατε τὴν συνάθροισιν, δεχθῆτε πρεσβυτέρους, συγκεντρώσατε νήπια θηλάζοντα μαστούς· ἂς ἐξέλθη ὁ νυμφίος ἀπὸ τὸν κοιτῶνα αὐτοῦ καὶ ἡ νύμφη ἀπὸ τὴν παστάδα. Καὶ εὐχηθῆτε πρὸς Κύριον τὸν Θεόν σας ἐκτενῶς, διὰ νὰ σᾶς ἐλεήση καὶ ἐξαλείψη τὰ ἁμαρτήματά σας»[38].

Ὁμοίως καὶ ἄλλος, ὁ Ζαχαρίας· «τάδε λέγει ὁ Κύριος Παντοκράτωρ· κρίνετε μὲ ἀληθῆ κριτήρια, δεικνύετε ἔλεος καὶ οἰκτιρμὸν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, μὴ καταδυναστεύσετε χήραν καὶ ὀρφανὸν καὶ πάροικον, καὶ ἕκαστος μὴ μνησικακῇ τὴν κακίαν εἰς βάρος τοῦ ἀδελφοῦ του εἰς τὰς καρδίας σας, λέγει ὁ Κύριος Παντοκράτωρ»[39].

13 Καὶ περὶ τῆς σεμνότητος, ὄχι μόνον διδάσκει ἡμᾶς ὁ ἅγιος λόγος νὰ μὴ ἁμαρτάνωμεν δι' ἔργων, ἀλλ' οὔτε εἰς τὴν σκέψιν· νὰ μὴ γίνη οὔτε εἰς τὴν καρδίαν σκέψις περί τινος κακοῦ, νὰ μὴ ἐπιθυμήση κανεὶς ξένην γυναῖκα βλέπων μὲ τοὺς ὀφθαλμούς του. Ὁ Σολομὼν λοιπόν, ὁ βασιλεὺς καὶ προφήτης, εἶπε· «οἱ

35. Ἠσ. 58,6–8.
36. Ἱερ. 6,16.
37. Βλ. Ὡσηὲ 12,6. 13,4. Ἠσ. 41,1. 45,18. 56,1.
38. Ἰωὴλ 2,16.
39. Ζαχ. 7,9 ἑ.

*λεὺς καὶ προφήτης γενόμενος, ἔφη· «οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια· ὀρθὰς ποίει τροχιὰς σοῖς ποσίν». Ἡ δὲ εὐαγγέλιος φωνὴ ἐπιτατικώτερον διδάσκει περὶ ἁγνείας λέγουσα· «πᾶς ὁ ἰδὼν γυναῖκα ἀλλοτρίαν πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Καὶ ὁ γαμῶν, φησίν, ἀπολελυμένην ἀπὸ ἀνδρὸς μοιχεύει, καὶ ὃς ἀπολύει γυναῖκα παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχευθῆναι. Ἔτι ὁ Σολομὼν φησιν· «ἀποδήσει τις πῦρ ἐν ἱματίῳ, τὰ δὲ ἱμάτια αὐτοῦ οὐ κατακαύσει; Ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει; Οὕτως ὁ εἰσπορευόμενος πρὸς γυναῖκα ὕπανδρον οὐκ ἀθῳωθήσεται».*

14 *Καὶ τοῦ μὴ μόνον ἡμᾶς εὐνοεῖν τοῖς ὁμοφύλοις, ὡς οἴονταί τινες, Ἠσαΐας ὁ προφήτης ἔφη· «εἴπατε τοῖς μισοῦσιν ὑμᾶς καὶ τοῖς βδελυσσομένοις ἀδελφοὶ ἡμῶν ἐστε, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν». Τὸ δὲ εὐαγγέλιον· «ἀγαπᾶτε», φησίν, «τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. Ἐὰν γὰρ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποῖον μισθὸν ἔχετε; Τοῦτο καὶ οἱ λησταὶ καὶ οἱ τελῶναι ποιοῦσιν». Τοὺς δὲ ποιοῦντας τὸ ἀγαθὸν διδάσκει μὴ καυχᾶσθαι, ἵνα μὴ ἀνθρωπάρεσκοι ὦσιν. «Μὴ γνώτω» γάρ, φησίν, «ἡ χείρ σου ἡ ἀριστερὰ τί ποιεῖ ἡ χείρ σου ἡ δεξιά». Ἔτι μὴν καὶ περὶ τοῦ ὑποτάσσεσθαι ἀρχαῖς καὶ ἐξουσίαις καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν κελεύει ἡμᾶς ὁ θεῖος λόγος, «ὅπως ἤρεμον καὶ*

12 ὁμοφύλοις *E* ἀλλοφύλοις *κώδ.*

---

40. Παροιμ. 4,25 ἑ.
41. Ματθ. 5,28.
42. Ματθ. 5,32.
43. Παροιμ. 6,27–29.

ὀφθαλμοί σου ἂς βλέπουν τὰ ὀρθά, τὰ δὲ βλέφαρά σου, ἂς κατανεύουν εἰς τὰ δίκαια· κάμε ὀρθὰς τὰς πορείας τῶν ποδῶν σου»[40]. Ἡ δὲ εὐαγγελικὴ φωνὴ διδάσκει ἐπιτακτικώτερον περὶ τῆς ἁγνείας λέγουσα· «πᾶς βλέπων ξένην γυναῖκα μὲ ἐπιθυμίαν αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν εἰς τὴν καρδίαν του»[41]. «Καὶ ὁ νυμφευόμενος», λέγει, «διεζευγμένην ἀπὸ τὸν ἄνδρα της μοιχεύει, καὶ ὁ ἀπολύων τὴν γυναῖκα του δι' ἄλλον πλὴν τῆς πορνείας λόγον τὴν κάμνει νὰ μοιχεύεται»[42]. Προσέτι ὁ Σολομὼν λέγει· «θὰ βάλῃ κανεὶς πῦρ εἰς τὸ ἔνδυμά του, καὶ δὲν θὰ κατακαύσῃ τὰ ἱμάτια αὐτοῦ; Ἢ θὰ περιπατήσῃ κανεὶς ἐπάνω εἰς ἄνθρακας καιομένους, καὶ δὲν θὰ κατακαύσῃ τοὺς πόδας του; Οὕτως ὁ ἐγγίζων εἰς ὑπανδρευομένην γυναῖκα δὲν θὰ θεωρηθῇ ἀθῶος»[43].

14 Καὶ ὅτι δὲν πρέπει ἡμεῖς νὰ εὐνοῶμεν τοὺς ὁμοφύλους[44], ὅπως νομίζουν μερικοί, εἶπεν ὁ προφήτης Ἠσαΐας· «εἴπατε εἰς τοὺς μισοῦντας καὶ βδελυσσομένους ὑμᾶς, εἶσθε ἀδελφοὶ ἡμῶν, διὰ νὰ δοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου καὶ φανῇ ἡ εὐφροσύνη αὐτῶν»[45]. Τὸ δὲ εὐαγγέλιον λέγει· «ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐνοχλούντων ὑμᾶς. Ἐὰν ἀγαπᾶτε ἐκείνους οἱ ὁποῖοι σᾶς ἀγαποῦν, ποῖον μισθὸν ἔχετε; Τοῦτο πράττουν καὶ οἱ λησταὶ καὶ οἱ τελῶναι»[46]. Διδάσκει δὲ νὰ μὴ καυχῶνται οἱ πράττοντες τὸ ἀγαθόν, διὰ νὰ μὴ εἶναι ἀνθρωπάρεσκοι. Διότι λέγει «νὰ μὴ γνωρίζῃ ἡ ἀριστερὰ χείρ σου τί πράττει ἡ δεξιά»[47]. Προσέτι μάλιστα ὁ θεῖος λόγος διατάσσει ἡμᾶς νὰ ὑποτασσώμεθα εἰς ἀρχὰς καὶ ἐξουσίας καὶ νὰ εὐχώμεθα ὑπὲρ αὐτῶν, «διὰ νὰ διάγωμεν ἤρεμον καὶ ἥσυχον βίον»[48]. Καὶ διδάσκει νὰ ἀποδίδωμεν εἰς πάντας τὰ πάντα, «εἰς τὸν δι-

44. Ἡ λέξις ὁμόφυλοι τίθεται ἐδῶ ὑπὸ ἔννοιαν ὄχι φυλετικὴν ἐθνικὴν ἀλλὰ κοινωνικὴν θρησκευτικήν· ὁμόφυλοι εἶναι «οἱ ἰδικοί μας», οἱ Χριστιανοί.

45. Ἠσ. 66,5.

46. Ματθ. 5,44–46.

47. Ματθ. 6,3.

48. Α' Τιμ. 2,2.

*ἡσύχιον βίον διάγωμεν». Καὶ διδάσκει ἀποδιδόναι πᾶσιν τὰ πάντα, «τῷ τὴν τιμὴν τὴν τιμήν, τῷ τὸν φόβον τὸν φόβον, τῷ τὸν φόρον τὸν φόρον, μηδενὶ μηδὲν ὀφελεῖν ἢ μόνον τὸ ἀγαπᾶν πάντας».*

*Σκόπει τοίνυν εἰ οἱ τὰ τοιαῦτα μανθάνοντες δύνανται ἀδιαφόρως ζῆν καὶ συμφύρεσθαι ταῖς ἀθεμίτοις μίξεσιν, ἤ, τὸ ἀθεώτατον πάντων, σαρκῶν ἀνθρωπείων ἐφάπτεσθαι, ὅπου γε καὶ τὰς θέας τῶν μονομάχων ἡμῖν ἀπείρηται ὁρᾶν, ἵνα μὴ κοινωνοὶ καὶ συνίστορες φόνων γενώμεθα. Ἀλλ' οὐδὲ τὰς λοιπὰς θεωρίας ὁρᾶν χρή, ἵνα μὴ μολύνωνται ἡμῶν οἱ ὀφθαλμοὶ καὶ τὰ ὦτα, γινόμενα συμμέτοχα τῶν ἐκεῖ φωνῶν ᾀδομένων.*

*Εἰ γὰρ εἴποι τις περὶ ἀνθρωποβορίας, ἐκεῖ τὰ Θυέστου καὶ Τηρέως τέκνα ἐσθιόμενα· εἰ δὲ περὶ μοιχείας, οὐ μόνον περὶ ἀνθρώπων ἀλλὰ καὶ περὶ θεῶν, ὧν καταγγέλλουσιν εὐφώνως μετὰ τιμῶν καὶ ἄθλων παρ' αὐτοῖς τραγῳδεῖται. Μακρὰν δὲ ἀπείη Χριστιανοῖς ἐνθυμηθῆναί τι τοιοῦτο πρᾶξαι παρ' οἷς σωφροσύνη πάρεσιν, ἐγκράτεια ἀσκεῖται, μονογαμία τηρεῖται, ἁγνεία φυλάσσεται, ἀδικία ἐκπορθεῖται, ἁμαρτία ἐκριζοῦται, δικαιοσύνη μελετᾶται, νόμος πολιτεύεται, θεοσέβεια πράσσεται, Θεὸς ὁμολογεῖται, ἀλήθεια βραβεύει, χάρις συντηρεῖ, εἰρήνη περισκέπει, λόγος ἅγιος ὁδηγεῖ, σοφία διδάσκει, ζωὴ βραβεύει, Θεὸς βασιλεύει.*

*Πολλὰ μὲν οὖν ἔχοντες λέγειν περὶ τῆς καθ' ἡμᾶς πολιτείας καὶ τῶν δικαιωμάτων τοῦ Θεοῦ καὶ δημιουργοῦ πάσης κτίσεως, τὰ νῦν αὐτάρκως ἡγούμεθα ἐπιμεμνῆσθαι, εἰς τὸ καὶ σὲ ἐπιστῆσαι μάλιστα ἐξ ὧν ἀναγινώσκεις ἕως τοῦ δεῦρο, ἵνα ὡς φιλομαθὴς ἐγενήθης ἕως τοῦ δεῦρο οὕτως καὶ φιλομαθὴς ἔσῃ.*

καιούμενον τὴν τιμὴν τὴν τιμήν, εἰς τὸν δικαιούμενον τὸν φόβον τὸν φόβον, εἰς τὸν δικαιούμενον τὸν φόρον τὸν φόρον, νὰ μὴ ὀφείλωμεν εἰς κανένα τίποτε, εἰμὴ τὴν ἀγάπην πρὸς ὅλους»[49].

Σκέψου λοιπόν, ἂν οἱ διδασκόμενοι τοιαῦτα δύνανται νὰ ζοῦν ἀδιάφορα καὶ νὰ συμφύρωνται εἰς ἀθεμίτους μίξεις ἤ, τὸ ἀσεβέστερον ὅλων, νὰ ἐγγίζουν ἀνθρωπίνας σάρκας, ἐνῶ μᾶς ἀπαγορεύεται νὰ παρακολουθῶμεν ἀκόμη καὶ τὰ θεάματα τῶν μονομάχων, διὰ νὰ μὴ γινώμεθα οὔτε παρακολουθηταὶ οὔτε μάρτυρες φόνων. Ἀλλ' οὔτε τὰ ἄλλα θεάματα δὲν ἐπιτρέπεται νὰ παρακολουθῶμεν, διὰ νὰ μὴ μολύνωνται οἱ ὀφθαλμοὶ ἡμῶν καὶ τὰ ὦτα, γινόμενα συμμέτοχα τῶν φωνῶν αἱ ὁποῖαι ἀκούονται ἐκεῖ.

Ἐὰν εἴπῃ κανεὶς περὶ ἀνθρωποφαγίας, ἐκεῖ εἶναι τὰ ἐσθιόμενα τέκνα τοῦ Θυέστου καὶ τοῦ Τηρέως· ἐὰν δὲ εἴπῃ περὶ μοιχείας, ὄχι μόνον ἀνθρώπων ἀλλὰ καὶ θεῶν, ὅσα κατηγοροῦν ἡμᾶς παριστάνονται ἐκεῖ ὡς τραγωδίαι μεγαφώνως μετὰ τιμῶν καὶ βραβείων. Καὶ ἡ σκέψις νὰ διαπράξουν κάτι παρόμοιον εἶναι μακρὰν ἀπὸ τοὺς Χριστιανούς, εἰς τοὺς ὁποίους εἶναι παροῦσα ἡ σωφροσύνη, ἀσκεῖται ἡ ἐγκράτεια, τηρεῖται ἡ μονογαμία, φυλάσσεται ἡ ἁγνεία, δαμάζεται ἡ ἀδικία, ἐκριζώνεται ἡ ἁμαρτία, μελετᾶται ἡ δικαιοσύνη, ἐφαρμόζεται ὁ νόμος, πραγματοποιεῖται ἡ θεοσέβεια, ὁμολογεῖται ὁ Θεός, βραβεύει ἡ ἀλήθεια, συντηρεῖ ἡ χάρις, προστατεύει ἡ εἰρήνη, ὁδηγεῖ ὁ ἅγιος λόγος, διδάσκει ἡ σοφία, βραβεύει ἡ ζωή, βασιλεύει ὁ Θεός.

Ἂν καὶ ἔχωμεν πολλὰ νὰ εἴπωμεν περὶ τῆς διαγωγῆς ἡμῶν καὶ τῶν ἐντολῶν τοῦ Θεοῦ καὶ δημιουργοῦ ὅλης τῆς κτίσεως, πρὸς τὸ παρὸν νομίζομεν ὅτι εἶναι ἀρκετὰ τὰ μνημονευθέντα, διὰ νὰ προσέχῃς καὶ σὺ ἐπιμελέστατα εἰς ὅσα ἀναγινώσκεις, οὕτως ὥστε, ὅπως ἔγινες φιλομαθὴς ἕως τώρα, οὕτω νὰ εἶσαι φιλομαθὴς καὶ εἰς τὸ μέλλον.

---

49. Ρωμ. 13,7–8.

## *ΑΡΧΑΙΟΤΗΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΠΑΡΑΔΟΣΕΩΣ*

*16* *Θέλω δέ σοι καὶ τὰ τῶν χρόνων Θεοῦ παρέχοντος νῦν ἀκριβέστερον ἐπιδεῖξαι, ἵνα ἐπιγνῷς ὅτι οὐ πρόσφατος οὐδὲ μυθώδης ἐστὶν ὁ καθ' ἡμᾶς λόγος, ἀλλ' ἀρχαιότερος καὶ ἀληθέστερος ἁπάντων ποιητῶν καὶ συγγραφέων, τῶν ἐπ' ἀδήλῳ συγγραψάντων. Οἱ μὲν γὰρ τὸν κόσμον ἀγένητον εἰπόντες εἰς τὸ ἀπέραντον ἐχώρησαν, ἕτεροι δὲ γενητὸν φήσαντες εἶπον ὡς ἤδη μυριάδας ἐτῶν πεντεκαίδεκα ἐληλυθέναι καὶ τρισχίλια ἑβδομήκοντα πέντε ἔτη. Ταῦτα μὲν οὖν Ἀπολλώνιος ὁ Αἰγύπτιος ἱστορεῖ. Πλάτων δέ, ὁ δοκῶν Ἑλλήνων σοφώτερος γεγενῆσθαι, εἰς πόσην φλυαρίαν ἐχώρησεν! Ἐν γὰρ ταῖς Πολιτείαις αὐτοῦ ἐπιγραφομέναις ῥητῶς κεῖται· «πῶς γὰρ ἄν, εἴ γε ἔμενε τάδε οὕτω πάντα χρόνον ὡς νῦν διακοσμεῖται, καινὸν ἀνευρίσκετό ποτε ὁτιοῦν; Τοῦτο ὅτι μὲν μυριάκις μύρια ἔτη διελάνθανεν ἄρα τοὺς τότε· χίλια δ' ἀφ' οὗ γέγονεν ἢ δὶς τοσαῦτα ἔτη· τὰ μὲν ἀπὸ Δαιδάλου καταφανῆ γέγονεν, τὰ δὲ ἀπὸ Ὀρφέως, τὰ δὲ ἀπὸ Παλαμήδους». Καὶ ταῦτα εἰπὼν γεγενῆσθαι, τὰ μὲν μυριάκις μυρία ἔτη ἀπὸ κατακλυσμοῦ ἕως Δαιδάλου δηλοῖ. Καὶ πολλὰ φήσας περὶ πόλεων κατὰ κόσμον καὶ οἰκήσεων καὶ ἐθνῶν, ὁμολογεῖ εἰκασμῷ ταῦτα εἰρηκέναι. Λέγει γάρ· «εἰ γοῦν, ὦ ξένε, τὶς ἡμῖν ὑπόσχηται θεὸς ὡς, ἂν ἐπιχειρήσωμεν τῇ τῆς νομοθεσίας σκέψει, τῶν νῦν εἰρημένων...». Δηλονότι εἰκασμῷ ἔφη· εἰ δὲ εἰκασμῷ, οὐκ ἄρα ἀληθῆ ἔστιν τὰ ὑπ' αὐτοῦ εἰρημένα.*

11 πῶς γὰρ ἂν *Otto* λέγοντος *κώδ.*

14 *μετὰ* τότε *προστίθ.* ἔχειν ἀδελφοὺς γέγονεν *κώδ. ἐξοβελίζει E*

---

50. Δηλαδὴ σύνολον 153.075 ἐτῶν.

51. Τὸ χωρίον ἀπαντᾶται εἰς τοὺς *Νόμους* 3,677CD, φαίνεται δὲ ὅτι ὁ Θεό-

## ΑΡΧΑΙΟΤΗΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΠΑΡΑΔΟΣΕΩΣ

16 Θέλω δέ, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ σοῦ ἐπιδείξω ἀκριβέστερον καὶ τὰ σχετικὰ μὲ τοὺς χρόνους, διὰ νὰ γνωρίσῃς ὅτι δὲν εἶναι πρόσφατος οὔτε μυθώδης ἡ διδασκαλία ἡμῶν, ἀλλ' εἶναι ἀρχαιοτέρα καὶ ἀληθεστέρα ἀπὸ ὅλους τοὺς ποιητὰς καὶ συγγραφεῖς, οἱ ὁποῖοι ἔγραψαν δι' ἀβέβαια πράγματα. Διότι ἄλλοι μὲν χαρακτηρίσαντες τὸν κόσμον ἀγένητον προεχώρησαν εἰς τὸ ἄπειρον, ἄλλοι δὲ χαρακτηρίσαντες αὐτὸν γενητὸν εἶπον ὅτι παρῆλθον ἤδη δεκαπέντε μυριάδες ἐτῶν καὶ τρεῖς χιλιάδες ἑβδομήκοντα πέντε[50]. Ταῦτα ἱστορεῖ ὁ Ἀπολλώνιος Αἰγύπτιος. Ὁ δὲ Πλάτων, ὁ ὁποῖος θεωρεῖται ὅτι ὑπῆρξεν ὁ σοφώτερος τῶν Ἑλλήνων, εἰς πόσην φλυαρίαν ἐπεδόθη! Διότι εἰς τὸ ἔργον τὸ ἐπιγραφόμενον *Πολιτεία*[51] ρητῶς λέγεται· «ἂν τὰ πράγματα αὐτὰ ἔμενον οὕτως ὁλόκληρον τὸν χρόνον, ὅπως εἶναι τώρα ὠργανωμένα, πῶς θὰ ἀνευρίσκετο ποτὲ κάτι νέον; Μυριάκις μύρια ἔτη παρῆλθον χωρὶς νὰ τὸ ἐπισημάνουν οἱ τότε ζῶντες, χίλια δὲ ἢ δύο χιλιάδες ἔτη παρῆλθον ἀφ' ὅτου κατέστησαν γνωστὰ τὰ ἔργα τοῦ Δαιδάλου, τοῦ Ὀρφέως, τοῦ Παλαμήδου». Καὶ λέγων ταῦτα ἐννοεῖ ὅτι τὰ μυριάκις μύρια ἔτη μεσολαβοῦν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ Δαιδάλου. Καὶ πολλὰ εἰπὼν περὶ πόλεων τοῦ κόσμου, οἰκισμῶν καὶ ἐθνῶν, ὁμολογεῖ ὅτι λέγει ταῦτα κατ' εἰκασίαν. Διότι λέγει· «ἐὰν λοιπόν, φίλε, κάποιος θεὸς ὑποσχεθῇ εἰς ἡμᾶς ὅτι θὰ ἠδυνάμεθα νὰ ἐπιχειρήσωμεν διασάφησιν τῆς σκέψεως τῆς νομοθεσίας, τὰ λεχθέντα ...»[52]. Ἐπομένως ἐξεφράσθη κατ' εἰκασίαν· ἐὰν δὲ κατ' εἰκασίαν, ἄρα τὰ ὑπ' αὐτοῦ λεχθέντα δὲν εἶναι ἀληθῆ».

---

φιλος εἶχεν ὑπ' ὄψιν ἔκθεσιν εἰς τὴν ὁποίαν περιελαμβάνοντο ὅλα τὰ πολιτικοῦ περιεχομένου ἔργα τοῦ Πλάτωνος, ὡς ἡ *Πολιτεία* καὶ οἱ *Νόμοι*, διὸ καὶ τιτλοφορεῖ αὐτὴν εἰς πληθυντικὸν *Πολιτεῖαι*.

52. ΠΛΑΤΩΝΟΣ, *Νόμοι* 3,683Β.

17 *Δεῖ οὖν μᾶλλον μαθητὴν γενέσθαι τῆς νομοθεσίας τοῦ Θεοῦ, καθὼς καὶ αὐτὸς ὡμολόγηκεν ἄλλως μὴ δύνασθαι τὸ ἀκριβὲς μαθεῖν, ἐὰν μὴ ὁ Θεὸς διδάξῃ διὰ τοῦ νόμου. Τί δέ; Οὐχὶ καὶ οἱ ποιηταὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀρφεὺς ἔφασαν ἑαυτοὺς ἀπὸ θείας προνοίας μεμαθηκέναι; Ἔτι μὴν μάντεις καὶ προγνώστας γεγενῆσθαι κατὰ τοὺς συγγραφεῖς, καὶ τοὺς παρ᾽ αὐτῶν μαθόντας ἀκριβῶς συγγεγραφέναι φασίν. Πόσῳ οὖν μᾶλλον ἡμεῖς τὰ ἀληθῆ εἰσόμεθα οἱ μανθάνοντες ἀπὸ τῶν ἁγίων προφητῶν, τῶν χωρησάντων τὸ ἅγιον Πνεῦμα τοῦ Θεοῦ;*

*Διὸ σύμφωνα καὶ φίλα ἀλλήλοις οἱ πάντες προφῆται εἶπον, καὶ προεκήρυξαν τὰ μέλλοντα ἔσεσθαι παντὶ τῷ κόσμῳ. Τοὺς γὰρ φιλομαθεῖς μᾶλλον δὲ φιλαληθεῖς δύναται αὐτὴ ἡ ἔκβασις τῶν προαναπεφωνημένων πραγμάτων καὶ ἤδη ἀπηρτισμένων ἐκδιδάσκειν ὄντως ἀληθῆ εἶναι τὰ δι᾽ αὐτῶν κεκηρυγμένα περί τε χρόνων καὶ καιρῶν τῶν πρὸ κατακλυσμοῦ, ἀφ᾽ οὗ ἔκτισται ὁ κόσμος ἕως τοῦ δεῦρο, ὡς συνέστηκε τὰ ἔτη, εἰς τὸ ἐπιδεῖξαι τὴν φλυαρίαν τοῦ ψεύδους τῶν συγγραφέων, ὅτι οὐκ ἀληθῆ ἐστιν τὰ δι᾽ αὐτῶν ῥηθέντα.*

18 *Πλάτων γάρ, ὡς προειρήκαμεν, δηλώσας κατακλυσμὸν γεγενῆσθαι, ἔφη μὴ πάσης τῆς γῆς ἀλλὰ τῶν πεδίων μόνον γεγενῆσθαι, καὶ τοὺς διαφυγόντας ἐπὶ τοῖς ὑψηλοτάτοις ὄρεσιν αὐτοὺς διασεσῶσθαι. Ἕτεροι δὲ λέγουσι γεγονέναι Δευκαλίωνα καὶ Πύρραν, καὶ τούτους ἐν λάρνακι διασεσῶσθαι, καὶ τὸν Δευκαλίωνα μετὰ τὸ ἐλθεῖν ἐκ τῆς λάρνακος λίθους εἰς τὰ ὀπίσω πεπομφέναι, καὶ ἀνθρώπους ἐκ τῶν λίθων γεγενῆσθαι· ὅθεν φασὶν λαοὺς προσαγορεύεσθαι τὸ πλῆθος ἀνθρώπων. Ἄλλοι δ᾽ αὖ Κλύμενον εἶπον ἐν δευτέρῳ κατακλυσμῷ γεγονέναι.*

*Ὅτι μὲν οὖν ἄθλιοι καὶ πάνυ δυσσεβεῖς καὶ ἀνόητοι εὑρί-*

---

53. ΠΛΑΤΩΝΟΣ, *Μένων* 100.

17 Πρέπει λοιπὸν νὰ γίνῃ κανεὶς μᾶλλον μαθητὴς τῆς νομοθεσίας τοῦ Χριστοῦ, καθὼς καὶ αὐτὸς ὡμολόγησεν ὅτι ἄλλως δὲν δύναται νὰ μάθῃ τὸ ἀκριβές, ἐὰν δὲν τὸ διδάξῃ ὁ Θεὸς διὰ νόμου[53]. Μήπως ἄλλωστε οἱ ποιηταὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀρφεὺς δὲν εἶπαν ὅτι οἱ ἴδιοι ἐδιδάχθησαν ἀπὸ τῆν θείαν πρόνοιαν; Λέγουν προσέτι ὅτι κατὰ τὸν χρόνον τῶν συγγραφέων ἤκμασαν μάντεις καὶ προφῆται καὶ ὅτι οἱ ἀπὸ αὐτοὺς διδαχθέντες συνέγραψαν ἀκριβολόγως. Πόσον μᾶλλον θὰ γνωρίσωμεν τὰ ἀληθῆ ἡμεῖς οἱ ὁποῖοι μανθάνομεν ἀπὸ τοὺς ἁγίους προφήτας, οἱ ὁποῖοι ἐδέχθησαν τὸ ἅγιον Πνεῦμα τοῦ Θεοῦ;

Διὰ τοῦτο ὅλοι οἱ προφῆται εἶπαν σύμφωνα καὶ ὁμόφωνα πρὸς ἀλλήλους καὶ προεκήρυξαν τὰ μέλλοντα νὰ συμβοῦν εἰς τὸν κόσμον ὁλόκληρον. Τοὺς φιλομαθεῖς μᾶλλον δὲ φιλαλήθεις δύναται νὰ διδάξῃ ἡ ἰδία ἡ ἐκπλήρωσις τῶν προαγγελθέντων καὶ ἤδη πραγματοποιηθέντων γεγονότων ὅτι πράγματι εἶναι ἀληθῆ τὰ κηρυχθέντα ὑπ' ἐκείνων περὶ τῶν χρόνων καὶ καιρῶν πρὸ τοῦ κατακλυσμοῦ, ἀφ' ὅτου ἐκτίσθη ὁ κόσμος μέχρι σήμερον, μὲ ὑπολογισμὸν τῶν ἐτῶν, διὰ νὰ ἀποδειχθῇ ἡ ψευδὴς φλυαρία τῶν συγγραφέων, ὅτι δηλαδὴ τὰ λεχθέντα ὑπ' αὐτῶν δὲν εἶναι ἀληθῆ.

18 Πράγματι ὁ Πλάτων, ὅπως προείπομεν, δηλώσας ὅτι συνέβη κατακλυσμός, εἶπεν ὅτι οὗτος δὲν ἐπεξετάθη εἰς ὅλην τὴν γῆν, ἀλλὰ μόνον εἰς τὰς πεδιάδας καὶ ὅτι οἱ διαφυγόντες εἰς τὰ ὑψηλότατα ὄρη διεσώθησαν. Ἄλλοι δὲ λέγουν ὅτι ὑπῆρχον ὁ Δευκαλίων καὶ ἡ Πύρρα, οἱ ὁποῖοι διεσώθησαν εἰς κιβωτόν, καὶ ὅτι μετὰ τὴν ἔξοδον ἀπὸ τὴν κιβωτὸν ὁ Δευκαλίων ἔρριψε πρὸς τὰ ὀπίσω λίθους καὶ ἀπὸ τοὺς λίθους παρήχθησαν ἄνθρωποι· ἀπὸ ἐκεῖ λέγουν ὅτι ὠνομάσθησαν λαοὶ τὰ πλήθη τῶν ἀνθρώπων[54]. Ἄλλοι δὲ πάλιν εἶπαν ὅτι ὁ Κλύμενος ἔζησε κατὰ δεύτερον κατακλυσμόν.

Ὅτι δὲ εἶναι ἄθλιοι καὶ δυσεβέστατοι καὶ ἀνόητοι οἱ συγ-

---

54. Κατὰ παρετυμολογίαν ἡ λέξις λαὸς παράγεται ἀπὸ τὴν ρίζαν λα– (λᾶας, λίθος). Τοῦτο πρῶτος πράττει ὁ ΠΙΝΔΑΡΟΣ, *Ὀλυμπιονῖκαι* 9,66 ἑέ., ἀναφερόμενος εἰς τοὺς λίθους τοῦ Δευκαλίωνος.

σκονται οἱ τὰ τοιαῦτα συγγράψαντες καὶ φιλοσοφήσαντες ματαίως, ἐκ τῶν προειρημένων δῆλόν ἐστιν. Ὁ δὲ ἡμέτερος προφήτης καὶ θεράπων τοῦ Θεοῦ Μωϋσῆς, περὶ τῆς γενέσεως τοῦ κόσμου ἐξιστορῶν, διηγήσατο τίνι τρόπῳ γεγένηται ὁ κατακλυσμὸς ἐπὶ τῆς γῆς, οὐ Πύρραν οὐδὲ Δευκαλίωνα ἢ Κλύμενον μυθεύων, οὐδὲ μὴν τὰ πεδία μόνον κατακεκλύσθαι, καὶ τοὺς διαφυγόντας ἐπὶ τοῖς ὄρεσι μόνους διασεσῶσθαι.

19 Ἀλλ' οὐδὲ δεύτερον κατακλυσμὸν γεγονέναι δηλοῖ, ἀλλὰ μὲν οὖν ἔφη μηκέτι τῷ κόσμῳ κατακλυσμὸν ὕδατος ἔσεσθαι, οἷον οὔτε γέγονεν οὔτε μὴν ἔσται. Ὀκτὼ δέ φησιν τὰς πάσας ψυχὰς ἀνθρώπων ἐν τῇ κιβωτῷ διασεσῶσθαι, ἐν τῇ κατασκευασθείσῃ προστάγματι Θεοῦ, οὐχ ὑπὸ Δευκαλίωνος, ἀλλ' ὑπὸ τοῦ Νῶε ἑβραϊστί, ὃς διερμηνεύεται τῇ ἑλλάδι γλώσσῃ ἀνάπαυσις, καθὼς καὶ ἐν ἑτέρῳ λόγῳ ἐδηλώσαμεν ὡς Νῶε, καταγγέλλων τοῖς τότε ἀνθρώποις μέλλειν κατακλυσμὸν ἔσεσθαι, προεφήτευσεν αὐτοῖς λέγων· «δεῦτε, καλεῖ ὑμᾶς ὁ Θεὸς εἰς μετάνοιαν». Διὸ οἰκείως Δευκαλίων ἐκλήθη. Τούτῳ δὲ τῷ Νῶε υἱοὶ τρεῖς ἦσαν, καθῶς καὶ ἐν τῷ ἑτέρῳ τόμῳ ἐδηλώσαμεν, ὧν τὰ ὀνόματά ἐστιν Σὴμ καὶ Χὰμ καὶ Ἰάφεθ, οἷς καὶ γυναῖκες τρεῖς ἦσαν τὸ καθ' ἕνα αὐτῶν, καὶ αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ. Τοῦτον τὸν ἄνδρα ἔνιοι Εὐνοῦχον προσηγορεύκασιν. Ὀκτὼ οὖν αἱ πᾶσαι ψυχαὶ ἀνθρώπων διεσώθησαν, οἱ ἐν τῇ κιβωτῷ εὑρεθέντες.

5 μετὰ γῆς *προστίθ.* οὐ μὴν ἀλλὰ καὶ τὰ τοῦ κατακλυσμοῦ ᾧ τρόπῳ γέγονεν *κώδ. ἐξοβελίζει X ὡς γλώσσημα*

18 καθὼς καὶ ἐν τῷ ἑτέρῳ *X* καθὰ καὶ ἐν ἑτέρῳ *Π* καθὼς καὶ ἐν τῷ δευτέρῳ *MB*

---

55. Ὑποτίθεται ὅτι τὸ ἄλλο τοῦτο σύγγραμμα ἢ βιβλίον εἶναι τὸ ἀνωτέρω δεύτερον βιβλίον *Πρὸς Αὐτόλυκον* (2,30–31), ὅπου ὅμως δὲν λέγονται ὅσα ἀπαιτοῦνται ἀπὸ τὴν παραπομπήν. Προφανῶς πρόκειται πάλιν περὶ ἄλλου συγγράμματος.

γράψαντες τοιαῦτα πράγματα καὶ φιλοσοφήσαντες ματαίως, εἶναι φανερὸν ἀπὸ τὰ προλεχθέντα. Ὁ δὲ ἰδικός μας προφήτης καὶ ὑπηρέτης τοῦ Θεοῦ Μωϋσῆς, ἱστορῶν τὰ περὶ τῆς γενέσεως τοῦ κόσμου, διηγήθη μὲ ποῖον τρόπον ἔγινεν ὁ κατακλυσμός, χωρὶς νὰ μυθοπλάσση τὴν Πύρραν οὔτε τὸν Δευκαλίωνα ἢ τὸν Κλύμενον, καὶ χωρὶς νὰ λέγη ὅτι μόνον αἱ πεδιάδες ἔχουν κατακλυσθῆ καὶ ὅτι μόνον οἱ διαφυγόντες εἰς τὰ ὄρη διεσώθησαν.

19 Οὔτε ὅτι ἔγινε δεύτερος κατακλυσμὸς βεβαιώνει, ἀλλ' ἀντιθέτως λέγει ὅτι δὲν θὰ ὑπάρξη πλέον εἰς τὸν κόσμον κατακλυσμὸς ὕδατος, καθὼς πράγματι οὔτε ἔγινεν οὔτε θὰ γίνη. Λέγει δὲ ὅτι ὀκτὼ ἐν ὅλῳ ψυχαὶ ἀνθρώπων διεσώθησαν εἰς τὴν κιβωτόν, τὴν κατασκευασθεῖσαν κατόπιν προστάγματος τοῦ Θεοῦ, ὄχι ὑπὸ τοῦ Δευκαλίωνος, ἀλλ' ὑπὸ τοῦ Νῶε, ἔχοντος ἑβραϊκὸν ὄνομα, τὸ ὁποῖον εἰς τὴν ἑλληνικὴν γλῶσσαν μεταφράζεται ἀνάπαυσις, καθὼς ἐδηλώσαμεν εἰς ἄλλο σύγγραμμα[55] ὅτι ὁ Νῶε, διακηρύσσων εἰς τοὺς τότε ἀνθρώπους ὅτι πρόκειται νὰ γίνη κατακλυσμός, προεφήτευσεν εἰς αὐτοὺς λέγων· «ἐμπρός, σᾶς καλεῖ ὁ Θεὸς εἰς μετάνοιαν»[56]· διὰ τοῦτο εὐλόγως ἐκλήθη Δευκαλίων[57]. Οὗτος ὁ Νῶε εἶχε τρεῖς υἱούς, ὅπως ἐδηλώσαμεν εἰς τὸ ἄλλο βιβλίον[58], τῶν ὁποίων τὰ ὀνόματα εἶναι Σήμ, Χάμ, Ἰάφεθ, οἱ ὁποῖοι εἶχον καὶ τρεῖς γυναῖκας, ἕκαστος ἀνὰ μίαν· ἦτο δὲ καὶ αὐτὸς ὁ ἴδιος καὶ ἡ σύζυγός του. Τοῦτον τὸν ἄνδρα μερικοὶ ὀνομάζουν Εὐνοῦχον. Ὀκτὼ λοιπὸν ψυχαὶ ἀνθρώπων διεσώθησαν ἐν συνόλω, οἱ εὑρεθέντες εἰς τὴν κιβωτόν.

---

56. Τὸ χωρίον δὲν ἀπαντᾶται εἰς κανένα γνωστὸν ἔργον οἱουδήποτε συγγραφέως. Πιθανῶς πρόκειται περὶ ἐκφράσεως αὐτοῦ τούτου τοῦ Θεοφίλου.

57. Νέα παρετυμολογία, παλαιοτέρας προελεύσεως. Τὸ ὄνομα Δευκα–Λίων παράγεται ἀπὸ τὸ Δεῦτε–καλεῖν.

58. Δὲν πρόκειται περὶ τοῦ 2,30 ἑ., ὅπου δὲν γίνεται λόγος λεπτομερὴς περὶ τῶν υἱῶν τοῦ Νῶε. Ἀντιθέτως μάλιστα ἐκεῖ δὶς γίνεται παραπομπὴ εἰς ἄλλο ἱστορικὸν σύγγραμμα. Διὰ τοῦτο προετιμήσαμεν τὴν γραφὴν τοῦ χειρογράφου Π ὅπου λέγεται «ἕτερος τόμος» ἀντὶ τοῦ «δεύτερος τόμος» τῶν ἄλλων χειρογράφων.

*Τὸν δὲ κατακλυσμὸν ἐσήμανεν ὁ Μωσῆς ἐπὶ ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα γεγενῆσθαι, ἀπὸ τοῦ οὐρανοῦ τῶν καταρακτῶν ῥυέντων καὶ ἀπὸ τῶν πηγῶν τῆς ἀβύσσου βλυσάντων, ὥστε τὸ ὕδωρ ὑψωθῆναι ἐπάνω παντὸς ὄρους ὑψηλοῦ πεντεκαίδεκα πήχεις. Καὶ οὕτω διεφθάρη τὸ γένος πάντων τῶν τότε ἀνθρώπων, μόνοι δὲ διεσώθησαν οἱ φυλαχθέντες ἐν τῇ κιβωτῷ, οὓς προειρήκαμεν ὀκτώ· ἧς κιβωτοῦ τὰ λείψανα μέχρις τοῦ δεῦρο δείκνυται εἶναι ἐν τοῖς Ἀρμενικοῖς ὄρεσιν.*

*Τὰ μὲν οὖν τοῦ κατακλυσμοῦ κεφαλαιωδῶς τοιαύτην ἔχει τὴν ἱστορίαν.*

*20 Ὁ δὲ Μωσῆς ὁδηγήσας τοὺς Ἰουδαίους, ὡς ἔφθημεν εἰρηκέναι, ἐκβεβλημένους ἀπὸ γῆς Αἰγύπτου ὑπὸ βασιλέως Φαραώ, οὗ τοὔνομα Τέθμωσις, ὅς, φησίν, μετὰ τὴν ἐκβολὴν τοῦ λαοῦ ἐβασίλευσεν ἔτη εἴκοσι πέντε καὶ μῆνας δ', ὡς ὑφῄρηται Μαναιθώς. Καὶ μετὰ τοῦτον Χεβρῶν ἔτη ιγ'. Μετὰ δὲ τοῦτον Ἀμένωφις ἔτη κ', μῆνας ζ'. Μετὰ δὲ τοῦτον ἡ ἀδελφὴ αὐτοῦ Ἀμέσση ἔτη κα', μῆνα α'. Μετὰ δὲ ταύτην Μήφρης ἔτη ιβ', μῆνας θ'. Μετὰ δὲ τοῦτον Μηφραμμούθωσις ἔτη κ', μῆνας ι'. Καὶ μετὰ τοῦτον Τυθμώσης ἔτη θ', μῆνας η'. Καὶ μετὰ τοῦτον Δαμφενόφις ἔτη λ', μῆνας ι'. Μετὰ δὲ τοῦτον Ὧρος ἔτη λς', μῆνας ε'. Τούτου δὲ θυγάτηρ ἔτη ι', μῆνας γ'. Μετὰ δὲ ταύτην Μερχερὴς ἔτη ιβ', μῆνας γ'. Τοῦ δὲ Ἁρμαῒς ἔτη δ', μῆνα α'. Καὶ μετὰ τοῦτον Ῥαμέσσης ἐνιαυτόν, μῆνας δ'. Μετὰ δὲ τοῦτον Μέσσης Μιαμμοὺ ἔτη ξς' καὶ μῆνας β'. Καὶ μετὰ τοῦτον Ἀμένωφις ἔτη ιθ', μῆνας ς'. Τοῦ δὲ Θοῖσσος καὶ Ῥαμέσσης ἔτη ι', οὕς φασιν ἐσχηκέναι πολλὴν δύναμιν ἱππικῆς καὶ παράταξιν ναυτικῆς κατὰ τοὺς ἰδίους χρόνους.*

*Οἱ μὲν Ἑβραῖοι, κατ' ἐκεῖνο καιροῦ παροικήσαντες ἐν τῇ*

8 Ἀρμενικοῖς *X* Ἀραβικοῖς *κώδ.*

Ὁ δὲ κατακλυσμός, καθὼς ἐβεβαίωσεν ὁ Μωϋσῆς, διήρκεσε τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, κατὰ τὰς ὁποίας οἱ καταράκται ἐχύθησαν ἀπὸ τὸν οὐρανὸν καὶ ἀνέβλυσαν ἀπὸ τὰς πηγὰς τῆς ἀβύσσου, ὥστε τὸ ὕδωρ νὰ ὑψωθῇ δεκαπέντε πήχεις ὑπεράνω παντὸς ὑψηλοῦ ὄρους. Καὶ οὕτω διεφθάρη τὸ γένος ὅλων τῶν τότε ἀνθρώπων, μόνοι δὲ διεσώθησαν οἱ ὀκτὼ διαφυλαχθέντες εἰς τὴν κιβωτόν, τοὺς ὁποίους ἀνεφέραμεν προηγουμένως. Τῆς κιβωτοῦ ταύτης τὰ λείψανα δεικνύονται μέχρι τώρα εἰς τὰ ἀρμενικὰ ὄρη.

Αὐτὴ εἶναι συνοπτικῶς ἡ ἱστορία τοῦ κατακλυσμοῦ.

Ὁ δὲ Μωϋσῆς ὁδηγήσας τοὺς Ἰουδαίους, ὅπως εἴπαμεν πρὸ ὀλίγου, ὅταν ἐξεδιώχθησαν ἀπὸ τὴν γῆν τῆς Αἰγύπτου ὑπὸ τοῦ βασιλέως Φαραώ, τοῦ ὁποίου τὸ ὄνομα ἦτο Τέθμωσις[59] καὶ ὁ ὁποῖος, λέγουν, μετὰ τὴν ἐκβολὴν τοῦ λαοῦ ἐβασίλευσεν εἴκοσι ἔτη καὶ τέσσαρας μῆνας, ὅπως ὑπελόγισεν ὁ Μανέθων. Μετὰ τοῦτον ὁ Χεβρὼν δεκατρία ἔτη· μετὰ δὲ τοῦτον ὁ Ἀμένωφις εἴκοσιν ἔτη καὶ ἑπτὰ μῆνας· μετὰ δὲ τοῦτον ἡ ἀδελφὴ αὐτοῦ Ἀμέσση εἴκοσιν ἓν ἔτη καὶ ἕνα μῆνα· μετὰ δὲ ταύτην ὁ Μήφρης δώδεκα ἔτη καὶ ἐννέα μῆνας· μετὰ δὲ τοῦτον ὁ Μηφραμούθωσις εἴκοσιν ἔτη καὶ δέκα μῆνας· καὶ μετὰ τοῦτον ὁ Τυθμώσης ἐννέα ἔτη καὶ ὀκτὼ μῆνας· καὶ μετὰ τοῦτον ὁ Δαμφενόφις τριάκοντα ἔτη καὶ δέκα μῆνας· μετὰ δὲ τοῦτον ὁ Ὧρος τριάκοντα ἓξ ἔτη καὶ πέντε μῆνας· τούτου δὲ ἡ θυγάτηρ δέκα ἔτη καὶ τρεῖς μῆνας· μετὰ δὲ ταύτην ὁ Μερχερὴς δώδεκα ἔτη καὶ τρεῖς μῆνας· μετ' αὐτὸν δὲ ὁ Ἁρμαῒς τέσσαρα ἔτη καὶ ἕνα μῆνα· καὶ μετὰ τοῦτον ὁ Ραμέσσης ἓν ἔτος καὶ τέσσαρας μῆνας· μετὰ δὲ τοῦτον ὁ Μέσσης υἱὸς τοῦ Μιαμμοῦ ἑξήκοντα ἓξ ἔτη καὶ δύο μῆνας· καὶ μετὰ τοῦτον ὁ Ἀμένωφις δέκα ἐννέα ἔτη καὶ ἓξ μῆνας· μετ' αὐτὸν δὲ ὁ Θοῖσσος καὶ ὁ Ραμέσσης δέκα ἔτη, οἱ ὁποῖοι, λέγουν, εἶχον πολλὴν ἱππικὴν δύναμιν καὶ ἱκανὸν ναυτικὸν κατὰ τοὺς ἰδίους χρόνους.

Οἱ μὲν Ἑβραῖοι παροικήσαντες τὴν ἐποχὴν ἐκείνην εἰς

59. Τὸ ὄνομα τοῦ Φαραὼ τούτου ἦτο Ἅμασις. Ὁ Ἰώσηπος, *Κατὰ Ἀπίωνος* 1,231, τὸν ὀνομάζει Τέθμωσιν κατὰ τὸν Μανέθωνα.

*Αἰγύπτῳ καὶ καταδουλωθέντες ὑπὸ βασιλέως, ὃς προείρηται Τέθμωσις, ᾠκοδόμησαν αὐτῷ πόλεις ὀχυράς, τήν τε Πειθὼ καὶ Ραμεσσῆ καὶ Ὢν, ἥτις ἐστὶν Ἡλίου πόλις· ὥστε καὶ τῶν πόλεων τῶν τότε ὀνομαστῶν κατ' Αἰγυπτίους δείκνυνται προγενέστεροι οἱ Ἑβραῖοι ὄντες, οἳ καὶ προπάτορες ἡμῶν, ἀφ' ὧν καὶ τὰς ἱερὰς βίβλους ἔχομεν ἀρχαιοτέρας οὔσας ἁπάντων συγγραφέων, καθὼς προειρήκαμεν. Αἴγυπτος δὲ ἡ χώρα ἐκλήθη ἀπὸ τοῦ βασιλέως Σέθως· τὸ γὰρ Σέθως, φασίν, Αἴγυπτος καλεῖται.*

*Τῷ δὲ Σέθως ἦν ἀδελφὸς ᾧ ὄνομα Ἁρμαΐς· οὗτος Δαναὸς κέκληται ὁ εἰς Ἄργος ἀπὸ Αἰγύπτου παραγενόμενος, οὗ μέμνηνται οἱ λοιποὶ συγγραφεῖς ὡς πάνυ ἀρχαίου τυγχάνοντος.*

21 *Μαναιθὼς δέ, ὁ κατ' Αἰγυπτίους πολλὰ φλυαρήσας, ἔτι μὴν καὶ βλάσφημα εἰπὼν εἴς τε Μωσέα καὶ τοὺς σὺν αὐτῷ Ἑβραίους, ὡς δῆθεν διὰ λέπραν ἐκβληθέντας ἐκ τῆς Αἰγύπτου, οὐχ εὗρε τὸ ἀκριβὲς τῶν χρόνων εἰπεῖν. Ποιμένας μὲν γὰρ αὐτοὺς εἰπὼν καὶ πολεμίους Αἰγυπτίων, τὸ μὲν ποιμένας ἄκων εἶπεν, ἐλεγχόμενος ὑπὸ τῆς ἀληθείας· ἦσαν γὰρ ὄντως ποιμένες οἱ προπάτορες ἡμῶν, οἱ παροικήσαντες ἐν Αἰγύπτῳ, ἀλλ' οὐ λεπροί. Παραγενόμενοι γὰρ εἰς τὴν γῆν τὴν καλουμένην Ἱεροσόλυμα, ἔνθα καὶ μεταξὺ κατῴκησαν, δηλοῦται ᾧ τρόπῳ οἱ ἱερεῖς αὐτῶν, διὰ προστάγματος Θεοῦ προσκαρτεροῦντες τῷ ναῷ, τότε ἐθεράπευον πᾶσαν νόσον, ὥστε καὶ λεπρῶντας καὶ πάντα μῶμον ἰῶντο. Ναὸν ᾠκοδόμησε Σολομὼν ὁ βασιλεὺς τῆς Ἰουδαίας.*

*Περὶ δὲ τοῦ πεπλανῆσθαι τὸν Μαναιθὼ περὶ τῶν χρόνων ἐκ τῶν ὑπ' αὐτοῦ εἰρημένων δῆλόν ἐστιν· ἀλλὰ καὶ περὶ τοῦ βασιλέως τοῦ ἐκβαλόντος αὐτούς, Φαραὼ τοὔνομα. Οὐκέτι γὰρ αὐτῶν ἐβασίλευσεν· καταδιώξας γὰρ Ἑβραίους μετὰ τοῦ στρατεύματος κατεποντίσθη εἰς τὴν Ἐρυθρὰν θάλασσαν. Ἔτι μὴν*

τὴν Αἴγυπτον καὶ ὑποδουλωθέντες ὑπὸ τοῦ βασιλέως, τοῦ Τεθμώσεως, τοῦ ᾠκοδόμησαν ἰσχυρὰς πόλεις, τὴν Πειθώ, Τὴν Ραμεσσῆ καὶ τὴν Ὤν, δηλαδὴ τὴν Ἡλιούπολιν· ὥστε καὶ τῶν τότε ὀνομαστῶν πόλεων τῶν Αἰγυπτίων ἀποδεικνύονται προγενέστεροι οἱ Ἑβραῖοι, οἱ ὁποῖοι εἶναι καὶ προπάτορες ἡμῶν, ἀπὸ τοὺς ὁποίους ἔχομεν καὶ τὰς ἱερὰς βίβλους, τὰς ἀρχαιοτέρας ὅλων τῶν συγγραφέων, ὅπως εἴπομεν προηγουμένως. Αἴγυπτος δὲ ἐκλήθη ἡ χώρα ἀπὸ τὸν βασιλέα Σέθως· διότι τὸ Σέθως, λέγουν, σημαίνει Αἴγυπτος[60].

Ὁ δὲ Σέθως εἶχεν ἀδελφὸν καλούμενον Ἁρμαΐ· οὗτος ὠνομάσθη Δαναὸς καὶ εἶναι ὁ μεταβὰς εἰς τὸ Ἄργος ἀπὸ τὴν Αἴγυπτον, τὸν ὁποῖον μνημονεύουν οἱ ἄλλοι συγγραφεῖς ὡς πολὺ ἀρχαῖον.

21 Ὁ δὲ Μαναίθων, ὁ ὁποῖος πολλὰ ἐφλυάρησε περὶ τῶν Αἰγυπτίων, προσέτι δὲ εἶπε καὶ βλασφημίας κατὰ τοῦ Μωϋσέως καὶ τῶν μετ' αὐτοῦ Ἑβραίων, ὅτι δῆθεν ἐξεδιώχθησαν ἀπὸ τὴν Αἴγυπτον διὰ λέπραν, δὲν κατώρθωσε νὰ καθορίσῃ ἀκριβῶς τοὺς χρόνους. Τοὺς ἐχαρακτήρισεν ὡς ποιμένας καὶ ἐχθροὺς τῶν Αἰγυπτίων· καὶ τὸ μὲν ποιμένας τὸ εἶπεν ἀκουσίως, ὑποχρεούμενος ἀπὸ τὴν ἀλήθειαν· διότι πράγματι ἦσαν ποιμένες οἱ προπάτορες ἡμῶν οἱ ὁποῖοι παρῴκησαν εἰς τὴν Αἴγυπτον, ἀλλ' ὄχι λεπροί. Ὅταν ἔφθασαν εἰς τὴν χώραν τὴν καλουμένην Ἱεροσόλυμα, ὅπου κατῴκησαν ἔκτοτε, εἶναι γνωστὸν κατὰ ποῖον τρόπον οἱ ἱερεῖς αὐτῶν, διαμένοντες συνεχῶς εἰς τὸν ναὸν κατὰ πρόσταγμα τοῦ Θεοῦ, ἐφρόντιζον τότε διὰ πᾶσαν νόσον, ὥστε ἐθεράπευον καὶ λεπροὺς καὶ πᾶν κακόν. Τὸν ναὸν ᾠκοδόμησεν ὁ Σολομών, βασιλεὺς τῆς Ἰουδαίας.

Περὶ τοῦ ὅτι δὲ ἐπλανήθη ὁ Μαναίθων ὡς πρὸς τὰς χρονολογίας καθίσταται φανερὸν ἀπὸ τὰ λεχθέντα ὑπ' αὐτοῦ· ἀλλ' ἐπίσης καὶ ὡς πρὸς τὸν βασιλέα ὁ ὁποῖος τοὺς ἐξεδίωξεν, ὀνομαζομένου Φαραώ. Πράγματι οὗτος δὲν ἐβασίλευσε εἰς αὐτοὺς μετέπειτα· διότι καταδιώξας τοὺς Ἑβραίους μετὰ τοῦ στρατεύ-

60. Τοῦτο ἀναφέρει καὶ ὁ Ἰώσηπος, *Κατὰ Ἀπίωνος* 1,102· 231, κατὰ τὸν Μανέθωνα.

*καὶ οὓς ἔφη ποιμένας πεπολεμηκέναι τοὺς Αἰγυπτίους ψεύδεται. Πρὸ ἐτῶν γὰρ τριακοσίων δεκατριῶν ἐξῆλθον ἐκ τῆς Αἰγύπτου καὶ ᾤκησαν ἔκτοτε τὴν χώραν, τὴν ἔτι καὶ νῦν καλουμένην Ἰουδαίαν, πρὸ τοῦ καὶ Δαναὸν εἰς Ἄργος ἀφικέσθαι. Ὅτι δὲ τοῦτον ἀρχαιότερον ἡγοῦνται τῶν λοιπῶν κατὰ Ἕλληνας οἱ πλείους, σαφές ἐστιν. Ὥστε ὁ Μαναιθὼς δύο τάξεις ἄκων τῆς ἀληθείας μεμήνυκεν ἡμῖν διὰ τῶν αὐτοῦ γραμμάτων, πρῶτον μὲν ποιμένας αὐτοὺς ὁμολογήσας, δεύτερον εἰπὼν καὶ τὸ ἐξεληλυθέναι αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὥστε καὶ ἐκ τούτων τῶν ἀναγραφῶν δείκνυσθαι προγενέστερον εἶναι τὸν Μωσῆν καὶ τοὺς σὺν αὐτῷ ἐνακοσίους ἢ καὶ χιλίους ἐνιαυτοὺς πρὸ τοῦ Ἰλιακοῦ πολέμου.*

22 *Ἀλλὰ καὶ περὶ τοῦ ναοῦ τῆς οἰκοδομῆς τοῦ ἐν τῇ Ἰουδαίᾳ, ὃν ᾠκοδόμησεν ὁ βασιλεὺς Σολομὼν μετὰ ἔτη πεντακόσια ἑξήκοντα ἓξ τῆς Αἰγύπτου ἐξοδίας τῶν Ἰουδαίων, παρὰ Τυρίοις ἀναγέγραπται ὡς ὁ ναὸς ᾠκοδόμηται, καὶ ἐν τοῖς ἀρχείοις αὐτῶν πεφύλακται τὰ γράμματα, ἐν αἷς ἀναγραφαῖς εὑρίσκεται γεγονὼς ὁ ναὸς πρὸ τοῦ τοὺς Τυρίους τὴν Καρχηδόνα κτίσαι θᾶττον ἔτεσιν ἑκατὸν τριάκοντα τέσσαρσιν, μησὶν ὀκτὼ (ἀνεγράφη ὑπὸ Ἱερώμου τοὔνομα βασιλέως Τυρίων, υἱοῦ δὲ Ἀβειβάλου, διὰ τὸ ἐκ πατρικῆς συνηθείας τὸν Ἱέρωμον γεγενῆσθαι φίλον τοῦ Σολομῶνος, ἅμα καὶ διὰ τὴν ὑπερβάλλουσαν σοφίαν, ἣν ἔσχεν ὁ Σολομών. Ἐν γὰρ προβλήμασιν ἀλλήλους συνεχῶς ἐγύμναζον· τεκμήριον δὲ τούτου, καὶ ἀντίγραφα ἐπιστολῶν αὐτῶν φασιν μέχρι τοῦ δεῦρο παρὰ τοῖς Τυρίοις πεφυλαγμένα· γράμμα-*

61. Βεβαίως ὅμως ἄλλοι εἶναι οἱ ποιμένες καὶ ἄλλοι οἱ Ἑβραῖοι. Ὅθεν ὁ Μανέθων δὲν ἀκριβολογεῖ εἰς τὸ σημεῖον τοῦτο.

62. Βλ. ΙΩΣΗΠΟΥ, *Κατὰ Ἀπίωνος* 1,103.

ματος κατεποντίσθη είς τὴν Ἐρυθρὰν θάλασσαν. Ἐπίσης ψεύδεται καὶ ὡς πρὸς τὸ ὅτι ἐπολέμησαν πρὸς τοὺς Αἰγυπτίους αὐτοὶ τοὺς ὁποίους ὠνόμασε ποιμένας[61]. Πάντες ἐξῆλθον ἀπὸ τὴν Αἴγυπτον πρὸ ἐτῶν τριακοσίων δέκα τριῶν καὶ κατῴκησαν ἔκτοτε τὴν χώραν, τὴν καλουμένην ἀκόμη Ἰουδαίαν, πρὶν φθάση εἰς τὸ Ἄργος ὁ Δαναός[62]. Ὅτι δὲ τοῦτον οἱ πλεῖστοι θεωροῦν ἀρχαιότερον τῶν λοιπῶν προσωπικοτήτων μεταξὺ τῶν Ἑλλήνων, εἶναι σαφές. Ὅθεν ὁ Μανελθὼν ἀκουσίως παρουσίασεν εἰς ἡμᾶς δύο στοιχεῖα τῆς ἀληθείας διὰ τῶν συγγραμμάτων αὐτοῦ, πρῶτον μὲν ὁμολογήσας αὐτοὺς ποιμένας, δεύτερον δὲ εἰπὼν ὅτι ἐξῆλθον οὗτοι ἀπὸ τὴν γῆν τῆς Αἰγύπτου· ὥστε καὶ ἀπὸ αὐτὰς τὰς ἀναφορὰς δεικνύεται ὅτι ὁ Μωϋσῆς καὶ οἱ μετ' αὐτοῦ εἶναι προγενέστεροι τοῦ τρωϊκοῦ πολέμου κατὰ ἐνιακόσια ἢ χίλια ἔτη[63].

22 Ἀλλὰ καὶ περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ εἰς τὴν Ἰουδαίαν, τὸν ὁποῖον ᾠκοδόμησεν ὁ βασιλεὺς Σολομὼν πεντακόσια ἑξήκοντα ἓξ ἔτη μετὰ τὴν ἔξοδον τῶν Ἰουδαίων ἀπὸ τὴν Αἴγυπτον, ἔχει ἀναγραφῆ εἰς τὰ χρονικὰ τῶν Τυρίων, πῶς ᾠκοδομήθη ὁ ναὸς καὶ εἰς τὰ ἀρχεῖα αὐτῶν φυλάσσονται τὰ κείμενα εἰς τὰ ὁποῖα ἀναγράφεται πῶς ὁ ναὸς ἔγινε, πρὶν οἱ Τύριοι κτίσουν τὴν Καρχηδόνα ἑκατὸν τριάκοντα τέσσαρα ἔτη καὶ ὀκτὼ μῆνας ἐνωρίτερον (τοῦτο ἀνεγράφη ὑπὸ τοῦ βασιλέως τῶν Τυρίων Ἱερώμου, υἱοῦ τοῦ Ἀβειβάλου, λόγῳ τοῦ ὅτι ὁ Ἱέρωμος ἀπὸ πατρικὴν οἰκειότητα ἔγινε φίλος τοῦ Σολομῶνος, ἀλλ' ἐπίσης λόγῳ τῆς ὑπερβολικῆς σοφίας τὴν ὁποίαν διέθετεν ὁ Σολομών. Πράγματι ἠσκοῦντο συνεχῶς μὲ ἐρωτήματα πρὸς ἀλλήλους· ὡς τεκμήριον δὲ τούτου φέρουν καὶ ἀντίγραφα ἐπιστολῶν αὐτῶν φυλαγμένα ἀπὸ τοὺς Τυρίους ἕως τώρα· ἐπίσης ἔστελλον γράμματα πρὸς ἀλλήλους[64])· καθὼς μνημονεύει ὁ Μένανδρος Ἐφέ-

63. Βλ. καὶ ΤΕΡΤΥΛΛΙΑΝΟΥ, *Apologeticus* 19,2.

64. Ὁ Ἰώσηπος παραθέτει τοιαύτην ἀλληλογραφίαν, *Κατὰ Ἀπίωνος* 1,106–111, ἀλλ' αὐτὴ προφανῶς ἔχει πλασθῆ ὑπὸ τοῦ Εὐπολέμου. Βλ. ΕΥΣΕΒΙΟΥ, *Εὐαγγελικὴ Προπαρασκευὴ* 9,33.

*τά τε ἀλλήλοις διέπεμπον)· καθὼς μέμνηται Μένανδρος ὁ Ἐφέσιος, ἱστορῶν περὶ τῆς Τυρίων βασιλείας, λέγων οὕτως.*

*«Τελευτήσαντος γὰρ Ἀβειβάλου, βασιλέως Τυρίων, διεδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Ἱέρωμος, βιώσας ἔτη πεντήκοντα τρία. Τοῦτον δὲ διεδέξατο Βάζωρος, βιώσας ἔτη μγ', ὃς ἐβασίλευσεν ἔτη ιζ'. Μετὰ δὲ τοῦτον Μεθουάσταρτος, βιώσας ἔτη νδ', ἐβασίλευσεν ἔτη ιβ'. Μετὰ δὲ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀθάρυμος, βιώσας ἔτη νη', ἐβασίλευσεν ἔτη θ'. Τοῦτον ἀνεῖλεν ὁ ἀδελφὸς αὐτοῦ Ἕλλης τοὔνομα, ὃς βιώσας ἔτη ν' ἐβασίλευσεν μῆνας η'. Τοῦτον ἀνεῖλεν Ἰουθώβαλος, ἱερεὺς τῆς Ἀστάρτης, ὃς βιώσας ἔτη μ' ἐβασίλευσεν ἔτη ιβ'. Τοῦτον διεδέξατο ὁ υἱὸς αὐτοῦ Βάζωρος, ὃς βιώσας ἔτη με' ἐβασίλευσεν ἔτη ζ'. Υἱὸς δὲ τούτου Μέττηνος, βιώσας ἔτη λβ', ἐβασίλευσεν ἔτη κθ'. Τοῦτον διεδέξατο Πυγμαλίων, ὃς βιώσας ἔτη νς' ἐβασίλευσεν ἔτη ζ'. Ἐν δὲ τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἡ ἀδελφὴ αὐτοῦ εἰς Λιβύην φυγοῦσα πόλιν ᾠκοδόμησε τὴν μέχρι τοῦ δεῦρο Καρχηδονίαν καλουμένην».*

*Συνάγεται οὖν πᾶς χρόνος ἀπὸ τῆς Ἱερώμου βασιλείας μέχρι Καρχηδόνος κτίσεως ἔτη ρνε', μῆνες ὀκτώ. Τῷ δὲ δωδεκάτῳ ἔτει τῆς Ἱερώμου βασιλείας ἐν Ἱεροσολύμοις ὁ ναὸς ᾠκοδομήθη, ὥστε τὸν πάντα χρόνον γεγενῆσθαι ἀπὸ τῆς τοῦ ναοῦ οἰκοδομῆς μέχρι Καρχηδόνος κτίσεως ἔτη ρμγ' μῆνες η'.*

23 *Τῆς μὲν οὖν Φοινίκων καὶ Αἰγυπτίων μαρτυρίας, ὡς ἱστορήκασι περὶ τῶν καθ' ἡμᾶς χρόνων οἱ συγγράψαντες Μαναιθὼς*

15 ἡ ἀδελφὴ αὐτοῦ *προστίθ. X* φυγοῦσα = φυγὼν *Π*

---

65. MÜLLER, *Fragmenta Historicorum Graecorum* τ. 4,445. Πιθανῶς ὁ Θεόφιλος ἀντλεῖ ταῦτα μέσω Ἰωσήπου, *Κατὰ Ἀπίωνος* 1,116 ἑέ. *Ἰουδαϊκὴ Ἀρχαιολογία* 8,5,3, 144–146.

σιος[65], ἱστορῶν περὶ τῆς βασιλείας τῶν Τυρίων, μὲ τοὺς ἑξῆς λόγους.

«Ὅταν ἀπέθανεν ὁ Ἀβείβαλος, βασιλεὺς τῶν Τυρίων, διεδέχθη τὴν βασιλείαν ὁ υἱός αὐτοῦ Ἱέρωμος, ζήσας ἔτη πεντήκοντα τρία. Τοῦτον δὲ διεδέχθη ὁ Βάζωρος, ζήσας ἔτη τεσσαράκοντα τρία, βασιλεύσας δέκα ἑπτὰ ἔτη· μετὰ δὲ τοῦτον ὁ Μεθουάσταρτος, ζήσας πεντήκοντα τέσσαρα ἔτη[66], ἐβασίλευσε δώδεκα ἔτη· μετὰ δὲ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀθάρυμος, ζήσας πεντήκοντα ὀκτὼ ἔτη, ἐβασίλευσεν ἐννέα ἔτη. Τοῦτον ἐφόνευσεν ὁ ἀδελφός αὐτοῦ ὀνόματι Ἕλλης, ὁ ὁποῖος ζήσας πεντήκοντα ἔτη, ἐβασίλευσεν ὀκτὼ μῆνας. Τοῦτον ἐφόνευσεν ὁ Ἰουθώβαλος, ἱερεὺς τῆς Ἀστάρτης, ὁ ὁποῖος ζήσας τεσσαράκοντα ἔτη, ἐβασίλευσε δώδεκα ἔτη. Τοῦτον διεδέχθη ὁ υἱὸς αὐτοῦ Βάζωρος, ὁ ὁποῖος, ζήσας τεσσαράκοντα πέντε ἔτη, ἐβασίλευσεν ἑπτὰ ἔτη[67]. Ὁ υἱὸς δὲ τούτου Μέττηνος, ζήσας τριάκοντα δύο ἔτη, ἐβασίλευσεν εἴκοσι ἐννέα ἔτη. Τοῦτο διεδέχθη ὁ Πυγμαλίων, ὁ ὁποῖος ζήσας πεντήκοντα ἓξ ἔτη, ἐβασίλευσεν ἑπτὰ ἔτη. Κατὰ δὲ τὸ ἕβδομον ἔτος τῆς βασιλείας αὐτοῦ φυγὼν εἰς Λιβύην ᾠκοδόμησε τὴν μέχρι σήμερον καλουμένην Καρχηδόνα».

Τὸ σύνολον λοιπὸν τοῦ χρόνου ἀπὸ τῆς βασιλείας τοῦ Ἱερώμου μέχρι τῆς κτίσεως τῆς Καρχηδόνος ἀνέρχεται εἰς ἔτη ἑκατὸν πεντήκοντα πέντε καὶ μῆνας ὀκτώ. Κατὰ τὸ δωδέκατον δὲ ἔτος τῆς βασιλείας τοῦ Ἱερώμου ᾠκοδομήθη ὁ ναὸς εἰς τὰ Ἱεροσόλυμα, ὥστε τὸ σύνολον τοῦ χρόνου ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ μέχρι τῆς κτίσεως τὴς Καρχηδόνος ἀνέρχεται εἰς ἔτη ἑκατὸν τεσσαράκοντα τρία.

23 Ἀρκετὰ εἶναι τὰ λεχθέντα ἀπὸ ἡμᾶς περὶ τῆς μαρτυρίας τῶν Φοινίκων καὶ τῶν Αἰγυπτίων, ὅπως ἔχουν ἱστορήσει τὰ

66. Εἰς τὸ σημεῖον τοῦτο ὁ Θεόφιλος παρέλειψε κατὰ τὴν ἀντιγραφὴν τεμάχιον εἰς τὸ ὁποῖον ἀναφέρονται δύο βασιλεῖς, ὁ πρεσβύτερος υἱὸς τῆς τροφοῦ τοῦ Μεθουαστάρτου καὶ δολοφόνος αὐτοῦ, καὶ ὁ Ἄσταρτος.

67. Εἶναι ἀδύνατος τοιαύτη χρονολόγησις τοῦ Ἰουθωβάλου καὶ τοῦ Βαζώρου βεβαίως, διότι οὕτως ὁ πατὴρ Ἰουθώβαλος θὰ ἀπέκτα υἱὸν τὸν Βάζωρον εἰς ἡλικίαν δύο ἐτῶν.

*ὁ Αἰγύπτιος καὶ ὁ Μένανδρος ὁ Ἐφέσιος, ἔτι δὲ καὶ Ἰώσηππος ὁ ἀναγράψας τὸν Ἰουδαϊκὸν πόλεμον τὸν γενόμενον αὐτοῖς ὑπὸ Ρωμαίων, ἀρκετῶς ἤτω ἡμῖν τὰ εἰρημένα. Ἐκ γὰρ τούτων τῶν ἀρχαίων δείκνυται καὶ τὰ τῶν λοιπῶν συγγράμματα ἔσχατα εἶναι τῶν διὰ Μωσέως ἡμῖν δεδομένων γραμμάτων, ἔτι μὴν καὶ τῶν μεταξὺ προφητῶν· ὁ γὰρ ὕστερος τῶν προφητῶν γενόμενος Ζαχαρίας ὀνόματι ἤκμασεν κατὰ τὴν Δαρείου βασιλείαν.*

*Ἀλλὰ καὶ οἱ νομοθέται πάντες μεταξὺ εὑρίσκονται νομοθετοῦντες. Εἰ γάρ τις εἴποι Σόλωνα τὸν Ἀθηναῖον, οὗτος γέγονε κατὰ τοὺς χρόνους Κύρου καὶ Δαρείου τῶν βασιλέων, κατὰ τὸν χρόνον Ζαχαρίου τοῦ προειρημένου προφήτου, μεταξὺ γεγενημένου πάνυ πολλοῖς ἔτεσιν· ἤτοι καὶ περὶ Λυκούργου ἢ Δράκοντος ἢ Μίνω τῶν νομοθετῶν, τούτων ἀρχαιότητι προάγουσιν αἱ ἱεραὶ βίβλοι, ὅπου γε καὶ τοῦ Διὸς τοῦ Κρητῶν βασιλεύσαντος, ἀλλὰ μὴν καὶ τοῦ Ἰλιακοῦ πολέμου δείκνυται προάγοντα τὰ γράμματα τοῦ θείου νόμου τοῦ διὰ Μωσέως ἡμῖν δεδομένου.*

*Ἵνα δὲ ἀκριβεστέραν ποιήσωμεν τὴν ἀπόδειξιν τῶν καιρῶν καὶ χρόνων, Θεοῦ ἡμῖν παρέχοντος, οὐ μόνον τὰ μετὰ κατακλυσμὸν ἱστοροῦντες ἀλλὰ καὶ τὰ πρὸ κατακλυσμοῦ, εἰς τὸ καὶ τῶν ἁπάντων κατὰ τὸ δυνατὸν εἰπεῖν ἡμῖν τὸν ἀριθμόν, νυνὶ ποιησόμεθα, ἀναδραμόντες ἐπὶ τὴν ἀνέκαθεν ἀρχὴν τῆς τοῦ κόσμου κτίσεως, ἣν ἀνέγραψε Μωσῆς ὁ θεράπων τοῦ Θεοῦ διὰ Πνεύματος ἁγίου. Εἰπὼν γὰρ τὰ περὶ κτίσεως καὶ γενέσεως κόσμου, τοῦ πρωτοπλάστου ἀνθρώπου, καὶ τὰ τῶν ἑξῆς γεγενημένων, ἐσήμανε καὶ τὰ πρὸ κατακλυσμοῦ ἔτη γενόμενα. Ἐγὼ δ' αἰτοῦμαι χάριν παρὰ τοῦ μόνου Θεοῦ, εἰς τὸ τἀληθῆ κατὰ τὸ θέλημα αὐτοῦ πάντα ἀκριβῶς εἰπεῖν, ὅπως καὶ σὺ καὶ πᾶς ὁ τούτοις ἐντυγχάνων ὁδηγῆται ὑπὸ τῆς ἀληθείας καὶ χάριτος αὐτοῦ.*

---

68. Ὁ Σόλων ἔζησεν, ὀλίγας δεκαετίας ἐνωρίτερον. Ἡ τάσις νὰ ἀποδειχθοῦν μεταγενέστεροι κατὰ πάντα οἱ Ἕλληνες συγγραφεῖς εἶναι ἀπεριόριστος.

σχετικὰ μὲ τὰς χρονολογίας ἡμῶν οἱ συγγραφεῖς Μανέθων Αἰγύπτιος καὶ Μένανδρος Ἐφέσιος, προσέτι δὲ καὶ ὁ Ἰώσηπος ὁ περιγράψας τὸν Ἰουδαϊκὸν πόλεμον, ὁ ὁποῖος ἐπεβλήθη εἰς αὐτοὺς ὑπὸ τῶν Ρωμαίων. Διότι ἀπὸ τὰ ἀρχαῖα αὐτὰ δεικνύονται καὶ τῶν λοιπῶν τὰ συγγράμματα ὡς πολὺ μεταγενέστερα τῶν διὰ τοῦ Μωϋσέως δοθέντων εἰς ἡμᾶς συγγραμμάτων, καθὼς ἐπίσης καὶ τῶν μετέπειτα προφητῶν. Διότι ὁ τελευταῖος τῶν προφητῶν, Ζαχαρίας ὀνομαζόμενος, ἤκμασε κατὰ τὴν βασιλείαν τοῦ Δαρείου.

Ἀλλὰ καὶ ὅλοι οἱ νομοθέται εὑρίσκονται νὰ νομοθετοῦν μεταγενεστέρως. Ἐὰν ἀναφέρῃ κανεὶς τὸν Σόλωνα Ἀθηναῖον, οὗτος ἔζησε κατὰ τοὺς χρόνους τῶν βασιλέων Κύρου καὶ Δαρείου[68], κατὰ τὸν χρόνον τοῦ προειρημένου προφήτου Ζαχαρίου, ζήσαντος πολλὰ ἔτη μεταγενεστέρως[69]. Ἐὰν ἀναφέρῃ κανεὶς τοὺς νομοθέτας Λυκοῦργον, Δράκοντα ἢ Μίνωα, προηγοῦνται τούτων εἰς ἀρχαιότητα αἱ ἱεραὶ βίβλοι[70], ἀφοῦ τὰ γράμματα τοῦ θείου νόμου τοῦ δοθέντος εἰς ἡμᾶς διὰ τοῦ Μωϋσέως δεικνύονται προγενέστερα καὶ τοῦ Διός, βασιλέως τῶν Κρητῶν, ἀλλὰ καὶ τοῦ Τρωϊκοῦ πολέμου.

Διὰ νὰ κατοχυρώσωμεν δὲ ἀκριβέστερον, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, τοὺς καιροὺς καὶ τοὺς χρόνους, ἱστοροῦντες ὄχι μόνον τὰ μετὰ τὸν κατακλυσμὸν τώρα, ἀλλὰ καὶ τὰ πρὸ τοῦ κατακλυσμοῦ, ὥστε νὰ εἴπωμεν κατὰ τὸ δυνατὸν ὅλων τῶν χρόνων τὸν ἀριθμόν, θὰ κάμωμεν τώρα ἀναδρομὴν εἰς τὴν πρώτην ἀρχὴν τῆς ποιήσεως τοῦ κόσμου, τὴν ὁποίαν περιέγραψεν ὁ Μωϋσῆς, ὁ θεράπων τοῦ Θεοῦ, διὰ τοῦ ἁγίου Πνεύματος. Οὗτος, ἀφοῦ περιέγραψε τὰ περὶ κτίσεως καὶ γενέσεως τοῦ κόσμου, τοῦ πρωτοπλάστου ἀνθρώπου καὶ τὰ μετέπειτα γεγονότα, ἐδήλωσε καὶ τὰ ἔτη τὰ ὁποῖα παρῆλθον πρὸ τοῦ κατακλυσμοῦ. Ἐγὼ δὲ ζητῶν χάριν ἀπὸ τὸν μόνον Θεόν, διὰ νὰ εἴπω κατὰ τὸ θέλημα αὐτοῦ ὅλα τὰ ἀληθῆ μὲ ἀκρίβειαν, ὥστε καὶ σὺ καὶ πᾶς

---

69. Ἐννοεῖται μεταγενεστέρως τοῦ Μωϋσέως.
70. Δὲν προηγοῦνται ὅμως τοῦ Μίνωος.

*Ἄρξομαι δὴ πρῶτον ἀπὸ τῶν ἀναγεγραμμένων γενεαλογιῶν, λέγω δὲ ἀπὸ τοῦ πρωτοπλάστου ἀνθρώπου τὴν ἀρχὴν ποιησάμενος.*

*24 Ἀδὰμ ἕως οὗ ἐτέκνωσεν ἔζησεν ἔτη σλʹ, υἱὸς δὲ τούτου Σὴθ ἔτη σεʹ, υἱὸς δὲ τούτου Ἐνῶς ἔτη ρϛʹ, υἱὸς δὲ τούτου Καϊνὰν ἔτη ροʹ, υἱὸς δὲ τούτου Μαλελεὴλ ἔτη ρξεʹ, υἱὸς δὲ τούτου Ἰάρεθ ἔτη ρξβʹ, υἱὸς δὲ τούτου Ἐνὼχ ἔτη ρξεʹ, υἱὸς δὲ τούτου Μαθουσάλα ἔτη ρξζʹ, υἱὸς δὲ τούτου Λάμεχ ἔτη ρπηʹ. Τούτῳ δὲ υἱὸς ἐγενήθη ὁ προειρημένος Νῶε, ὃς ἐτέκνωσε τὸν Σὴμ ὢν ἐτῶν φʹ. Ἐπὶ τούτου ἐγένετο ὁ κατακλυσμὸς ὄντος αὐτοῦ ἐτῶν χʹ. Τὰ πάντα οὖν μέχρι κατακλυσμοῦ γεγένηται ἔτη ͵βσμβʹ.*

*Μετὰ δὲ τὸν κατακλυσμὸν εὐθέως ὁ Σὴμ ὢν ἐτῶν ρʹ ἐτέκνωσε τὸν Ἀρφαξάθ, Ἀρφαξὰθ δὲ ἐτέκνωσε Σαλὰ ὢν ἐτῶν ρλεʹ, ὁ δὲ Σαλὰ ἐτέκνωσεν ὢν ἐτῶν ρλʹ, τούτου δὲ υἱὸς Ἕβερ ὢν ἐτῶν ρλδʹ, ἀφ' οὗ καὶ τὸ γένος αὐτῶν Ἑβραῖοι προσηγορεύθησαν, τούτου δὲ υἱὸς Φαλὲγ ὢν ἐτῶν ρλʹ, τούτου δὲ υἱὸς Ραγαῦ ὢν ἐτῶν ρλβʹ τούτου δὲ υἱὸς Σεροὺχ ὢν ἐτῶν ρλʹ, τούτου δὲ υἱὸς Ναχὼρ ὢν ἐτῶν οεʹ, τούτου δὲ υἱὸς Θάρρα ὢν ἐτῶν οʹ, τούτου δὲ υἱὸς Ἀβραὰμ ὁ πατριάρχης ἡμῶν ἐτέκνωσε τὸν Ἰσαὰκ ὢν ἐτῶν ρʹ. Γίνονται οὖν μέχρι Ἀβραὰμ ἔτη ͵γσοηʹ.*

*Ἰσαὰκ ὁ προειρημένος ἕως τεκνογονίας ἔζησεν ἔτη ξʹ, ὃς ἐγέννησεν τὸν Ἰακώβ· ἔζησεν ὁ Ἰακὼβ ἕως τῆς μετοικεσίας τῆς ἐν Αἰγύπτῳ γενομένης, ἧς ἐπάνω προειρήκαμεν, ἔτη ρλʹ, ἡ δὲ παροίκησις τῶν Ἑβραίων ἐν Αἰγύπτῳ ἐγενήθη ἔτη υλʹ, καὶ*

ὁ ἀναγινώσκων ταῦτα νὰ ὁδηγῆται ὑπὸ τῆς ἀληθείας καὶ τῆς χάριτος αὐτοῦ. Θὰ ἀρχίσω δὲ πρῶτον ἀπὸ τὰς ἀναγραφομένας γενεαλογίας, καὶ μάλιστα ἀρχίζων ἀπὸ τὸν πρωτόπλαστον.

24 Ὁ Ἀδὰμ μέχρις ὅτου ἐτεκνοποίησεν ἔζησεν ἔτη διακόσια τριάκοντα, ὁ υἱὸς δὲ τούτου Σὴθ ἔτη διακόσια πέντε, ὁ υἱὸς δὲ τούτου Ἐνὼς ἔτη ἑκατὸν ἐνενήκοντα, ὁ υἱὸς δὲ τούτου Καϊνὰν ἔτη ἑκατὸν ἑβδομήκοντα, ὁ υἱὸς δὲ τούτου Μαλελεὴλ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, ὁ υἱὸς δὲ τούτου Ἰάρεθ ἔτη ἑκατὸν ἑξήκοντα δύο, ὁ υἱὸς δὲ τούτου Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, ὁ υἱὸς δὲ τούτου Μαθουσάλα ἔτη ἑκατὸν ἑξήκοντα ἑπτά, ὁ υἱὸς δὲ τούτου Λάμεχ ἑκατὸν ὀγδοήκοντα ὀκτώ. Τούτου δὲ ὁ υἱὸς ἔγινεν ὁ προειρημένος Νῶε, ὁ ὁποῖος ἐγέννησε τὸν Σήμ, ὅταν ἦτο πεντακοσίων ἐτῶν. Ἐπ' αὐτοῦ ἔγινεν ὁ κατακλυσμός, ἐνῶ ἦτο ἑξακοσίων ἐτῶν. Τὸ σύνολον λοιπὸν τῶν ἐτῶν μέχρι τοῦ κατακλυσμοῦ ἀνέρχεται εἰς δύο χιλιάδες διακόσια τεσσαράκοντα δύο.

Ἀμέσως δὲ μετὰ τὸν κατακλυσμὸν ὁ Σήμ, ἡλικίας ἑκατὸν ἐτῶν, ἐγέννησε τὸν Ἀρφαξάθ, ὁ δὲ Ἀρφαξὰθ ἐγέννησε τὸν Σαλὰ ἐνῶ ἦτο ἑκατὸν πεντήκοντα πέντε ἐτῶν, ὁ δὲ Σαλὰ ἐγέννησεν ἐνῶ ἦτο ἑκατὸν τριάκοντα ἐτῶν, τούτου δὲ ὁ υἱὸς Ἔβερ ἐνῶ ἦτο ἑκατὸν τριάκοντα τεσσάρων ἐτῶν, ἀπὸ τὸν ὁποῖον ὠνομάσθη καὶ τὸ γένος τῶν Ἑβραίων, τούτου δὲ ὁ υἱὸς Φαλὲγ ἐνῶ ἦτο ἑκατὸν τριάκοντα ἐτῶν, τούτου δὲ ὁ υἱὸς Ραγᾶν ἐνῶ ἦτο ἑκατὸν τριάκοντα δύο ἐτῶν, τούτου δὲ ὁ υἱὸς Σερούχ ἐνῶ ἦτο ἑκατὸν τριάκοντα ἐτῶν, τούτου δὲ ὁ υἱὸς Ναχὼρ ἐνῶ ἦτο ἑβδομήκοντα πέντε ἐτῶν, τούτου δὲ ὁ υἱὸς Θάρρα ἐνῶ ἦτο ἑβδομήκοντα ἐτῶν, τούτου δὲ ὁ υἱὸς Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ ἐνῶ ἦτο ἑκατὸν ἐτῶν. Γίνονται λοιπὸν μέχρι τοῦ Ἀβραὰμ ἔτη τρεῖς χιλιάδες διακόσια ἑβδομήκοντα ὀκτώ.

Ὁ προαναφερθεὶς Ἰσαὰκ μέχρι τῆς τεκνογονίας ἔζησεν ἑξήκοντα ἔτη, ἐγέννησε δὲ τὸν Ἰακώβ. Ὁ Ἰακὼβ ἔζησε μέχρι τῆς μεταναστεύσεως εἰς τὴν Αἴγυπτον, περὶ τῆς ὁποίας εἴπομεν ἀνωτέρω, ἔτη ἑκατὸν τριάκοντα, ἡ δὲ παροίκησις τῶν Ἑβραίων εἰς τὴν Αἴγυπτον διήρκεσεν ἔτη τετρακόσια τριάκοντα καὶ μετὰ

*μετὰ τὸ ἐξελθεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου ἐν τῇ ἐρήμῳ καλουμένῃ διέτριψαν ἔτη μ'. Γίνεται οὖν τὰ πάντα ἔτη, ͵γϡλη', ᾧ καιρῷ τοῦ Μωσέως τελευτήσαντος διεδέξατο ἄρχειν Ἰησοῦς υἱὸς Ναυῆ, ὃς προέστη αὐτῶν ἔτεσιν κζ'.*

*Μετὰ δὲ τὸν Ἰησοῦν τοῦ λαοῦ παραβάντος ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ ἐδούλευσαν βασιλεῖ Μεσοποταμίας Χουσαράθων ὄνομα ἔτεσιν ὀκτώ. Εἶτα μετανοήσαντος τοῦ λαοῦ κριταὶ ἐγενήθησαν αὐτοῖς. Γοθονεὴλ ἔτεσιν τεσσαράκοντα, Ἐκλὼν ἔτεσιν ιη', Ἀὼθ ἔτεσιν η'. Ἔπειτα πταισάντων αὐτῶν ἀλλόφυλοι ἐκράτησαν ἔτεσιν κ'. Ἔπειτα Δεββώρα ἔκρινεν αὐτοὺς ἔτεσιν μ'. Ἔπειτα Μαδιανῖται ἐκράτησαν αὐτῶν ἔτεσιν ζ'. Εἶτα Γεδεὼν ἔκρινεν αὐτοὺς ἔτεσιν μ', Ἀβιμέλεχ ἔτεσιν γ', Θωλὰ ἔτεσιν κγ', Ἰαεὶρ ἔτεσιν κβ'. Ἔπειτα Φυλιστιεὶμ καὶ Ἀμμανῖται ἐκράτησαν αὐτῶν ἔτεσιν ιη'. Εἶτα Ἰεφθάε ἔκρινεν αὐτοὺς ἔτεσι στ', Εσβὼν ἔτεσιν ζ', Αἰλὼν ἔτεσιν ι', Ἀβδὼν ἔτεσιν η'. Ἔπειτα ἀλλόφυλοι ἐκράτησαν αὐτῶν ἔτεσιν μ'. Εἶτα Σαμψὼν ἔκρινεν αὐτοὺς ἔτεσιν κ'. Ἔπειτα εἰρήνη ἐν αὐτοῖς ἐγένετο ἔτεσιν μ'. Εἶτα Σαμηρὰ ἔκρινεν αὐτοὺς ἐνιαυτόν, Ἠλὶς ἔτεσιν κ', Σαμουὴλ ἔτεσιν ιβ'.*

*Μετὰ δὲ τοὺς κριτὰς ἐγένοντο βασιλεῖς ἐν αὐτοῖς, πρῶτος ὀνόματι Σαούλ, ὃς ἐβασίλευσεν ἔτη κ', ἔπειτα Δαβὶδ ὁ πρόγονος ἡμῶν ἔτη μ'. Γίνεται οὖν μέχρι τῆς τοῦ Δαβὶδ βασιλείας τὰ πάντα ἔτη υϛη'.*

*Μετὰ δὲ τούτοις βασιλεύει Σολομών, ὁ καὶ τὸν ναὸν τὸν ἐν Ἰεροσολύμοις κατὰ βουλὴν Θεοῦ πρῶτος οἰκοδομήσας, δι' ἐτῶν μ', μετὰ δὲ τοῦτον Ροβοὰμ ἔτεσιν ιζ', καὶ μετὰ τοῦτον Ἀβίας ἔτεσιν ζ', καὶ μετὰ τοῦτον Ἀσὰ ἔτεσιν μα', καὶ μετὰ τοῦτον Ἰωσαφὰτ ἔτεσιν κε', μετὰ δὲ τοῦτον Ἰωρὰμ ἔτη η', μετὰ δὲ τοῦτον Ὀχοζίας ἐνιαυτόν, καὶ μετὰ τοῦτον Γοθολία ἔτεσιν ϛ',*

71. Ἐννοεῖται ἀπὸ τοῦ Ἰσαάκ.

τὴν ἔξοδον αὐτῶν ἀπὸ τὴν Αἴγυπτον ἔζησαν εἰς τὴν καλουμένην ἔρημον τεσσαράκοντα ἔτη. Ἀνῆλθον λοιπὸν ὅλα τὰ ἔτη εἰς τρεῖς χιλιάδας ἐννεακόσια τριάκοντα ὀκτώ, καθ' ὃν χρόνον ἀποθανόντος τοῦ Μωϋσέως διεδέχθη τὴν ἐξουσίαν ὁ Ἰησοῦς υἱὸς τοῦ Δαβίδ, ὁ ὁποῖος ἡγήθη αὐτῶν ἔτη εἴκοσι ἑπτά.

Μετὰ δὲ τὸν Ἰησοῦν, ἀφοῦ ὁ λαὸς παρέβη τὰς ἐντολὰς τοῦ Θεοῦ, ὑπεδουλώθησαν εἰς τὸν βασιλέα τῆς Μεσοποταμίας Χουσαράθων ὀκτὼ ἔτη. Ἔπειτα, ἀφοῦ ὁ λαὸς μετενόησεν, ἀνεδείχθησαν εἰς αὐτοὺς κριταί. Ὁ Γοθονεὴλ ἔτη τεσσαράκοντα, ὁ Ἐκλὼν ἔτη δέκα ὀκτώ, ὁ Ἀὼθ ἔτη ὀκτώ. Ἔπειτα, ἀφοῦ ἔπταισαν, ἐκυριάρχησαν αὐτῶν ἀλλόφυλοι εἴκοσιν ἔτη. Ἔπειτα ἐκυριάρχησαν αὐτῶν οἱ Μαδιανῖται ἑπτὰ ἔτη. Ἔπειτα ἐκυβέρνησεν αὐτοὺς ὁ Γεδεὼν τεσσαράκοντα ἔτη, ὁ Ἀβιμέλεχ τρία ἔτη, ὁ Θωλὰ εἴκοσι τρία ἔτη, ὁ Ἰαεὶρ εἴκοσι δύο ἔτη. Ἔπειτα ἐκυριάρχησαν αὐτῶν οἱ Φιλισταῖοι καὶ οἱ Ἀμμανῖται δέκα ἑπτὰ ἔτη. Ἔπειτα ἐκυβέρνησεν αὐτοὺς ὁ Ἰεφθὰ ἓξ ἔτη, ὁ Ἐσβὼν ἑπτὰ ἔτη, ὁ Αἰλὼν δέκα ἔτη, ὁ Ἀβδὼν ὀκτὼ ἔτη. Ἔπειτα ἐκυριάρχησαν αὐτῶν οἱ ἀλλόφυλοι τεσσαράκοντα ἔτη. Ἔπειτα ἐκυβέρνησεν αὐτοὺς ὁ Σαμψὼν εἴκοσιν ἔτη. Ἔπειτα ἐπεκράτησεν εἰς αὐτοὺς εἰρήνη τεσσαράκοντα ἔτη. Ἔπειτα ἐκυβέρνησαν αὐτοὺς ὁ Σαμηρὰ ἓν ἔτος, ὁ Ἠλὶς εἴκοσιν ἔτη, ὁ Σαμουὴλ δώδεκα ἔτη.

Μετὰ δὲ τοὺς κριτὰς ἐγκατεστάθησαν εἰς αὐτοὺς βασιλεῖς, πρῶτος ὁ ὀνομαζόμενος Σαούλ, ὁ ὁποῖος ἐβασίλευσεν εἴκοσιν ἔτη, ἔπειτα ὁ Δαβίδ, ὁ πρόγονος ἡμῶν, τεσσαράκοντα ἔτη. Μέχρι τῆς βασιλείας τοῦ Δαβὶδ λοιπὸν τὸ σύνολον τῶν ἐτῶν ἀνέρχεται εἰς τετρακόσια ἐνενήκοντα ὀκτώ[71].

Μετὰ δὲ τούτους βασιλεύει ὁ Σολομών, ὁ πρῶτος οἰκοδομήσας τὸν ναὸν εἰς τὰ Ἱεροσόλυμα κατὰ τὴν θέλησιν τοῦ Θεοῦ, βασιλεύσας τεσσαράκοντα ἔτη, μετὰ δὲ τοῦτον ὁ Ροβοὰμ δέκα ἑπτὰ ἔτη, καὶ μετὰ τοῦτον ὁ Ἀβίας ἑπτὰ ἔτη, καὶ μετὰ τοῦτον ὁ Ἀσὰ τεσσαράκοντα ἓν ἔτη, καὶ μετὰ τοῦτον ὁ Ἰωσαφὰτ εἴκοσι πέντε ἔτη, μετὰ δὲ τοῦτον ὁ Ἰωρὰμ ὀκτὼ ἔτη, μετὰ δὲ τοῦτον ὁ Ὀχοζίας ἓν ἔτος, καὶ μετὰ τοῦτον ἡ Γοθολία ἓξ ἔτη, μετὰ δὲ

*μετὰ δὲ ταύτην Ἰωὰς ἔτεσιν μ', καὶ μετὰ τοῦτον Ἀμεσίας ἔτεσιν λθ', καὶ μετὰ τοῦτον Ὀζίας ἔτεσιν νβ', μετὰ δὲ τοῦτον Ἰωαθὰμ ἔτεσιν ιστ', μετὰ δὲ τοῦτον Ἄχαζ ἔτεσιν ιζ', καὶ μετὰ τοῦτον Ἐζεκίας ἔτεσιν κθ', μετὰ δὲ τοῦτον Μανασσὴς ἔτεσιν νε', μετὰ δὲ τοῦτον Ἀμὼς ἔτεσιν β', μετὰ δὲ τοῦτον Ἰωσίας ἔτεσιν λα', μετὰ δὲ τοῦτον Ὠχὰς μῆνας γ', μετὰ δὲ τοῦτον Ἰωακεὶμ ἔτη ια', ἔπειτα Ἰωακεὶμ ἕτερος μῆνας γ' ἡμέρας ι', μετὰ δὲ τοῦτον Σεδεκίας ἔτη ια'.*

*Μετὰ δὲ τούτους τοὺς βασιλεῖς, διαμένοντος τοῦ λαοῦ ἐπὶ τοῖς ἁμαρτήμασι καὶ μὴ μετανοοῦντος, κατὰ προφητείαν Ἰερεμίου ἀνέβη εἰς τὴν Ἰουδαίαν βασιλεὺς Βαβυλῶνος ὄνομα Ναβουχοδονόσορ. Οὗτος μετῴκησε τὸν λαὸν τῶν Ἰουδαίων εἰς Βαβυλῶνα, καὶ τὸν ναὸν κατέστρεψεν, ὃν ᾠκοδομήκει Σολομών. Ἐν δὲ τῇ μετοικεσίᾳ Βαβυλῶνος ὁ λαὸς ἐποίησεν ἔτη ο'. Γίνεται οὖν μέχρι τῆς παροικεσίας ἐν γῇ Βαβυλῶνος τὰ πάντα ἔτη ͵δπνδ' μῆνες στ' ἡμέραι ι'.*

*Ὃν τρόπον δὲ ὁ Θεὸς προεῖπε διὰ Ἰερεμίου τοῦ προφήτου τὸν λαὸν αἰχμαλωτισθῆναι εἰς Βαβυλῶνα, οὕτω προεσήμανε καὶ τὸ πάλιν ἐπανελθεῖν αὐτοὺς εἰς τὴν γῆν αὐτῶν μετὰ ο' ἔτη. Τελειουμένων οὖν ο' ἐτῶν γίνεται Κῦρος βασιλεὺς Περσῶν, ὃς κατὰ τὴν προφητείαν Ἰερεμίου δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐκήρυξεν κελεύων δι' ἐγγράφων τοὺς Ἰουδαίους πάντας, τοὺς ὄντας ἐν τῇ βασιλείᾳ αὐτοῦ, ἐπιστρέφειν εἰς τὴν ἑαυτῶν χώραν καὶ τῷ Θεῷ ἀνοικοδομεῖν τὸν ναόν, ὃν καθηρήκει βασιλεὺς Βαβυλῶνος ὁ προειρημένος. Πρὸς τούτοις δὲ ὁ Κῦρος κατ' ἐγκέλευσιν τοῦ Θεοῦ προσέταξε Σαβεσσάρῳ καὶ*

20 ο' *Χ* ν' *κώδ.*

---

72. Ἱερ. 6,22. 16,15.

73. Ὁ Κῦρος ἔγινεν ἐνωρίτερον βασιλεὺς τῶν Περσῶν, ἀλλ' ἐδῶ ἡ βασιλεία του ὑπολογίζεται ἀπὸ τῆς καταλύσεως τοῦ Βαβυλωνιακοῦ κράτους τὸ 539. Ἡ

ταύτην ὁ Ἰωὰς τεσσαράκοντα ἔτη, καὶ μετὰ τοῦτον ὁ Ἀμεσίας τριάκοντα ἐννέα ἔτη, καὶ μετὰ τοῦτον ὁ Ὀζίας πεντήκοντα δύο ἔτη, καὶ μετὰ τοῦτον ὁ Ἰωαθὰμ δέκα ἓξ ἔτη, μετὰ δὲ τοῦτον Ἄχαζ δέκα ἑπτὰ ἔτη, καὶ μετὰ τοῦτον ὁ Ἐζεκίας εἴκοσιν ἐννέα ἔτη, μετὰ δὲ τοῦτον ὁ Μανασσῆς πεντήκοντα πέντε ἔτη, μετὰ δὲ τοῦτον ὁ Ὠχὰζ τρεῖς μῆνας, μετὰ δὲ τοῦτον ὁ Ἰωακεὶμ ἕνδεκα ἔτη, ἔπειτα ἄλλος Ἰωακεὶμ τρεῖς μῆνας δέκα ἡμέρας, μετὰ δὲ τοῦτον ὁ Σεδεκίας ἕνδεκα ἔτη.

Μετὰ δὲ τούτους τοὺς βασιλεῖς, ἐπειδὴ ὁ λαὸς ἐνέμενεν εἰς τὰ ἁμαρτήματα καὶ δὲν μετενόει, κατὰ τὴν προφητείαν τοῦ Ἰερεμίου ἀνέβη εἰς τὴν Ἰουδαίαν ὁ βασιλεὺς τῆς Βαβυλῶνος ὀνόματι Ναβουχοδονόσορ[72]. Οὗτος ἐξετόπισε τὸν λαὸν τῶν Ἰουδαίων εἰς τὴν Βαβυλῶνα καὶ κατέστρεψε τὸν ναόν, τὸν ὁποῖον εἶχεν οἰκοδομήσει ὁ Σολομών. Εἰς δὲ τὴν ἐξορίαν τῆς Βαβυλῶνος ἔζησεν ὁ λαὸς ἑβδομήκοντα ἔτη. Συνεπληρώθησαν λοιπὸν μέχρι τῆς ἐξορίας τῆς Βαβυλῶνος ἐν συνόλῳ τέσσαρας χιλιάδες ἐννιακόσια πεντήκοντα τέσσαρα ἔτη, ἓξ μῆνες δέκα ἡμέραι.

Καθ' ὃν τρόπον δὲ προεῖπεν ὁ Θεὸς διὰ τοῦ προφήτου Ἰερεμίου ὅτι ὁ λαὸς θὰ ἐκτοπισθῇ εἰς τὴν Βαβυλῶνα, οὕτω προανήγγειλεν ὅτι θὰ ἐπανέλθουν αὐτοὶ πάλιν εἰς τὴν γῆν αὐτῶν μετὰ ἑβδομήκοντα ἔτη. Ὅταν λοιπὸν ἐτελείωνον τὰ ἑβδομήκοντα ἔτη[73] γίνεται βασιλεὺς τῶν Περσῶν ὁ Κῦρος, ὁ ὁποῖος τὸ δεύτερον ἔτος τῆς βασιλείας αὐτοῦ, κατὰ τὴν προφητείαν τοῦ Ἰερεμίου ἐξέδωσεν ἔγγραφον διάταγμα διὰ τοῦ ὁποίου παρήγγελλε νὰ ἐπιστρέψουν ὅλοι οἱ Ἰουδαῖοι, οἱ εὑρισκόμενοι εἰς τὸ βασίλειον αὐτοῦ, εἰς τὴν χώραν των καὶ νὰ ἀνοικοδομήσουν τὸν ναόν, τὸν ὁποῖον εἶχε κρημνίσει ὁ προειρημένος βασιλεὺς τῆς Βαβυλῶνος. Πρὸς τούτους διέταξεν ὁ Κῦρος, κατ' ἔμπνευσιν τοῦ Θεοῦ, τοὺς σωματοφύλακάς του Σαβέσσαρον καὶ Μι-

---

ἔναρξις τῆς Βαβυλωνίου αἰχμαλωσίας ὑπολογίζεται ἀπὸ τοῦ 606, πρὸ τῆς ὑποδουλώσεως τῶν Ἰουδαίων εἰς τὸν Νάβουχοδονόσορα. Ἓν ἔτος μετὰ τὴν ἅλωσιν τῆς Βαβυλῶνος ὑπὸ τοῦ Κύρου ἐξεδόθη διάταγμα ἐπιστροφῆς τῶν Ἰουδαίων, οἱ ὁποῖοι ἤρχισαν ἐπιστρέφοντες τὸ 537.

*Μιθριδάτῃ, τοῖς ἰδίοις σωματοφύλαξιν, τὰ σκεύη τὰ ἐκ τοῦ ναοῦ τοῦ τῆς Ἰουδαίας ληφθέντα ὑπὸ τοῦ Ναβουχοδονόσορ ἀποκομισθῆναι καὶ ἀποτεθῆναι εἰς τὸν ναόν. Ἐν τῷ οὖν δευτέρῳ ἔτει Κύρου πληροῦται τὰ ο' ἔτη, τὰ προειρημένα ὑπὸ τοῦ Ἰερεμίου.*

26 *Ἐντεῦθεν ὁρᾶν ἔστιν πῶς ἀρχαιότερα καὶ ἀληθέστερα δείκνυται τὰ ἱερὰ γράμματα τὰ καθ' ἡμᾶς εἶναι τῶν καθ' Ἕλληνας καὶ Αἰγυπτίους, ἢ εἰ καί τινας ἑτέρους ἱστοριογράφους. Ἤτοι γὰρ Ἡρόδοτος καὶ Θουκιδίδης ἢ καὶ Ξενοφῶν ἢ ὅπως οἱ ἄλλοι ἱστοριογράφοι, οἱ πλείους ἤρξαντο σχεδὸν ἀπὸ τῆς Κύρου καὶ Δαρείου βασιλείας ἀναγράφειν, μὴ ἐξισχύσαντες τῶν παλαιῶν καὶ προτέρων χρόνων τὸ ἀκριβὲς εἰπεῖν. Τί γὰρ μέγα ἔφασαν εἰ περὶ Δαρείου καὶ Κύρου τῶν κατὰ βαρβάρους βασιλέων εἶπον, ἢ κατὰ Ἕλληνας Ζωπύρου καὶ Ἱππίου, ἢ τοὺς Ἀθηναίων καὶ Λακεδαιμονίων πολέμους, ἢ τὰς Ξέρξου πράξεις ἢ Παυσανίου τοῦ ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς λιμῷ κινδυνεύσαντος διαφθαρῆναι, ἢ τὰ περὶ Θεμιστοκλέα καὶ τὸν πόλεμον τὸν Πελοποννησίων, ἢ τὰ περὶ Ἀλκιβιάδην καὶ Θρασύβουλον; Οὐ γὰρ πρόκειται ἡμῖν ὕλη πολυλογίας, ἀλλὰ εἰς τὸ φανερῶσαι τὴν τῶν χρόνων ἀπὸ καταβολῆς κόσμου ποσότητα καὶ ἐλέγξαι τὴν ματαιοπονίαν καὶ φλυαρίαν τῶν συγγραφέων, ὅτι οὐκ εἰσὶν ἐτῶν οὔτε δισμυρίαι μυριάδες, ὡς Πλάτων ἔφη, καὶ ταῦτα ἀπὸ κατακλυσμοῦ ἕως τῶν αὐτοῦ χρόνων τοσαῦτα ἔτη γεγενῆσθαι δογματίζων, οὔτε μὴν ιε' μυριάδες καὶ ͵γοε' ἔτη, καθὰ προειρήκαμεν Ἀπολλώνιον τὸν Αἰγύπτιον ἱστορεῖν· οὐδὲ ἀγένητος ὁ κόσμος ἐστὶν καὶ αὐτοματισμὸς τῶν πάντων, καθὼς Πυθαγόρας καὶ οἱ λοιποὶ πεφλυαρήκασιν, ἀλλὰ μὲν οὖν γενητὸς καὶ προνοίᾳ διοι-*

4 Κύρου : Δαρείου *κώδ.*

θριδάτην νὰ μεταφέρουν καὶ ἀποθέσουν εἰς τὸν ναὸν τὰ σκεύη τὰ ὁποῖα εἶχε λάβει ἀπὸ τὸν ναὸν τῆς Ἰουδαίας ὁ Ναβουχοδονόσορ. Κατὰ τὸ δεύτερον λοιπὸν ἔτος τοῦ Κύρου συμπληροῦνται τὰ ἑβδομήκοντα ἔτη τὰ προαγγελθέντα ὑπὸ τοῦ Ἰερεμίου.

26 Ἀπὸ ἐδῶ εἶναι δυνατὸν νὰ ἴδη κανεὶς πῶς δεικνύονται ἀρχαιότερα καὶ ἀληθέστερα τὰ ἱερὰ γράμματα ἡμῶν ἀπὸ τὰ τῶν Ἑλλήνων καὶ τῶν Αἰγυπτίων, καθὼς καὶ ὁποιωνδήποτε ἄλλων ἱστοριογράφων. Τόσον ὁ Ἡρόδοτος καὶ ὁ Θουκιδίδης ὅσον καὶ ὁ Ξενοφῶν ἢ οἱ ἄλλοι ἱστοριογράφοι, οἱ περισσότεροι ἤρχισαν νὰ ἐκθέτουν τὰ γεγονότα σχεδὸν ἀπὸ τὴν βασιλείαν τοῦ Κύρου καὶ τοῦ Δαρείου, μὴ κατορθώσαντες νὰ ἀκριβολογήσουν διὰ τοὺς παλαιοὺς καὶ προγενεστέρους χρόνους. Διότι τί σπουδαῖον εἶπον εἴτε περὶ Δαρείου καὶ Κύρου, τῶν εἰς τοὺς βαρβάρους βασιλέων, διηγήθησαν, εἴτε περὶ Ζωπύρου καὶ Ἱππίου, τῶν εἰς τοὺς Ἕλληνας, εἴτε περὶ τῶν πολέμων τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων, εἴτε περὶ τῶν πράξεων τοῦ Ξέρξου, εἴτε περὶ τοῦ κινδυνεύσαντος νὰ ἀφανισθῆ μὲ λιμὸν εἰς τὸ τέμενος τῆς Ἀθηνᾶς Παυσανίου[74], εἴτε τῶν κατὰ τὸν Θεμιστοκλῆ καὶ τὸν πόλεμον τῶν Πελοποννησίων, εἴτε περὶ τῶν κατὰ τὸν Ἀλκιβιάδην καὶ τὸν Θρασύβουλον; Διότι εἰς ἡμᾶς δὲν χρειάζεται ὑλικὸν πολυλογίας, ἀλλὰ μέσον φανερώσεως τοῦ ἀριθμοῦ τῶν χρόνων ἀπὸ καταβολῆς κόσμου καὶ ἐλέγχου τῆς ματαιοπονίας καὶ φλυαρίας τῶν συγγραφέων, ὅτι δὲν εἶναι οὔτε δισμύριαι μυριάδες ἐτῶν, ὅπως εἶπεν ὁ Πλάτων, καὶ μάλιστα δογματίζων ὅτι τόσα ἔτη ἐπέρασαν ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τῶν χρόνων αὐτοῦ, οὔτε βεβαίως δέκα πέντε μυριάδες καὶ τρεῖς χιλιάδες ἑβδομήκοντα πέντε ἔτη, καθὼς προανεφέραμεν ὅτι ἱστορεῖ ὁ Ἀπολλώνιος Αἰγύπτιος[75]· οὔτε ὅτι ὁ κόσμος εἶναι ἀγένητος καὶ ὑπάρχει αὐτόματος συγκρότησις τῶν πάντων, καθὼς ἔχουν φλυαρήσει ὁ Πυθαγόρας καὶ οἱ λοιποί, ἀλλὰ ἀντιθέτως διοικεῖται κατὰ πρόνοιαν ὑπὸ τοῦ ποιητοῦ τῶν πάντων Θεοῦ. Καὶ τὸ

74. Ὁ Παυσανίας δὲν ἐκινδύνευσεν ἁπλῶς νὰ ἀφανισθῆ, ἀλλ' ἠφανίσθη.
75. Βλ. ἀνωτέρω 3,17.

*κεῖται ὑπὸ τοῦ ποιήσαντος τὰ πάντα Θεοῦ. Καὶ ὁ πᾶς χρόνος καὶ τὰ ἔτη δείκνυται τοῖς βουλομένοις πείθεσθαι τῇ ἀληθείᾳ.*

*Μήπως οὖν δόξωμεν μέχρι Κύρου δεδηλωκέναι, τῶν δὲ μεταξὺ χρόνων ἀμελεῖν, ὡς μὴ ἔχοντες ἀποδεῖξαι, Θεοῦ παρέχοντος καὶ τῶν ἑξῆς χρόνων τὴν τάξιν πειράσομαι κατὰ τὸ δυνατὸν ἐξηγήσασθαι.*

27 *Κύρου οὖν βασιλεύσαντος ἔτεσιν τριάκοντα ὀκτὼ καὶ ἀναιρεθέντος ὑπὸ Τομύριδος ἐν Μασσαγετίᾳ, τότε οὔσης ὀλυμπιάδος ἑξηκοστῆς δευτέρας· ἔκτοτε ἤδη οἱ Ρωμαῖοι ἐμεγαλύνοντο τοῦ Θεοῦ κρατύνοντος αὐτούς, ἐκτισμένης τῆς Ρώμης ὑπὸ Ρωμύλου, τοῦ παιδὸς ἱστορουμένου Ἄρεως καὶ Ἰλίας, ὀλυμπιάδι ζ', τῇ πρὸ ι' καὶ ζ' καλανδῶν Μαΐων, τοῦ ἐνιαυτοῦ τότε δεκαμήνου ἀριθμουμένου. Τοῦ οὖν Κύρου τελευτήσαντος, ὡς ἔφθημεν εἰρηκέναι, ὀλυμπιάδι ἑξηκοστῇ καὶ δευτέρᾳ, γίνεται καιρὸς ἀπὸ κτίσεως Ρώμης ἔτη σκ', ᾧ καὶ Ρωμαίων ἦρξε Ταρκύνιος Σούπερβος τοὔνομα, ὃς πρῶτος ἐξώρισε Ρωμαίους τινὰς καὶ παῖδας διέφθειρε καὶ σπάδοντας ἐγχωρίους ἐποίησεν· ἔτι μὴν καὶ τὰς παρθένους διαφθείρων πρὸς γάμον ἐδίδου. Διὸ οἰκείως Σούπερβος ἐκλήθη τῇ ρωμαϊκῇ γλώσσῃ· ἑρμηνεύεται δὲ ὑπερήφανος. Αὐτὸς γὰρ πρῶτος ἐδογμάτισε τοὺς ἀσπαζομένους αὐτὸν ὑπὸ ἑτέρου ἀντασπάζεσθαι. Ὃς ἐβασίλευσεν ἔτεσιν κε'.*

*Μεθ' ὃν ἦρξαν ἐνιαύσιοι ὕπατοι, χιλίαρχοι ἢ ἀγορανόμοι ἔτεσιν υνγ', ὧν τὰ ὀνόματα καταλέγειν πολὺ καὶ περισσὸν ἡγούμεθα. Εἰ γάρ τις βούλεται μαθεῖν, ἐκ τῶν ἀναγραφῶν εὑρήσει ὧν ἀνέγραψε Χρύσερως ὁ Νομεγκλάτωρ, ἀπελεύθερος γενόμενος Μ. Αὐρηλίου Οὐήρου, ὃς ἀπὸ κτίσεως Ρώμης μέχρι τελευτῆς τοῦ ἰδίου πάτρωνος αὐτοκράτορος Οὐήρου σαφῶς πάντα*

2 τοῖς *X* τούτοις *κώδ.*

σύνολον τοῦ χρόνου δεικνύεται εἰς τοὺς θέλοντας νὰ πείθωνται εἰς τὴν ἀλήθειαν.

Διὰ νὰ μὴ φανῶμεν λοιπὸν ὅτι ἔχομεν ἀποδείξει τοὺς χρόνους μέχρι τοῦ Κύρου, ἀδιαφοροῦμεν δὲ διὰ τοὺς μετέπειτα ὡς μὴ δυνάμενοι νὰ τοὺς ἀποδείξωμεν, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ θὰ προσπαθήσω κατὰ τὸ δυνατὸν νὰ ἐκθέσω τὴν τάξιν καὶ τῶν ἑπομένων χρόνων.

27 Ἀφοῦ ἐβασίλευσεν ὁ Κῦρος τριάκοντα ὀκτὼ ἔτη καὶ ἐφονεύθη ὑπὸ τοῦ Τομύριδος εἰς τὴν Μασσαγετίαν, κατὰ τὴν ἑξηκοστὴν δευτέραν ὀλυμπιάδα, ἤρχισαν ἔκτοτε νὰ μεγαλύνωνται οἱ Ρωμαῖοι μὲ τὴν δύναμιν τοῦ Θεοῦ. Ἡ Ρώμη ἦτο κτισμένη ὑπὸ τοῦ Ρωμίλου, λεγομένου υἱοῦ τοῦ Ἄρεως καὶ τῆς Ἰλίας, κατὰ τὴν ἑβδόμην ὀλυμπιάδα, τὴν ἑνδεκάτην τῶν καλανδῶν τοῦ Μαΐου, τοῦ ἔτους τότε περιλαμβάνοντος δέκα μῆνας. Ἀφοῦ λοιπὸν ὁ Κῦρος ἀπέθανεν, ὅπως εἴπαμεν πρὸ ὀλίγου, κατὰ τὴν ἑξηκοστὴν δευτέραν ὀλυμπιάδα, ὁ μέχρις αὐτοῦ χρόνος ἀπὸ τῆς κτίσεως τῆς Ρώμης ἀνέρχεται εἰς διακόσια εἴκοσιν ἔτη. Τότε ἐβασίλευσε τῶν Ρωμαίων ὁ Ταρκύνιος Ὑπερήφανος, ὁ ὁποῖος πρῶτος ἐξώρισε μερικοὺς Ρωμαίους, διέφθειρε παῖδας καὶ ἔκαμεν πολίτας τοὺς εὐνούχους· ἀκόμη μάλιστα διαφθείρων παρθένους τὰς ἔδιδεν εἰς γάμον. Διὰ τοῦτο καταλλήλως ὠνομάσθη Σούπερβος εἰς τὴν λατινικὴν γλῶσσαν, ὅπερ σημαίνει ὑπερήφανος. Διότι πρῶτος αὐτὸς διέταξεν οἱ χαιρετίζοντες αὐτὸν νὰ ἀντιχαιρετίζωνται ἀπὸ ἄλλον. Οὗτος ἐβασίλευσεν εἴκοσι πέντε ἔτη.

Μετ' αὐτὸν τὴν ἐξουσίαν εἶχον ἐτήσιοι ὕπατοι, χιλίαρχοι, ἀγορανόμοι ἐπὶ τετρακόσια πεντήκοντα τρία ἔτη, τῶν ὁποίων νομίζομεν ὅτι εἶναι πολὺ καὶ περιττὸν νὰ ἀπαριθμήσωμεν τὰ ὀνόματα. Ἐὰν θέλῃ κανεὶς νὰ τὰ μάθῃ, θὰ τὰ εὕρῃ ἀπὸ τὰς ἀναγραφὰς τὰς ὁποίας συνέταξεν ὁ Χρύσερως ὁ Νομεγκλάτωρ, ὁ ἀπελεύθερος τοῦ Μ. Αὐρηλίου Βήρου, ὁ ὁποῖος ἀνέγραψεν ὅλα σαφῶς ἀπὸ τῆς κτίσεως τῆς Ρώμης μέχρι τοῦ θανάτου τοῦ πάτρωνος αὐτοῦ αὐτοκράτορος, καὶ τὰ ὀνόματα καὶ τοὺς χρόνους.

*ἀνέγραψε, καὶ τὰ ὀνόματα καὶ τοὺς χρόνους. Ἐκράτησαν οὖν Ῥωμαίων ἐνιαύσιοι, ὥς φαμεν, ἔτεσιν υνγ'.*

*Ἔπειτα οὕτως ἦρξαν οἱ αὐτοκράτορες καλούμενοι· πρῶτος Γάϊος Ἰούλιος, ὃς ἐβασίλευσεν ἔτη γ' μῆνας δ' ἡμέρας ἕξ. Ἔπειτα Αὔγουστος ἔτη νς' μῆνας δ' ἡμέρας μίαν. Τιβέριος ἔτη κβ'. Εἶτα Γάϊος ἕτερος ἔτη γ' μῆνας η' ἡμέρας ζ'. Κλαύδιος ἔτη ιγ' μῆνας η' ἡμέρας κδ'. Νέρων ἔτη ιγ' μῆνας ς' ἡμέρας κη'. Γάλβας μῆνας ζ' ἡμέρας ζ'. Ὄθων μῆνας γ' ἡμέρας ε'. Οὐϊτέλλιος μῆνας ς' ἡμέρας κβ'. Οὐεσπασιανὸς ἔτη θ' μῆνας ια' ἡμέρας κβ'. Τίτος ἔτη β' ἡμέρας κβ'. Δομετιανὸς ἔτη ιε' μῆνας ε' ἡμέρας ς'. Νερούας ἐνιαυτὸν μῆνας δ' ἡμέρας ι'. Τραϊανὸς ἔτη ιθ' μῆνας ἓξ ἡμέρας ις'. Ἀδριανὸς ἔτη κ' μῆνας ι' ἡμέρας κη'. Ἀντωνῖνος ἔτη κβ' μῆνας ζ' ἡμέρας ς'. Οὐῆρος ἔτη ιθ' ἡμέρας ι'. Γίνεται οὖν ὁ χρόνος τῶν Καισάρων μέχρι Οὐήρου αὐτοκράτορος τελευτῆς ἔτη σκε'.*

*Ἀπὸ οὖν τῆς Κύρου τελευτῆς, Ῥωμαίων δὲ ἀρχῆς Ταρκυνίου Σουπέρβου, μέχρι τελευτῆς αὐτοκράτορος Οὐήρου,, οὗ προειρήκαμεν, ὁ πᾶς χρόνος συνάγεται ἔτη ψμα'.*

28 *Ἀπὸ δὲ καταβολῆς κόσμου ὁ πᾶς χρόνος κεφαλαιωδῶς οὕτως κατάγεται.*

| | |
|---|---|
| *Ἀπὸ κτίσεως κόσμου ἕως κατακλυσμοῦ ἐγένοντο ἔτη* | *͵βσμβ'* |
| *Ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τεκνογονίας Ἀβραὰμ τοῦ προπάτορος ἡμῶν ἔτη* | *͵αλστ'* |
| *Ἀπὸ δὲ Ἰσαὰκ τοῦ παιδὸς Ἀβραὰ ἕως οὗ ὁ λαὸς σὺν Μωσῇ ἐν τῇ ἐρήμῳ διέτριβεν ἔτη* | *͵χξ'* |

8 Γάλβας *Maran* Γάλβας ἔτη β' *κώδ.*

Ἐκυβέρνησαν λοιπὸν τοὺς Ρωμαίους ἐτήσιοι ἄρχοντες, ὅπως εἴπαμεν, ἔτη τετρακόσια πεντήκοντα τρία.

Ἔπειτα ἀνέλαβον πλέον τὴν ἐξουσίαν οἱ λεγόμενοι αὐτοκράτορες· πρῶτος ὁ Γάϊος Ἰούλιος, ὁ ὁποῖος ἐβασίλευσε ἔτη τρία μῆνας τέσσαρας ἡμέρας ἕξ. Ἔπειτα ὁ Αὔγουστος ἔτη πεντήκοντα ἓξ μῆνας τέσσαρας ἡμέραν μίαν. Ὁ Τιβέριος ἔτη εἴκοσι δύο. Ἔπειτα ἄλλος Γάϊος ἔτη τρία μῆνας ὀκτὼ ἡμέρας ἑπτά. Ὁ Κλαύδιος ἔτη δέκα τρία μῆνας ὀκτὼ ἡμέρας εἴκοσι τέσσαρας. Ὁ Νέρων ἔτη δέκα τρία μῆνας ἓξ ἡμέρας ὀκτώ. Ὁ Γάλβας μῆνας ἑπτὰ ἡμέρας ἑπτά. Ὁ Ὄθων μῆνας τρεῖς ἡμέρας πέντε. Ὁ Βιτέλλιος μῆνας ἓξ ἡμέρας εἴκοσι δύο. Ὁ Βεσπασιανὸς ἔτη ἐννέα μῆνας ἕνδεκα ἡμέρας εἴκοσι δύο. Ὁ Τίτος ἔτη δύο ἡμέρας εἴκοσι δύο. Ὁ Δομετιανὸς ἔτη δέκα πέντε μῆνας πέντε ἡμέρας ἕξ. Ὁ Νέρβας ἔτος ἓν μῆνας τέσσαρας ἡμέρας δέκα. Ὁ Τραϊανὸς ἔτη δέκα ἐννέα μῆνας ἓξ ἡμέρας δέκα ἕξ. Ὁ Ἀδριανὸς ἔτη εἴκοσι μῆνας δέκα ἡμέρας ἕξ. Ὁ Ἀντωνῖνος ἔτη εἴκοσι δύο μῆνας ἑπτὰ ἡμέρας ἕξ. Ὁ Βῆρος ἔτη δέκα ἐννέα ἡμέρας δέκα. Ἀνέρχεται λοιπὸν ὁ χρόνος τῶν αὐτοκρατόρων μέχρι τοῦ θανάτου τοῦ αὐτοκράτορος Βήρου εἰς ἔτη διακόσια εἴκοσι πέντε.

Ἀπὸ τοῦ θανάτου τοῦ Κύρου λοιπὸν καὶ τῆς βασιλείας τοῦ Ταρκυνίου Ὑπερηφάνου ἐπὶ τῶν Ρωμαίων μέχρι τοῦ θανάτου τοῦ προαναφερθέντος αὐτοκράτορος Βήρου ὅλος ὁ χρόνος συμποσοῦται εἰς ἔτη ἑπτακόσια τεσσαράκοντα ἕν.

28 Ἀπὸ τῆς θεμελιώσεως τοῦ κόσμου τὸ σύνολον τοῦ χρόνου ἀνακεφαλαιώνεται πρὸς τὰ κάτω οὕτως.

| | |
|---|---|
| Ἀπὸ τῆς κτίσεως τοῦ κόσμου μέχρι τοῦ κατακλυσμου ἐπέρασαν ἔτη | 2.242. |
| Ἀπὸ δὲ τοῦ κατακλυσμοῦ μέχρι τῆς τεκνογονίας τοῦ προπάτορος ἡμῶν Ἀβραὰμ ἔτη | 1.036. |
| Ἀπὸ δὲ τοῦ Ἰσαάκ, υἱοῦ τοῦ Ἀβραὰμ ἕως ὅτου ὁ λαὸς μετὰ τοῦ Μωϋσέως ἔζησεν εἰς τὴν ἔρημον ἔτη | 660. |

Ἀπὸ δὲ τῆς Μω σέως τελευτῆς, ἀρχῆς
Ἰησοῦ υἱοῦ Ναυῆ, μέχρι τελευτῆς
Δαβὶδ τοῦ πατριάρχου ἔτη ,υζή
Ἀπὸ δὲ τῆς τελευτῆς Δαβίδ, βασιλείας
δὲ Σολομῶνος, μέχρι τῆς παροικίας τοῦ
λαοῦ ἐν γῇ Βαβυλῶνος ἔτη ,φιη'
μῆνες ς' ἡμέραι ι'
Ἀπὸ δὲ τῆς τοῦ Κυρίου ἀρχῆς μέχρι
αὐτοκράτορος Αὐρηλίου Οὐήρου
τελευτῆς ἔτη ,ψμα'
Ὁμοῦ ἀπὸ κτίσεως κόσμου συνάγονται
τὰ πάντα ἔτη ,εχζε'
καὶ οἱ ἐπιτρέχοντες μῆνες καὶ ἡμέραι.

29 Τῶν οὖν χρόνων καὶ τῶν εἰρημένων ἁπάντων συνηθροισμένων, ὁρᾶν ἔστιν τὴν ἀρχαιότητα τῶν προφητικῶν γραμμάτων καὶ τὴν θειότητα τοῦ παρ' ἡμῖν λόγου, ὅτι οὐ πρόσφατος ὁ λόγος, οὔτε μὴν τὰ καθ' ἡμᾶς, ὡς οἴονταί τινες μυθώδη καὶ ψευδῆ ἐστιν, ἀλλὰ μὲν οὖν ἀρχαιότερα καὶ ἀληθέστερα. Καὶ γὰρ Βήλου τοῦ Ἀσσυρίων βασιλεύσαντος καὶ Κρόνου τοῦ Τιτᾶνος Θάλλος μέμνηται, φάσκων τὸν Βῆλον πεπολεμηκέναι σὺν τοῖς Τιτᾶσι πρὸς τὸν Δία καὶ τοὺς σὺν αὐτῷ θεοὺς λεγομένους, ἔνθα φησὶν καὶ ὁ Γύγος ἡττηθεὶς ἔφυγεν εἰς Ταρτησσόν, τότε μὲν τῆς χώρας ἐκείνης Ἀκτῆς κληθείσης, νυνὶ δὲ Ἀττικῆς προσαγορευομένης, ἧς ὁ Γύγος τότε ἦρξεν. Καὶ τὰς λοιπὰς δὲ χώρας καὶ πόλεις, ἀφ' ὧν τὰς προσωνυμίας ἔσχον, οὐκ ἀναγκαῖον ἡγούμεθα καταλέγειν, μάλιστα πρὸς σὲ τὸν ἐπιστάμενον τὰς ἱστορίας.

Ὅτι μὲν οὖν ἀρχαιότερος ὁ Μωσῆς δείκνυται ἁπάντων συγγραφέων (οὐκ αὐτὸς δὲ μόνος ἀλλὰ καὶ οἱ πλείους μετ' αὐτὸν προφῆται γενόμενοι) καὶ Κρόνου καὶ Βήλου καὶ τοῦ Ἰλιακοῦ πολέμου, δῆλόν ἐστιν. Κατὰ γὰρ τὴν Θάλλου ἱστορίαν ὁ Βῆλος προγενέστερος εὑρίσκεται τοῦ Ἰλιακοῦ πολέμου ἔτεσι τκβ'. Ὅτι

76. Τὸ χωρίον τοῦτο τοῦ Θεοφίλου ῥητῶς μνημονεύει ὁ ΛΑΚΤΑΝΤΙΟΣ, *In-*

Ἀπὸ τοῦ θανάτου τοῦ Μωϋσέως καὶ τῆς
ἀρχῆς τοῦ Ἰησοῦ υἱοῦ Ναυῆ μέχρι τοῦ
θανάτου τοῦ πατριάρχου Δαβὶδ ἔτη 498.
Ἀπὸ τοῦ θανάτου τοῦ Δαβίδ, τῆς βασι-
λείας δὲ Σολομῶντος μέχρι τῆς ἐξορίας
τοῦ λαοῦ εἰς τὴν Βαβυλῶνα ἔτη 518
μῆνες 6 ἡμέραι 10
Ἀπὸ τῆς ἀρχῆς τοῦ Κύρου μέχρι τοῦ
θανάτου τοῦ αὐτοκράτορος Αὐρηλίου
Βήρου ἔτη 741.
Σύνολον ἐτῶν ἀπὸ κτίσεως
κόσμου 5.695
καὶ μερικοὶ μῆνες καὶ ἡμέραι.

29 Μὲ τὴν βοήθειαν τῶν συναθροισθέντων χρόνων καὶ ὅλων τῶν ἀναφερθέντων στοιχείων, εἶναι δυνατὸν νὰ ἴδη κανεὶς τὴν ἀρχαιότητα τῶν προφητικῶν συγγραμμάτων καὶ τὴν θειότητα τῆς διδασκαλίας ἡμῶν, νὰ ἴδη ὅτι ἡ διδασκαλία δὲν εἶναι πρόσφατος οὔτε εἶναι μυθώδης καὶ ψευδῆ τὰ δόγματα ἡμῶν, ὅπως νομίζουν μερικοί, ἀλλ' ἀντιθέτως εἶναι ἀρχαιότερα καὶ ἀληθέστερα. Πράγματι ὁ Θάλλος μνημονεύει τὸν Βῆλον, βασιλέα τῶν Ἀσσυρίων, καὶ τὸν Τιτᾶνα Κρόνον[76], λέγων ὅτι ὁ Βῆλος εἶχε πολεμήσει μαζὶ μὲ τοὺς Τιτᾶνας πρὸς τὸν Δία καὶ τοὺς μετ' αὐτοῦ λεγομένους θεούς. Ὁπότε, λέγει, ὁ Γύγος ἡττηθεὶς ἔφυγεν εἰς Ταρτησσόν, χώραν ἡ ὁποία τότε ἐκαλεῖτο Ἀκτή, τώρα δὲ ὀνομάζεται Ἀττική, τῆς ὁποίας ἔγινε τότε ἡγεμὼν ὁ Γύγος. Δὲν θεωροῦμεν ἀναγκαῖον νὰ ἀναφέρωμεν ἀπὸ ποίους ἔλαβον τὰς ὀνομασίας των αἱ λοιπαὶ χῶραι καὶ πόλεις, μάλιστα πρὸς σὲ ὁ ὁποῖος γνωρίζεις καλῶς τὴν ἱστορίαν.

Ὅτι λοιπὸν ὁ Μωϋσῆς ἀποδεικνύεται ἀρχαιότερος ἀπὸ ὅλους τοὺς συγγραφεῖς (ὄχι δὲ μόνον αὐτὸς ἀλλὰ καὶ οἱ περισσότεροι μετ' αὐτόν ζήσαντες προφῆται) καὶ τοῦ Κρόνου καὶ τοῦ Βήλου καὶ τοῦ Τρωϊκοῦ πολέμου, εἶναι φανερόν. Διότι κατὰ τὴν ἱστορίαν τοῦ Θάλλου ὁ Βῆλος εὑρίσκεται προγενέστερος τοῦ

---

*stitutiones Divinae*, 1,23,2. Βλ. καὶ ΤΕΡΤΥΛΛΙΑΝΟΥ, *Apologeticus* 19,2.

*δὲ πρός που ἔτεσι ϡ' ἢ καὶ ͵α προάγει ὁ Μωϋσῆς τῆς τοῦ Ἰλίου ἁλώσεως, ἐν τοῖς ἐπάνω δεδηλώκαμεν. Τοῦ δὲ Κρόνου καὶ τοῦ Βήλου συνακμασάντων ὁμόσε, οἱ πλείους οὐκ ἐπίστανται τίς ἐστιν ὁ Κρόνος ἢ τίς ὁ Βῆλος. Ἔνιοι μὲν σέβονται τὸν Κρόνον καὶ τοῦτον αὐτὸν ὀνομάζουσι Βὴλ καὶ Βάλ, μάλιστα οἱ οἰκοῦντες τὰ ἀνατολικὰ κλίματα, μὴ γινώσκοντες μήτε τίς ἐστιν ὁ Κρόνος μήτε τίς ἐστιν ὁ Βῆλος. Παρὰ δὲ Ρωμαίοις Σατοῦρνος ὀνομάζεται· οὐδὲ γὰρ αὐτοὶ γινώσκουσιν τίς ἐστιν αὐτῶν, πότερον ὁ Κρόνος ἢ ὁ Βῆλος.*

*Ἡ μὲν οὖν ἀρχὴ τῶν ὀλυμπιάδων ἀπὸ Εἰφίτου, φασίν, ἔσχηκεν τὴν θρησκείαν, κατὰ δέ τινας ἀπὸ Λιμοῦ, ὃς καὶ Ἴλιος ἐπεκλήθη. Ὁ μὲν οὖν ἀριθμὸς τῶν ἐτῶν καὶ ὀλυμπιάδων ὡς ἔχει τὴν τάξιν, ἐν τοῖς ἐπάνω δεδηλώκαμεν. Τῆς μὲν οὖν ἀρχαιότητος τῶν παρ' ἡμῖν πραγμάτων καὶ τῶν χρόνων τὸν πάντα ἀριθμὸν κατὰ τὸ δυνατὸν οἶμαι τὰ νῦν ἀκριβῶς εἰρῆσθαι. Εἰ γὰρ καὶ ἔλαθεν ἡμᾶς χρόνος, εἰ τύχοι εἰπεῖν ἔτη ν' ἢ ρ' ἢ καὶ σ', οὐ μέντοι μυριάδες ἢ χιλιάδες ἐτῶν, καθὼς προειρήκασι Πλάτων καὶ Ἀπολλώνιος καὶ οἱ λοιποὶ ψευδῶς ἀναγράψαντες. Ὅπερ ἡμεῖς τὸ ἀκριβὲς ἴσως ἀγνοοῦμεν, ἁπάντων τῶν ἐτῶν τὸν ἀριθμόν, διὰ τὸ μὴ ἀναγεγράφθαι ἐν ταῖς ἱεραῖς βίβλοις τοὺς ἐπιτρέχοντας μῆνας καὶ ἡμέρας.*

*Ἔτι δὲ περὶ ὧν φαμεν χρόνων συνᾴδει καὶ Βήρωσος, ὁ παρὰ Χαλδαίοις φιλοσοφήσας καὶ μηνύσας Ἕλλησι τὰ Χαλδαϊκὰ γράμματα, ὃς ἀκολούθως τινὰ εἴρηκεν τῷ Μωσεῖ περί τε κατακλυσμοῦ καὶ ἑτέρων πολλῶν ἐξιστορῶν. Ἔτι μὴν καὶ τοῖς προφήταις Ἰερεμίᾳ καὶ Δανιὴλ σύμφωνα ἐκ μέρους εἴρηκεν· τὰ γὰρ συμβάντα τοῖς Ἰουδαίοις ὑπὸ τοῦ βασιλέως Βαβυλωνίων, ὃν αὐτὸς ὀνομάζει Ναβοπαλάσσαρον, κέκληται δὲ παρὰ Ἑβραίοις Ναβουχοδονόσορ, μέμνηται, καὶ περὶ τοῦ ναοῦ ἐν Ἱεροσολύμοις ὡς ἠρημῶσθαι ὑπὸ τοῦ Χαλδαίων βασιλέως, καὶ ὅτι, Κύρου τὸ δεύτερον ἔτος βασιλεύσαντος τοῦ ναοῦ τῶν θεμε-*

Τρωϊκοῦ πολέμου κατὰ τριακόσια εἴκοσι δύο ἔτη. Ὅτι δὲ ὁ Μωϋσῆς προηγεῖται περίπου ἐννεακόσια ἢ καὶ χίλια ἔτη τῆς ἁλώσεως τῆς Τροίας, ἐδηλώσαμεν προηγουμένως. Καθὼς δὲ ὁ Κρόνος καὶ ὁ Βῆλος ἤκμασαν συγχρόνως, οἱ πλεῖστοι δὲν γνωρίζουν ποῖος εἶναι ὁ Κρόνος καὶ ποῖος ὁ Βῆλος. Μερικοὶ λατρεύουν τὸν Κρόνον καὶ αὐτὸν τὸν ἴδιον ὀνομάζουν Βὴλ καὶ Βάλ, μάλιστα οἱ κατοικοῦντες εἰς τὰ ἀνατολικὰ κλίματα, μὴ γνωρίζοντες οὔτε ποῖος εἶναι ὁ Κρόνος οὔτε ποῖος εἶναι ὁ Βῆλος. Ἀπὸ τοὺς Ρωμαίους δὲ ὀνομάζεται Σατοῦρνος· οὔτε αὐτοὶ δὲ γνωρίζουν ποῖος εἶναι οὗτος, ὁ Κρόνος ἢ ὁ Βῆλος.

Ἡ θρησκευτικὴ καθιέρωσις τῶν Ὀλυμπιάδων ἀρχίζει ἀπὸ τοῦ Εἰφίτου, κατὰ τὴν ἄποψιν δὲ μερικῶν ἀπὸ τοῦ Λιμοῦ, ὁ ὁποῖος ἐπωνομάσθη καὶ Ἴλιος. Ποία εἶναι ἡ τάξις τοῦ ἀριθμοῦ τῶν ἐτῶν καὶ Ὀλυμπιάδων ἐδηλώσαμεν ἀνωτέρω. Νομίζω ὅτι ἔχουν ἤδη λεχθῆ κατὰ τὸ δυνατὸν ἀκριβῶς ὁ βαθμὸς τῆς ἀρχαιότητος τῆς παραδόσεως ἡμῶν καὶ ὁ συνολικὸς ἀριθμὸς τῶν χρόνων. Διότι, καὶ ἂν διέφυγε τὴν προσοχὴν ἡμῶν χρόνος, θὰ εἶναι πεντήκοντα ἢ ἑκατὸν ἢ καὶ διακόσια ἔτη, ὄχι ὅμως μυριάδες ἢ χιλιάδες, ὅπως συνέβη μὲ τὸν Πλάτωνα καὶ τὸν Ἀπολλώνιον καὶ τοὺς ἄλλους ἀναγράψαντας ψευδῶς. Ἡμεῖς ἀγνοοῦμεν ἴσως τὸν ἀκριβῆ ἀριθμὸν ὅλων τῶν ἐτῶν, διότι δὲν ἔχουν ἀναγραφῆ εἰς τὰ ἱερὰ βιβλία οἱ συνοδεύοντες μῆνες καὶ ἡμέραι.

Περὶ τῶν χρόνων τοὺς ὁποίους εἴπομεν συμφωνεῖ ἐπίσης καὶ ὁ Βηρωσός, ὁ φιλόσοφος τῶν Χαλδαίων, ὁ ὁποῖος ἐγνωστοποίησεν εἰς τοὺς Ἕλληνας τὴν χαλδαϊκὴν γραμματείαν καὶ ὁ ὁποῖος, ἐξιστορῶν τὰ περὶ κατακλυσμοῦ καὶ ἄλλων πολλῶν, εἶπε μερικὰ σύμφωνα μὲ τὸν Μωϋσῆν. Προσέτι μάλιστα εἶπεν ἐν μέρει σύμφωνα μὲ τοὺς προφήτας Ἰερεμίαν καὶ Δανιήλ· διότι μνημονεύει τὰ συμβάντα εἰς τοὺς Ἰουδαίους ὑπὸ τοῦ βασιλέως τῶν Βαβυλωνίων, τὸν ὁποῖον αὐτὸς ὀνομάζει Ναβοπαλάσσαρον, οἱ δὲ Ἑβραῖοι Ναβουχοδονόσορ, καὶ πῶς ἠρημώθη ὁ ἐν Ἰεροσολύμοις ναὸς ὑπὸ τοῦ βασιλέως τῶν Χαλδαίων, καὶ ὅτι, ἀφοῦ ἐτέθησαν τὰ θεμέλια τοῦ ναοῦ κατὰ τὸ δεύτερον ἔτος τῆς

*λίων τεθέντων, Δαρείου πάλιν βασιλεύσαντος τὸ δεύτερον ἔτος ὁ ναὸς ἐπετελέσθη.*

## *ΕΠΙΛΟΓΟΣ*

30 *Τῶν δὲ τῆς ἀληθείας ἱστοριῶν Ἕλληνες οὐ μέμνηνται, πρῶτον μὲν διὰ τὸ νεωστὶ αὐτοὺς τῶν γραμμάτων τῆς ἐμπειρίας μετόχους γεγενῆσθαι· καὶ αὐτοὶ ὁμολογοῦσιν φάσκοντες τὰ γράμματα εὑρῆσθαι, οἱ μὲν παρὰ Χαλδαίων, οἱ δὲ παρὰ Αἰγυπτίων, ἄλλοι δ' αὖ ἀπὸ Φοινίκων· δεύτερον ὅτι ἔπταιον καὶ πταίουσιν, περὶ Θεοῦ μὴ ποιούμενοι τὴν μνείαν ἀλλὰ περὶ ματαίων καὶ ἀνωφελῶν πραγμάτων. Οὕτω μὲν γὰρ καὶ Ὁμήρου καὶ Ἡσιόδου καὶ τῶν λοιπῶν ποιητῶν φιλοτίμως μέμνηνται, τῆς δὲ τοῦ ἀφθάρτου καὶ μόνου Θεοῦ δόξης οὐ μόνον ἐπελάθοντο ἀλλὰ καὶ κατελάλησαν· ἔτι μὴν καὶ τοὺς σεβομένους αὐτὸν ἐδίωξαν καὶ τὸ καθ' ἡμέραν διώκουσιν. Οὐ μὴν ἀλλὰ καὶ τοῖς εὐφώνως ὑβρίζουσι τὸν Θεὸν ἆθλα καὶ τιμὰς τιθέασιν, τοὺς δὲ σπεύδοντας πρὸς ἀρετὴν καὶ ἀσκοῦντας βίον ὅσιον, οὓς μὲν ἐλιθοβόλησαν, οὓς δὲ ἐθανάτωσαν, καὶ ἕως τοῦ δεῦρο ὠμοῖς αἰκισμοῖς περιβάλλουσιν. Διὸ οἱ τοιοῦτοι ἀναγκαίως ἀπώλεσαν τὴν σοφίαν τοῦ Θεοῦ καὶ τὴν ἀλήθειαν οὐχ εὗρον.*

*Εἰ οὖν βούλει, ἀκριβῶς ἔντυχε τούτοις, ὅπως σχῇς σύμβολον καὶ ἀρραβῶνα τῆς ἀληθείας.*

20 σύμβολον *X* σύμβουλον *κώδ. E*

βασιλείας τοῦ Κύρου, ὁ ναὸς ἀπετελειώθη κατὰ τὸ δεύτερον πάλιν ἔτος τῆς βασιλείας τοῦ Δαρείου.

## ΕΠΙΛΟΓΟΣ

30 Οἱ Ἕλληνες δὲν μνημονεύουν τὰς ἱστορίας τῆς ἀληθείας, πρῶτον μὲν διότι ἔγιναν μέτοιχοι τῆς ἐμπειρίας τῶν γραμμάτων προσφάτως. Καὶ οἱ ἴδιοι ὁμολογοῦν λέγοντες ὅτι τὰ γράμματα ἔχουν εὑρεθῆ, ἄλλοι μὲν ἀπὸ τοὺς Χαλδαίους, ἄλλοι δὲ ἀπὸ τοὺς Αἰγυπτίους, ἄλλοι δὲ πάλιν ἀπὸ τοὺς Φοίνικας. Δεύτερον διότι ἐπλανῶντο καὶ πλανῶνται κατὰ τὸ ὅτι δὲν μνημονεύουν τὸν Θεὸν ἀλλὰ μάταια καὶ ἀνωφελῆ πράγματα. Οὕτω, ἐνῶ μνημονεύουν φιλοτίμως καὶ τὸν Ὅμηρον καὶ τὸν Ἡσίοδον καὶ τοὺς ἄλλους ποιητάς, τὴν δόξαν τοῦ ἀφθάρτου καὶ μόνου Θεοῦ ὄχι μόνον ἐλησμόνησαν ἀλλὰ κατέκριναν, προσέτι δὲ καὶ τοὺς σεβομένους αὐτὸν ἐδίωξαν καὶ διώκουν καθημερινῶς. Ὄχι δὲ μόνον τοῦτο, ἀλλὰ καὶ εἰς τοὺς ὑβρίζοντας τὸν Θεὸν εὐφραδῶς προσφέρουν βραβεῖα καὶ τιμάς, τοὺς δὲ ἐπιδιώκοντας τὴν ἀρετὴν καὶ ἀσκοῦντας ὅσιον βίον, ἄλλους μὲν ἐλιθοβόλησαν, ἄλλους δὲ ἐθανάτωσαν καὶ ἕως τώρα ὑποβάλλουν εἰς σκληρὰς κακώσεις. Διὰ τοῦτο οἱ τοιοῦτοι ἀναγκαίως ἔχασαν τὴν σοφίαν τοῦ Θεοῦ καὶ δὲν εὗρον τὴν ἀλήθειαν.

Ἐὰν λοιπὸν θέλῃς, μελέτησε ταῦτα ἐπιμελῶς, διὰ νὰ λάβῃς σύμβολον καὶ ἀρραβῶνα τῆς ἀληθείας.

# Η ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ

## ΕΙΣΑΓΩΓΗ

Τὸ σύντομον τοῦτο κείμενον, τὸ ὁποῖον συνήθως λόγω τοῦ τίτλου του χαρακτηρίζεται ὡς ἐπιστολή, ἐνῶ εἶναι δοκίμιον, εἶχε παράδοξον τύχην. Παρὰ τὴν ἀναμφισβητήτως μεγάλην ἀξίαν του ἐκαλύπτετο ἐπὶ αἰῶνας ἀπὸ τὴν σιωπήν, μέχρις ὅτου ἐπανενεφανίσθη κατὰ τοὺς νεωτέρους χρόνους, ἀφοῦ τὸ μοναδικὸν χειρόγραφον διὰ τοῦ ὁποίου διεσώθη ἀνευρέθη εἰς ἓν ἰχθυοπωλεῖον τῆς Κωνσταντινουπόλεως κατὰ τὰς παραμονὰς τῆς ἁλώσεως, διὰ νὰ καταστραφῇ μετὰ τέσσαρας αἰῶνας κατὰ τὴν πυρκαϊὰν τοῦ Στρασβούργου. Ἡ ἔκδοσίς του ἐπλούτισε τὴν χριστιανικὴν γραμματείαν μὲ ἕνα λογοτεχνικὸν ἀδάμαντα.

Εἰς τὸ εἰσαγωγικὸν κεφάλαιον τῆς πραγματείας ἐξαγγέλλονται τὰ ὑπὸ διαπραγμάτευσιν θέματα, τιθέμενα μάλιστα ὡς ἐρωτήματα ὑπὸ τοῦ ὑποτιθεμένου ἀποδέκτου, ὡς ἑξῆς. α) ποῖον Θεὸν πιστεύουν καὶ λατρεύουν οἱ Χριστιανοί, ὥστε β) νὰ περιφρονοῦν τὸν κόσμον καταφρονοῦντες τὸν θάνατον καὶ γ) νὰ ἀπορρίπτουν τοὺς θεοὺς τῶν Ἑλλήνων καὶ τὴν λατρείαν τῶν Ἰουδαίων· δ) ποίαν φιλοστοργίαν τρέφουν πρὸς ἀλλήλους, ε) διατί τὸ σύστημα τοῦτο εἰσῆλθε τόσον ἀργὰ εἰς τὸν κόσμον. Αἱ ἀπαντήσεις εἰς τὰ ἐρωτήματα αὐτά, προφανῶς ἠκρωτηριασμέναι εἰς μερικὰς περιπτώσεις λόγω ἐκπτώσεως κειμένου, δίδονται κατὰ τὴν ὑπὸ τοῦ συγγραφέως προτιμωμένην σειρὰν καὶ ὄχι κατὰ τὴν ὑπὸ τοῦ ἀποστόλου.

| | |
|---|---|
| Ἀπόρριψις τῶν ἑλληνικῶν θεῶν καὶ τῆς ἰουδαϊκῆς λατρείας | 2–4. |
| Περιφρόνησις τοῦ κόσμου καὶ τοῦ θανάτου | 5–7. |
| Χριστιανικὴ πίστις καὶ λατρεία | 7–8. |
| Βραδύτης ἐμφανίσεως τοῦ Χριστιανισμοῦ | 9. |
| Φιλοστοργία πρὸς ἀλλήλους | 10. |


Ὁ συγγραφεὺς ἐπισημαίνει κατ' ἀρχὰς τὴν ἀναξιότητα τῶν θεῶν τῆς εἰδωλολατρικῆς θρησκείας, ταυτιζομένων μὲ τυφλά, ἀναίσθητα καὶ φθαρτὰ κατασκευάσματα, διὰ τὰ ὁποῖα αὐτοὶ οὗτοι οἱ ἐθνικοὶ δὲν ᾐσθάνοντο καθόλου ὑπερήφανοι, καὶ ἀκολούθως σημειώνει ὅτι καὶ οἱ Ἰουδαῖοι, ἂν καὶ τυπικῶς πιστεύουν εἰς ἕνα Θεόν, οὐσιωδῶς λατρεύουν αὐτὸν καθ' ὅμοιον μὲ τοὺς ἐθνικοὺς τρόπον, προσφέροντες εἰς αὐτὸν ὅσας καὶ ἐκεῖνοι θυσίας καὶ ἐπιδεικνύοντες ποικιλόμορφον δεισιδαιμονίαν. Ἡ ἔκθεσις εἰς τὸ σημεῖον τοῦτο, καθὼς καὶ εἰς ἄλλα παρουσιάζει κάποιαν ὁμοιότητα μὲ τὴν Ἀπολογίαν τοῦ Ἀριστείδου καὶ μὲ ὅ,τι γνωρίζομεν ἀπὸ τὸ κήρυγμα Πέτρου.

Ἐρχόμενος εἰς τὸ ἑπόμενον θέμα περιγράφει κατὰ πρῶτον τὸν ὑπερκόσμιον βίον τῶν Χριστιανῶν μὲ γλῶσσαν πλήρη ποιητικοῦ ρυθμοῦ καὶ ἀντιθέσεων.

«Οἱ Χριστιανοὶ πατρίδας οἰκοῦσιν ἰδίας
  ἀλλ' ὡς πάροικοι·
μετέχουσι πάντων ὡς πολῖται
  καὶ πάνθ' ὑπομένουσιν ὡς ξένοι·
πᾶσα ξένη πατρὶς
  καὶ πᾶσα πατρὶς ξένη.
Γαμοῦσιν ὡς πάντες, τεκνογονοῦσιν,
  ἀλλ' οὐ ρίπτουσι τὰ γενόμενα·
τράπεζαν κοινὴν παρατίθενται,
  ἀλλ' οὐ θοίνην·
ἐν σαρκὶ τυγχάνουσιν
  ἀλλ' οὐ κατὰ σάρκα ζῶσιν·
ἐπὶ γῆς διατρίβουσιν
  ἀλλ' ἐν οὐρανῷ πολιτεύονται·

πείθονται τοῖς ὡρισμένοις νόμοις
καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους»[1].

Συμβιοῦν μὲ τὸν κόσμον, ἀλλ' ἔρχονται ἀπὸ ἄλλον χῶρον, καὶ εἶναι δι' αὐτὸν ὅ,τι ἡ ψυχὴ διὰ τὸ σῶμα, εἶναι ἡ ψυχὴ τοῦ κόσμου.

Τὸ *Κήρυγμα* Πέτρου καὶ ἡ *Ἀπολογία* τοῦ Ἀριστείδου εἶχον ὀνομάσει τὸν Χριστιανισμὸν τρίτον γένος –μετὰ τὸ ἑλληνικὸν καὶ τὸ ἰουδαϊκὸν– καὶ ἡ ἐρώτησις τοῦ Διογνήτου, «τί δήπου τὸ καινὸν τοῦτο γένος», εἶναι σύμφωνος μὲ τοιαύτην διάκρισιν, ἀλλ' ὁ παρὼν συγγραφεὺς τοποθετεῖ τὸ θέμα ἐπὶ διαφόρου ἢ καὶ ἀντιθέτου γραμμῆς· δὲν εἶναι τρίτον γένος ὁ Χριστιανισμός, εἶναι «ἄλλο γένος», ἐκ τοῦ ἄλλου κόσμου προερχόμενον. Οὕτω τίθενται αἱ πρῶται ἀρχαὶ τῆς περὶ δύο πολιτειῶν θεωρίας.

Ἡ περιφρόνησις τοῦ θανάτου ἐνώπιον τῶν θηρίων εἶναι φυσικὸν ἀποτέλεσμα τῆς ὅλης ἀλλοκόσμου διαγωγῆς τῶν Χριστιανῶν καὶ μαρτυρία τῆς παρουσίας κάποιας θείας δυνάμεως ἐντός αὐτῶν· «ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα, ταῦτα δύναμίς ἐστι Θεοῦ· ταῦτα τῆς παρουσίας αὐτοῦ δείγματα»[2].

